ὄρθρον ἀντὶ τοῦ τὴν ἀνατολήν, ὅτε ὑπὸ τὸν ὄρθρον ἀνατέλλουσι σὺν ἡλίωι ὄντι ἐν τῶι Ταύρωι, ἀπὸ ε' καὶ εἰκάδος τοῦ Φαρμουθὶ μηνός, ὃς ἐστι κατὰ Ῥωμαίους Ἀπρίλιος, ὅτε καὶ τοῦ θερίζειν ὁ καιρὸς παρ' Αἰγυπτίοις. ἑσπέριαι δὲ δυτικαὶ ἀπὸ τῆς ἑσπέρας, ὅτε ἑῶιαι δύνουσιν ἡλίου ὄντος ἐν Σκορπίωι Ἁθὺρ μηνί, ὃς ἐστι κατὰ Ῥωμαίους Νοέμβριος, ὅτε ἐστὶ καὶ καιρὸς τοῦ ἀροτριᾶν· τότε γὰρ ἑσπέριαι οὐκ εἰσι πρὸς ἑσπέραν δύνουσαι (οὐδὲ γάρ εἰσι πρὸς ἑσπέραν δυόμεναι), ἀλλὰ κατὰ τῆς ἑσπέρας τὴν δύσιν ποιοῦνται· ὅτε γὰρ σὺν Σκορπίωι ἀνατέλλει ὁ ἥλιος, τότε Ταῦρος εἰς δύσιν ἑῶιος καταφέρεται. τὸ δὲ ἑξῆς τοῦ ῥητοῦ οὕτως ἔχει· αἱ δὲ ὀνομασταὶ ἧρι καὶ ἑσπέριαι ἐλλίσσονται καὶ συμπεριφέρονται τῶι οὐρανῶι. καὶ τούτων ὁ Ζεὺς αἴτιος, ὃς κατηστέρισεν αὐτάς, ὅστις αὐταῖς καὶ θέρους ἀρχομένου καὶ χειμῶνος σημεῖα φέρειν ἐποίησεν. ληπτέον· ἑῶιαι Φαρμουθὶ ἀρχομένου θέρους ἀνατέλλουσιν, ἑῶιαι δὲ δύνουσι τῶι Ἁθὺρ μηνὶ ἀρχομένου χειμῶνος.

332 (p. 408, 11—18) *ἅμ' ἠελίωι ἀνίοντι*: *συνανατέλλει τῶι ἡλίωι ὁ Σείριος, ὅτε γίνεται εἰς τὸν θερινὸν τροπικὸν ἐν τῶι Καρκίνωι περὶ τὸν Ἐπιφὶ μῆνα, ὃς ἐστι κατὰ Ῥωμαίους Ἰούλιος, ὅτε καὶ 'φέρει — πυρετὸν δειλοῖσι βροτοῖσιν'* (II XXII 31). *τὸ τηνικαῦτα σφοδροῦ γινομένου τοῦ καύματος πάντες οἱ πρόσφοροι καρποὶ πέπειροι γίνονται, φησίν.*

408 (p. 420, 6—13) *ἀρχαίη νύξ*: *ἀρχαιοτέρα γὰρ καὶ πρεσβυτέρα τῶν θεῶν καὶ παρ' Ἡσιόδωι* (Theog 123) *'ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο'. φασὶ δέ τινες, ὅτι μυθικῶς τι ἐπιψαύων καὶ φυσικῶς ἅπτεται, ὅτι ἡ νὺξ ὀδυρομένη τὴν τῶν ἀνθρώπων ταλαιπωρίαν τοῦ θαλαττίου χειμῶνος καὶ τῆς ζάλης σημεῖον ἔθηκεν ἐκεῖνο τὸ Θυτήριον, ὅτε ὁ ἥλιος ⟨ἐν⟩ Αἰγοκέρωτι τῶι Τυβὶ μηνί, ὃς ἐστι κατὰ Ῥωμαίους Ἰανουάριος, ὅτε καὶ ἐν χειμῶνι πνεῖ ὁ νότος.*

462 (p. 430, 18—431, 6) *ἤτοι μὲν τά γε κεῖται*: *διδάξας τὰ περὶ τῶν Φαινομένων ἦλθε πάλιν ἐπὶ τὴν τῶν κύκλων διδασκαλίαν, οἵτινες αὐτοὶ μὲν καθ' ἑαυτοὺς ἀφανεῖς εἰσι πλὴν τοῦ γαλαξίου, ὅτι ἐστὶ νεφελώδης. ἀπὸ τῶν ἐπιψαυόντων δὲ αὐτῶν ζωιδίων ποιεῖται τὴν κατάληψιν. ποι-*

εἶται δὲ λόγον περὶ τῶν δ' κύκλων, τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ ἰσημερινοῦ καὶ τοῦ χειμερινοῦ καὶ τοῦ ζωιδιακοῦ· οὗτοι γάρ εἰσι μάλιστα βιωφελεῖς, ὁ δὲ ἀρκτικὸς καὶ ὁ ἀνταρκτικὸς καὶ ὁ γαλαξίας οὐδεμίαν τροπῆς ὠφέλειαν ἔχουσι, καὶ ὁ μὲν θερινὸς τροπικός, ὅτι ἐν τῶι Καρκίνωι γενόμενος ἄρχεται τὸ θέρος ποιεῖν, ὁ δὲ ἰσημερινός, ὅτι δύο γίνονται ἰσημερίαι, μία μὲν ἐαρινὴ τῶι Κριῶι Φαμενὼθ κέ, ὅς ἐστι κατὰ Ῥωμαίους Μάρτιος, ὅτε προσθήκην λαμβάνουσιν αἱ ἡμέραι. γίνεται δὲ χειμερινὴ ἰσημερία ἐν ταῖς Χηλαῖς, ἐν τῶι Ζυγῶι, τῶι Φαωφὶ μηνί, ὅς ἐστιν Ὀκτώβριος, ὅτε καὶ αἱ νύκτες προσθήκην λαμβάνουσιν, ὁ δὲ χειμερινός, ὁτε ⟨ἐν⟩ Αἰγοκέρωτι ἄρχεται τὸν χειμῶνα ποιεῖν, καὶ ὁ ζωιδιακὸς δέ, ὅτε διαπορευόμενος τοῦτον ὁ ἥλιος ἐνιαυσίως τοῦ τε χειμῶνος καὶ τοῦ θέρους αἴτιος γίνεται.

513 (p. 440, 21—26) *ἐν δέ οἱ ἤματα*: *ἐν ἀμφοτέραις δὲ ταῖς ἰσημεριναῖς ἐν αὐτῶι γίνονται αἱ ἡμέραι ταῖς νυξὶν ἴσαι· ἰσοῦνται γὰρ περὶ μόνας τὰς πρώτας μοίρας. δύο δὲ γίνονται ἰσημερίαι, φησί, καὶ μία μέν, ὅτε φθίνει τὸ θέρος· τῆι γὰρ κέ τοῦ Θώθ, ὅς ἐστι κατὰ Ῥωμαίους Σεπτέμβριος, γίνεται ἐν ταῖς Χηλαῖς ἡ τροπή, καὶ ἰσημερία ἐστὶ μειουμένων τῶν ἡμερῶν.* —

946 (p. 517, 8—15) *ἦ μᾶλλον δειλαὶ γενεαὶ ὑδρωσιν* —: *ὁ ὕδρος οὗτος εἶδός ἐστιν ὄφεως, ὃς τοὺς βατράχους σιτεῖται, ὡς ἔχομεν παρὰ τῶι Νικάνδρωι* (Ther 416). *διὰ τοῦτο ὕδροις ὄνειαρ τὸ τῶν βατράχων γένος· αὐτοὺς γὰρ σιτοῦνται. ὁ δὲ λόγος· ἔσται, φησί, τεκμήρια χειμῶνος, ὅταν μᾶλλον παρὰ τὴν συνήθειαν κραυγάζωσιν οἱ βάτραχοι, οἵτινές εἰσιν ὕδροις ὄνειαρ. παρ' Αἰγυπτίοις δὲ ἐν τῶι θέρει μεῖζον κραυγάζουσι προσδοκίαι τῶν Νειλώιων ὑδάτων, οἷς φιλήδουσι καὶ ἀφ' ὧν ζῶσιν.*

1010 (p. 531, 17—20) *καὶ αἱ γέρανοι πάλιν τὰς τῶν καιρῶν ὑπερβολὰς οὐ φέρουσιν, ἀλλὰ χειμῶνι μὲν ἀπὸ Θράικης ὡς ἐπὶ τὰ θερμότερα φεύγουσι* [*καὶ*] *εἰς τὴν Αἴγυπτον. πάλιν δέ, ὅτε χειμών, καὶ τὸν αὐτὸν ἀνύουσι δρόμον.*

Passim per haec scholia ad 'utilitatem vitalem' (*τὴν βιωφέλειαν*) hominum et rusticorum et navigantium spectasse Aratum

non sine consilio ac studio impenso profitetur interpres (p. LIV. LX alibi). Sunt igitur illius certe haec quoque scholia:

287. 8 (p. 397, 16—24) *μὴ κείνωι ἐνὶ μηνὶ —: πολλάκις εἴπομεν, ὅτι οὐ μόνον ἕνεκα τῆς γνώσεως τῶν φαινομένων γράφει ὁ Ἄρατος, ἀλλὰ καὶ διὰ τούτων βιωφελεῖς εἰσάγει καιροὺς τοῖς ἀνθρώποις, καὶ νῦν τὸν χειμερινὸν καιρὸν διαγράφων φησίν· ἀρχὴ γὰρ χειμῶνος, ὅτε ⟨ἐν⟩ τῶι Αἰγοκέρωτι γίνεται ὁ ἥλιος. ἐπάγει γοῦν, ὅτι 'μὴ κατ' ἐκεῖνον τὸν καιρὸν (λέγει δὲ τὸν Τυβὶ μῆνα, ὃς ἐστι κατὰ Ῥωμαίους Ἰανουάριος· τότε γὰρ σφοδρός ἐστι χειμών) ὑπὸ τῆς θαλάσσης περικλύζου πλέων καὶ· ναυτιλλόμενος, ἐν ἀναπεπταμένωι πελάγει τὸν πλοῦν ποιούμενος'.*

100 (p. 357, 15—21) *εὔκηλος φορέοιτο: ἥσυχος εὐμενὴς φέροιτο ἐν οὐρανῶι. τῶν μὲν οὖν ἄλλων μύθων ἐπιψαύει μὲν ἐνδεικνύμενος τὸ μὴ ἀγνοεῖν, τὸν δὲ ἐπὶ τῆς Δίκης μόνον σχεδὸν ἐξείργασται, δεόντως· ἐκπομπεύει γὰρ τὸ κατὰ τὴν δίκην χρήσιμον καὶ βιωφελὲς ἐκ τοῦ μύθου τοῖς ἀνθρώποις ἐνδεικνύμενος λαμπρῶς καὶ μεγαλοφώνως καὶ ὡς ἄν εἴποι τις Ὁμηρικῶι πλάσματι χρησάμενος.*

136 (p. 361, 11—16) *τινὲς δὲ τῶι Ἀράτωι ὡς παρατείνοντι τὴν μυθολογίαν ἐπεμέμψαντο ἐν τῶι προτέρωι μύθωι. καί φαμεν, ὅτι, ἐπειδὴ ἐκεῖνος καὶ βλασφημίαν τινὰ εἶχεν ὁ περὶ Ἄρκτων καὶ τοῦ Διὸς τοῦ Κρονίωνος, οὗτος δὲ βιωφελής ἐστι τοῖς ἀνθρώποις, διὰ τοῦτο καὶ παρεξέτεινεν αὐτόν.*

Item Orionis fabula *βιωφελῶς* ab Arato explicata dicitur ad v. 636 (p. 461, 10 sqq.). Cf ad v. 909 p. 508, 21—509, 2.

Mitto alia multa. Porro eidem interpreti astronomo reddiderim sive imaginum sive delineationum memorias per scholia manifestas, sed adhuc Aldinae vitio obscuratas, praesertim cum semel moris cuiusdam aegyptii mentio iniciatur.

24. *τοῦ δὲ ἄξονος τὰ πέρατα πόλοι εἰσὶν εἰρημένοι· περὶ γὰρ αὐτοὺς πολεῖται ὁ οὐρανὸς καὶ στρέφεται. γραμμὴ δέ ἐστιν εὐθεῖα ἡ ἀπὸ σημείου ἀρξαμένη, ὡς τὸ ὑποκείμενον* ⟨figuram olim adscripserat in ima pagina⟩· *ἀπὸ γάρ τινος ἀρχῆς ἐποιήσαμεν τὴν γραμμὴν καὶ εἴς τι τέλος ἐλήξαμεν. ἡ δὲ εὐθεῖα γραμμὴ τοῦ ἄξονος τοὺς δύο πόλους ἔχει τοὺς ἀπὸ σημείου εἰς σημεῖον.*

318. *γλήνεα, παρβολάδην* —: *οὕτως* ⟨sequebatur figura adscripta⟩· *ῥομβοειδὲς γὰρ τὸ τοιοῦτον σχῆμα. ποιητικῶς δὲ εἶπε τοὺς ἀστέρας γλήνεα· γλήνη γὰρ νῦν ἐστιν ἡ ἐν τῶι ὀφθαλμῶι κόρη.*

190. *οὐ γάρ μιν πολλοί*: *ἡ Κασσιέπεια ἀστέρας ἔχει ἐπὶ τοῦ σώματος ἐκ διαστήματος ἀλλήλων κατ' εὐθεῖαν ὡς ἔγγιστα κειμένους. ὧν ὁ βορειότατος ἐπὶ τῆς καθέδρας ἐστίν, ὁ δὲ νοτιώτατος ἐπὶ τῆς κεφαλῆς, οἱ δὲ τούτων μεταξὺ δύο τὸ τῆς Λακωνικῆς δικλίδος σχῆμα ποιοῦντες τοιοῦτον* ⟨sequebatur figura⟩. *ὧν ἡ μὲν πρώτη γραμμή ἐστι τὸ σῶμα, ἡ δὲ πλαγία τὰ γόνατα.*

192. *οἵην δὲ κληῖδι*: *τὸ ἔνδοθεν ἡρμοσμένην εἶναι τὴν κλεῖν ἀρχαϊκόν ἐστιν· οὐ γὰρ ὡς νῦν ἐκτός εἰσιν αἱ κλεῖδες, ἀλλ' ἔνδον τὸ παλαιὸν παρ' Αἰγυπτίοις καὶ Λάκωσιν. καὶ Ὅμηρος οἶδε τὸ τοιοῦτον, ὅτι ἔσωθεν τὰ θυρώματα ἀνακρούονται κληῖδι . . . ἔστιν οὖν ἡ Κασσιέπεια ἐν οὐρανῶι οὐχὶ πᾶσα, ὡς γέγραπται, ἀλλ' οὕτω* ⟨sequebatur olim figura⟩ *κλειδὸς ἔχουσα ἀρχαίας σχῆμα, καὶ οἱ ἀθρόοι ἀστέρες τὸ σῶμα ἀποτελοῦσιν, οἱ δὲ πλάγιοι τὰς χεῖρας ἐκτεταμένας, οἱ δὲ κατωτέρω ἅμα καὶ πόδας καὶ τὴν καθέδραν, ὡς δικλίδα.*

Ceterum ad globum quoque provocat interpres identidem, velut ad v. 251 (p. 384sq.):

καὶ οἱ δεξιτερὴ μέν: πάλιν ἐν οὐρανῶι ἡ τοῦ Περσέως δεξιὰ πρὸς τὴν τῆς Κασσιεπείας καθέδραν ἐκτέταται, ἐπειδὴ ἔνδον ὁρῶσι τὰ ζώιδια πρὸς τὸν οὐρανόν. ἡμεῖς δὲ τὰ νῶτα ὁρῶμεν ἐν ταῖς σφαίραις, ἐκεῖνα δὲ οὐκέτι οὑτως, ἀλλὰ τὰ νῶτα πρὸς τὴν σφαῖραν ἔχουσι πρὸς τὸ ὁρᾶσθαι τὴν ὄψιν. διό, ἐὰν λέγηι δεξιὰν χεῖρα ἢ ἀριστερὰν καὶ εὕρωμεν τὸ ἀνάπαλιν ἐν τῆι σφαίραι, μὴ ξενιζώμεθα· ἔνδον γὰρ ὤφειλε τὰ ζώιδια ὡς πρὸς τὴν σφαῖραν ἔχειν τὴν ὄψιν, ὡς καὶ ἐν οὐρανῶι, ἀλλ' ἐκτὸς γράφεται πρὸς τὸ καὶ ἡμᾶς ἀκριβῶς γνῶναι.

Item ad v. 248 (p. 384, 1—5) v. 322 (p. 406, 1—5, cf Thiele p. 48[1]) alibi.

Denique, ne finibus suis excurrat commentatiuncula, paraphrasi praesertim Aratum ille adiuvare studuit interpres. Docent exempla allata (p. LI—LXI passim), docent alia innumera unaquaque pagina facile invenienda. Lemmata mihi constat primitus illi

commentario non fuisse praefixa: succreverunt tunc demum, cum commentarius perpetua paraphrasi instructus cum aliorum commentariorum reliquiis tempore Byzantinorum in unum quoddam corpus contaminaretur. Videbis in editione me male nunc in scholiis Marcianis et Parisinis discerpta reconciliando saepius sanasse.

Semel in his scholiis ad isagogam relegari p. XLIX dictum est.

Theo Alexandrinus saeculi quarti astronomus idem Arati fuit interpres (p. 146a). Idem Byzantini testantur. Velut Maximus Planudes eam scholiorum recensionem, quam edidi, a Theone confectam esse nescio ubi legerat: Planudeae enim redactioni in illa ipsa exstructae praescribitur cum alibi tum in codice Achillis Mediceo XXVIII 44 s. XV fol 43a (cf 'Aratea' p. 2)

ἐκ τῆς εἰς τὰ τοῦ Ἀράτου Φανόμενα Θέωνος ἐξηγήσεως ἐκλογαὶ διορθωθεῖσαι παρὰ τοῦ σοφωτάτου μοναχοῦ κυρίου Μαξίμου τοῦ Πλανούδη.

Item in codice Parisino 2842 s. XV fol 27a med scriptum et fol 118b repetitum legitur manu recentiore

Θέωνος τοῦ μαθηματικοῦ ἐξήγησις τῶν Ἀρατείων Φαινομένων.

Pertinere hunc titulum voluit librarius ad p. 1—26a, quibus Phaenomena Arati continentur alia tamen manu exarata. Denique memineris Aldinae ita e codice aliquo, quemadmodum nunc apparet, subscripta (p. 555 adn):

τέλος τῶν τοῦ Ἀράτου Φαινομένων καὶ Διοσημειῶν καὶ τῶν τοῦ Θέωνος σχολίων.[1])

Eiusdem Theonis esse epistulam ad Iulianum dedicatoriam post scholia servatam (p. 554, 20—555, 14) in 'Analectis Eratosthenicis' demonstravi (p. 40 sq.). Paraphrasta etiam et interpres simul

1) S. XVI scriptoris testimonium Aventini nomine hucusque inediti sed, quemadmodum audio, mox edendi Carolo Weyman acceptum refero:

Primi Aegypcii, ut Theon in commentariis, quae scripsit in Aratum, refert, cum animadverterent ob velocitatem lunae facile errari posse, redegerunt annum in menses solares.

Aegypcii incoeperunt annum suum, ut Theon refert, in Leone, id est Iulio, Athenienses in Iunio et solstitio aestivo.

Pertinent haec ad schol 735 (p. 473) et 152 (p. 366). Sumpta fortasse ex Aldina.

Ptolemaei 'Syntaxeos' Theo exstitit. Igitur conspirante etiam tempore, ut ante tria lustra ita hodie Theonem iudico eum ipsum agnoscendum esse Arati commentatorem, cuius vestigia per scholiorum nostrorum compagem amplissima patefeci. —

De signis criticis dixi in 'Prolegomenis' Arati p. XII—XIV.

Nonnus in hac de commentariorum Arateorum quaestione difficilis, imitationes aperte Arateas si excipias, quas in editione adnotavi.[1]) Ordine progrediar a paene certis ad incerta. Ita Nonnus I 254. 5 et 460—462:

γείτων δ' Ἠριγόνης ἐλατὴρ ὁμόφοιτος Ἁμάξης
πήχεϊ μαρμαίροντι καλαύροπα πάλλε Βοώτης. —
ἔσσο καὶ ἀστερόεις μετὰ βουκόλον, ἦιχι Βοώτης
φαίνεται, ἀστραίην δὲ καλαύροπα καὶ σὺ τιταίνων
ἔσσο Λυκαονίης[2]) *ἐλατὴρ Ἀρκτῶιος Ἁμάξης.*

Baculum non novit Aratus 91 nec 'Catasterismorum' liber, norunt picturae (Thiele p. 96), ut sive globum sive picturas singillatim sive utrumque habuisse Nonnus videatur. Habet haec e globo:

γούνατι δ' Εἰδώλοιο καὶ ἀγχιπόρωι παρὰ Κύκνωι
Φόρμιγξ ἀστερόεσσα Διὸς μαντεύσατο νίκην (I 256. 7). —
μολπῆς δ' ἄξια δῶρα παρ' ἀστεροφεγγέι Κύκνωι[3])
στηρίξω σέθεν αὐλὸν Ὀλύμπιον, ἡδυμελῆ δέ
οὐρανίηι Φόρμιγγι τεὴν σύριγγα συνάψω (I 465—467). —
ἀντέλλων δὲ παρὰ σφυρὸν Ἡνιοχῆος
νυμφίος ἀστερόεις ἀμαρύσσετο Ταῦρος Ὀλύμπου
εἰαρινῶι Φαέθοντι φιλόδροσα νῶτα φυλάσσων
ὀκλαδὸν ἀντέλλων ἐπικάρσιος, ἡμιβαφὴς δέ
δεξιὸν Ὠρίωνι πόδα προβλῆτα τιταίνων
φαίνεται, ἑσπερίην δὲ ϑοώτερος ἄντυγα βαίνων

---

1) R. Koehlerum *Ueber die Dionysiaka des Nonnos von Panopolis* p. 93[3] video illa in Nonni carmine Aratea negare maluisse. Certe iniuria. Catasterismis Nonnianis praeclarus ceteroquin 'Dionysiacorum' explicator nullam prorsus operam impendit.

2) Cf Callim 'In Jovem' 41 *Λυκαονίης Ἄρκτοιο.*

3) *κύκλωι* (e XXXIII 371 fortasse *ἐν ἀστεροφεγγέι κύκλωι* de Coronae stellis) in codicibus est, correctum a Schuppio discipulo.

σύνδρομον ἀντέλλοντα παρέρχεται Ἡνιοχῆα.
ὣς ὃ μὲν ἑστήρικτο κατ' οὐρανόν (I 355—362).

Habet vero etiam alia. Affero XXXVIII 97—102

Ἑρμείαν δ' ἐρέεινε (Bacchus) *καὶ ἤθελε μᾶλλον ἀκοῦσαι*
Κελτοῖς Ἐσπερίοισι μεμηλότα μῦθον Ὀλύμπου,
πῶς Φαέθων κεκύλιστο δι' αἰθέρος, ἦ πόθεν αὐταί
Ἡλιάδες παρὰ χεῦμα γοήμονος Ἠριδανοῖο
εἰς φυτὸν ἠμείβοντο καὶ εὐπετάλων ἀπὸ δένδρων
δάκρυα μαρμαίροντα κατασταλάουσι ῥεέθροις

~ schol 359 (p. 413, 2—4) *ἔστι δὲ ὁ Ἠριδανὸς τῆς γειτνιώσης τῇ Ἰταλίαι θαλάσσης τῆς Γαλατίας, καλεῖται δὲ ὑπὸ τῶν ἐγχωρίων Βόχερσος.*

Nonni Celtae occidentales sunt ii ipsi, quos scholiasta et ipse accurate distinxit Italiae finitimos; praeierat ex gr in 'Heliadibus' Aeschylus (fr 73 N.). Gravius erit I 450. 1 de Auriga

ὃς Ὠλενίην ἐν Ὀλύμπωι
πήχεϊ μαρμαίροντι σελασφόρον Αἶγα τιταίνει

~ schol 164 (p. 368, 19. 20) *ὠλενίην δέ μιν Αἶγα Διὸς καλέουσ' ὑποφῆται: ὠλενίη δὲ λέγεται διὰ τὸ ἐπὶ τῆς ὠλένης τοῦ Ἡνιόχου ⟨εἶναι⟩ ἥ, ὡς ἄλλοι, Ὠλένου θυγάτηρ.*

Prius in Arato verum. Tamen posterius Nonnus videtur ipse intellexisse, e scholio opinor Arateo editioni ei, qua ille utebatur, addito. De ceteris, quatenus video, dubitari possit. Nonnulla enumerabo. XXXIII 296. 7 haec de Aquila leguntur

καὶ ἀγχόθι Κασσιεπείης
Αἰετὸν Αἰγίνης τανυσίπτερον εἶδεν ἀκοίτην

nisi quid me fefellit alibi non tradita. Ursam maiorem secundum Amphidis comici narrationem (~ supra p. 181 Hygin II 1 p. 30 B.) bis descripsit:

ἀλλὰ Κρονίων
Καλλιστοῦς λάχε λέκτρον ἐς Ἄρτεμιν εἶδος ἀμεί-
ψας (II 122. 3). —
ἀξονίωι δὲ τένοντι πολυπλανὲς ὄμμα τιταίνων
Καλλιστὼ σκοπίαζε καὶ ἄστατον ὀλκὸν Ἁμάξης,
γινώσκων ὅτι θῆλυς ἐδέξατο θῆλυν ἀκοίτην
μιμηλῆς μεθέποντα νόθον δέμας Ἰοχεαίρης
ἀγνώστοις μελέεσσιν (XXXIII 288—292).

Ex aliquo libro Arateo, sive commentario eodem, unde iam probavi Nonniana provenisse nonnulla, sive 'Catasterismorum' libro, ista sumpta. Indidem XXXVIII 394 (~ p. 190 sq.)

νυμφίος Εὐρώπης μνκήσατο Ταῦρος Ὀλύμπου

et XXXIII 292—296 (~ p. 210. 368)

ὑπερτέλλοντα δὲ Ταύρου
Μυρτίλον ἐσκοπίαζε πυρίπνοον Ἡνιοχῆα,
ὅτι πόθωι χραίσμησε, καὶ εἰς δρόμον Ἱπποδαμείης
ἀξόνιον ποίησε τύπον τροχοειδέι κηρῶι,
ἄχρι Πέλοψ γάμον εὗρε.

XXXVIII 400—405 (~ p. 218 — 9. 376)

καὶ ποδὸς ἀστραίοιο μετάρσια γούνατα πάλλων
Πήγασος ἐχρεμέτιζε καὶ αἰθύσσων πόλον ὁπλῆι
ἡμιφανὴς Λίβυς ἵππος ἐπέτρεχε γείτονι Κύκνωι.
— — — — — — ἀπεσείσατο Βελλεροφόντην.

In LEXICIS antiquis scholia Aratea frustra quaesivi.[1])

---

1) Lexica perraro Arati mentionem iniciunt (cf ad p. 388, 3 sqq. Et-M et Gud s. v. *ζώιδιον θερειτάτη κιχάνω μύκης*, Suid s. v. *χειμὼν ὀρνιθίας* [1021 sqq.]. Et-M et Gud s. v. *ἑλίκωπες . . . . ἢ οἱ ναυτικοί, πρὸς τὴν Ἑλίκην ὠπῶντες . . . . ὥς φησιν Ἄρατος* (37. 8)

Ἑλίκηι γε μὲν ἄνδρες Ἀχαιοὶ
εἰν ἁλὶ τεκμαίρονται, ἵνα χρὴ νῆας ἀγινεῖν

concinunt cum scholio p. 348, 16 sqq. At glossa est Homerica Cratetis propria, cf 'Aratea' p. 167 sqq. Et-M et Gud s. v. *Δίκτη ὄρος τῆς Κρήτης καὶ ἄκρα κειμένη κατὰ τὸ Λιβυκον πέλαγος. καλεῖται δὲ καὶ οὐδετέρως. Ἄρατος* (33) *Δίκτωι ἐν εὐώδει ὄρεος σχεδὸν Ἰδαίοιο ἀπὸ τοῦ [τὸ] Δίκτον. εἴρηται παρὰ τὸ τέκω τίκτω, τίκτα τις οὖσα ἀπὸ τοῦ ἐκεῖ τεχθῆναι τὸν Δία. Ἀγαθοκλῆς δὲ θηλυκὸν ὄνομα εἶναι τὸ Δικταῖον ὄρος. οἱ δὲ νῆσόν φασιν εἶναι τὴν Δίκτην καὶ ὄνομα ἀπὸ τῶν ἁλιευτικῶν δικτύων. ἐνταῦθα δὲ Διὸς ἄγαλμα ἀγένειον ἵστατο. λέγεται καὶ Δικταῖον.* Aliter scholia Arati hodie servata p. 346. Et-M et Gud s. v. *γυρῶσαι Ἄρατος* (9) *'καὶ φυτὰ γυρῶσαι'. σημαίνει τὸ φιαλῶσαι* (vix *φυτεῦσαι*, cf schol) *καὶ περιφράξαι ἢ βόθρον ὀρύξαι, ἐν ὧι τὰ φυτὰ κατατίθενται, παρὰ τὸ γυρὸν ποιεῖν ἐν τῶι περιφράσσειν* = schol Parisinum (C cf p. 314) p. 337, 11—13. — E scholiis Homericis inserui nonnulla supra p. 388—390 aperte Aratea. Avienum e scholiis in Diosemias scriptis hausisse passim in margine adnotavi. Idem commentarium quendam Arateum in ceteris quoque, opinor, adhibuit: *Deutsche Litt-Zeitung* 1898 p. 667 sq. Cf p. LXIX[1].

Subiungam pauca de ANECDOTO quodam BRITANNICO ex Achille Gemino scholiis denique e pleniore 'Catasterismorum' sylloga conflato. Codex bibliothecae Universitatis Cantabrigiensis Ll IV 2 s. XV (de quo vide Catalogum bibl. Univ. Cant. IV p. 65) [1] fol 79—89 habet capita nonnulla *Περὶ οὐρανοῦ καὶ τῶν ἐν αὐτῶι ζωιδίων τε καὶ πλανητῶν*:

Οὐρανός ἐστιν ἡ ἀνωτάτω κυκλοφορικὴ κόσμου παντὸς ἐπιφάνεια, πάντη πάντοθεν ἰσάκις ὑπερθεν τῆς γῆς ὁμοιομερῶς περατούμενος πρὸς ὕψος καὶ βάθος. Ign

καὶ φυλακτήριον. κέκληται δὲ οὑτω ἀπὸ τοῦ οὐρεῖν, ὃ σημαίνει τὸ φυλακτήριον ⟨εἶναι⟩, ἢ ἀπὸ τοῦ ὀρούειν, δηλαδὴ τοῦ κινεῖσθαι· ἀεικίνητον γὰρ δῆτα καὶ ὀξυκίνητον. Ach p. 36, 14 sqq.

ἐξ οὗ καὶ αἰθὴρ ὠνόμασται, οὐχ, ὥς τινες ὑπειλήφασι, διὰ τὸ τὴν οὐσίαν αὐτοῦ πυρώδη οὖσαν αἴθεσθαι, πλημμελοῦντες περὶ τὴν πλείστην πυρὸς ἀπη⟨λ⟩λαγμένην δύναμιν, ἀλλὰ διὰ τὸ ἀεὶ θεῖν κυκλοφορουμένην ἐνδελεχῶς οὖσαν σφαιροειδῆ .....[2] *οἱ δ' ἀπλανεῖς οὗτοι κοινότερον μὲν ἄστρα καλούμενοι, ἰδίας μέντοι προσηγορίας ἕκαστος ἠξιωμένοι. καί εἰσιν οἱ πάντες εἰς νῦν ἀναγραφόμενοι κ' πρὸς τοῖς μ' οὕτω καλούμενοι·* Ign

Ἄρκτος μικρά, Ἄρκτος μεγάλη, Δράκων, Κηφεύς, Βοώτης, Στέφανος, Ἐν γόνασι, Λύρα, Ὄρνις, Κασ⟨σ⟩ιέπεια, Περσεύς, Ἡνίοχος, Ὀφιοῦχος, Ὄφις, Ὀιστός, Ἀετός, Δελφίν, Ἵππου προτομή, Ἵππος, Ἀνδρομέδα, Τρίγωνον.
Κῆτος, Ὠρίων, Ποταμός, Λαγός, Κύων, Προκύων, Ἀργώ, Ὕδρος, Κρατήρ, Κόραξ, Κένταυρος, Θηρίον, Θυμιατήριον, Στέφανος νότιος, Ἰχθὺς νότιος. Gemin c. 2.

τὴν μὲν δὴ μικρὰν Ἄρκτον τροφὸν Διὸς Ἑλλήνων παῖδες οὖσαν ἐν Κρήτηι μυθεύονται, Ἑλίκην καλουμένην. Ἀγασθένει[3] *δὲ δοκεῖ Κυνόσουραν καλεῖσθαι μίαν οὖσαν τῶν Ἰδαίων νυμφῶν, ἀφ' ἧς ἐν τῆι πόλει τῆι καλουμένηι Ἰστοῖς, ἣν οἱ περὶ Νικόστρατον ἔκτισαν, τὸν ἐπ' αὐτῆι τόπον καὶ λιμένα Κυνόσουραν ἐκάλουν.* Cat p. 184

1) Haud pauca tacite correxi facile obvia.
2) Omisi nonnulla aperte turbata.
3) *ἀγασθένην* Cant.

Item breviter agit eodem quo ante ordine de ceteris, e quibus haec duo enotabo. Ursae magnae fabula sic finita

διωκομένην ὑπὸ τοῦ ἰδίου υἱοῦ καὶ ὑπὸ τῶν Ἀρκάδων μέλλουσαν ἀναιρεῖσθαι διὰ τὸν νόμον ἐλεήσασαν τὴν θεὸν εἰς τοῦτον μεταβαλεῖν τὸν ἀστερισμόν

ita narrationem continuavit

οἱ δέ φασιν, ὡς ἐπιόντα Κρόνον ποτὲ Ζεὺς εὐλαβηθεὶς ἑαυτὸν μὲν εἰς δράκοντα μετεμόρφωσε, τοὺς δὲ τροφοὺς εἰς ἄρκτους. καὶ οὕτως ⟨ἐν⟩ τῶι ἀρκτικῶι κατηστέρισε, καί ἐστιν ἡ κεφαλὴ τοῦ Δράκοντος περὶ τὴν οὐρὰν τῆς Ἑλίκης. περιλαμβάνει δὲ καὶ τὴν ἑτέραν, τὴν Κυνόσουραν.

Eadem p. 321 et p. 330 ex isagoga quadam plurifariam conflata edidi, deficientibus tamen ceteris fabulis 'Catasterismorum' libello comprehensis. Copiosiora excerpta Cantabrigiensia in Aurigae catasterismo:

Cantrabrig.	Cat supra p. 210 b 4—6
οἱ δέ φασι Μυρτίλον εἶναι τὸν Οἰνομάου ἡνίοχον.	*τινὲς δέ φασι Μυρτίλον ὀνόματι τὸν ἡνίοχον εἶναι, τὸν ἐξ Ἑρμοῦ γεγονότα.*
ὑπὸ δὲ Πέλοπος εἰς θάλασσαν ἀπορριφῆναι φθονηθέντα ὡς προσκαλοῦντα Ἱπποδάμειαν.	

Pergit catasterismis expositis Cantabrigiensis, ut partim ad Achillis Isagogam excerptam (ut p. LXVII adnotavi in margine) partim ad scholia accedat proxime:

Ach 1 c. 40 p. 75

λόγος μὲν οὖν οὗτος μυθικὸς περὶ τούτων· γελοῖον γὰρ πρὸ τούτων τὸν οὐρανὸν ἀκατασιέριστον οἴεσθαι. διὸ καὶ παρὰ διαφόροις ἔθνεσι ⟨ἕτερα⟩ καὶ τὰ σχήματα τῶν εἰδώλων τά τε ὀνόματα διάφορα. τοῖς δ' Ἕλλησιν ἐξετέθη ταῦτα ἀπό τινων ἐπισήμων ἡρώων πρὸς εὐχερῆ κατάληψιν τοῖς περὶ ταῦτα σπουδάζουσιν, τῶν δ' ἄλλων μάλιστα τοῖς περί τε γεωργίαν πονουμένοις καὶ ναυτιλίαν, ὡς ἔχειν ἐπὶ τῶν ἐπιτολῶν τε καὶ δύσεων τεκμαίρεσθαι τὸ λυσιτελέστερον, τὸ τοῦ καιροῦ κατάσ⟨τ⟩ημα διαγινώσκουσιν.

3 supplevi | *σχήματα* Ach: *τεχνήματα* Cant ‖ 5 *τινων* scripsi: *τοίνυν* Cant, cf Ach ‖ 6 an *μᾶλλον* ? ‖ 7 *ναντηλίαν* Cant

ἔθεντο δ' οὖν τὰς προσηγορίας δι' αἰτίας εὐλόγους πέντε· καθ' ὁμοίωσιν, ὡς ἐπὶ τοῦ Σκορπίου, ἢ κατὰ πάθος, ὡς ἐπὶ τοῦ Κυνός (δοκοῦσι γὰρ ἐπὶ τῇι τούτου ἀνατολῇι λυττᾶν οἱ χερσαῖοι κύνες ὡς ἐπὶ τὸ πλεῖστον), ⟨ἢ⟩ κατὰ τιμήν, ὡς ἐπὶ τῶν Διοσκούρων, καὶ μυθικῶς, ὡς ἐπὶ τῆς μεταβληθείσης Καλλιστοῦς εἰς ἄρκτον, ἢ διορισμοῦ καὶ διδασκαλίας χάριν, ὡς τὰ τῶν ζωιδίων πλεῖστα. schol p. 345, 5—11

Sequuntur e Gemino excerpta varia.[1])

3. DE PAPYRO BEROLINENSI 5865
(p. 556—558)

Exeuntis antiquitatis papyrus in Aegypto scriptus est sine textu lemmatis praefixis. Glossas interpres simpliciter expressit vulgari apposito vocabulo. Pauca de rebus astronomicis, nonnulla habet de fabulis. In quibus optimum erit IV 1. 2, ita fere si suppleveris: (*Πήγασ*)*ος δ' ἔστι* (*Ποσειδῶ*)*ν*(*ος*) *καὶ Μεδούσης*, ut

---

1) Scholiorum Arateorum exemplar aliquod Tatianus quoque mihi adiisse videtur cap. 9 et 10. Conferas haec:

9. *Κύων ὁ τῆς Ἠριγόνης ἐν οὐρανῶι δείκνυται*	schol 345 (v. 27) (Hyg II 4 p. 34 sq. schol 454 v. 568)
καὶ Σκορπίος ὁ τῆς Ἀρτέμιδος βοηθὸς	schol 345 (v. 27)
καὶ Χείρων ὁ Κένταυρος	passim
ἥ τε ἡμίτομος Ἀργὼ	schol 410, 6 (v. 342 al)
καὶ ἡ Καλλιστὼ (-οῦς et libri et editio) *Ἄρκτος.*	schol 345 (v. 27)
εἶτα πῶς πρὶν τούτους περὶ τὰς προειρημένας τάξεις γενέσθαι ἀκόσμητος ἦν ὁ οὐρανός;	Ach p. 75
τίνι δὲ οὐ γελοῖον εἶναι δόξει τὸ κατὰ μέν τινας διὰ τὴν Σικελίαν ἀστροθετούμενον Δελτωτόν,	Hyg II 19 p. 59
κατ' ἐνίους δὲ ⟨ὡς⟩ τῆς τοῦ Διὸς προσωνυμίας πρωτότυπον στοιχεῖον	Hyg ib schol 380 (v. 235) Cat p. 223 b
10. . . . *τίς ἐστιν ὁ Βερενίκης πλόκαμος; . . . .*	passim
Ταῦρός ἐστιν ἐν οὐρανῶι	
ζῶιον πονηρὸν ὁ Ἐν γόνασιν ἐκθλίβει,	
καὶ ὁ τὸν ἀνθρωποποιὸν Προμηθέα καταφαγὼν Ἀετὸς τετίμηται.	schol Rhesi v. 528 p. 341 (i e Hermippus, cf Wilamowitz 'Comment gramm' II p. 16.

Idem de Germanico statuo et de Avieno (de quo cf p. LXVI[1]), quamquam paucis transigi nequeunt.

Hyginus ('Astr' II 18 p. 58 Bunte) infra textum a me subscriptus.[1]) Ceteris perlectis assequeris ipse, cur sic meam ego nunc sententiam concludam: nihil cum scholiis nostris hunc habere commune commentarium, cuius particulam papyri folia continent; vulgaris potius hic est et cum scholiis in Homerum minoribus, Didymi quae feruntur, apte comparandus, illa ad doctum et peritum astronomum in universum referenda. Contenti puto scholiis erimus e Theone et aliunde excerptis atque adeo gaudebimus, tam exile et misellum profecto commentariolum postquam in papyro isto iamiam cognovimus.

1) Hygini 'Fab' p. 12 Schm 'E Neptuno et Medusa Chrysaor et equus Pegasus'. Item alii.

VII DE LEONTIO

(p. 559—570)

I. 'Sphaerae Arateae constructionem' vel ob syntaxin perdifficilem intellectu Leontius enarrat mechanicus incertae aetatis Byzantinus Theodoro sodali in talibus globis fabricandis admodum iam versatus (p. 561). Qua in re simul discimus globos istos Arateae interpretationi destinatos plerumque non Arato sed Ptolemaeo adaequatos fuisse, ac p. 318 adn ipsi simile aliquid necessario statuimus.[1]) Praeter Ptolemaeum ille Sporo utebatur Arati interprete (p. 562).

Libellus de Sphaera Aratea hodie imperfectus (cf ad p. 563, 23. 27).

II. Item imperfectus alter libellus adhuc ineditus *Ἐκ τῶν Λεοντίου μηχανικοῦ Περὶ τοῦ ζωιδιακοῦ κύκλου* etymologiarum studio insignis. Desunt hodie cum alia tum eius personae mentio, cuius in usum scripta erat haec commentatiuncula (cf p. 570, 4—7).

---

1) Thiele p. 169.

I ATTALVS

L(aurentianus Hipparchi) XXVIII 39 membranaceus s. XI
L² manus altera correctrix
L³ manus tertia Victorii
V(aticanus Hipparchi) 191 bombycinus s. XIV
V² manus altera correctrix
V³ manus tertia Victorii
M(arcianus Arati) 476 membranaceus s. XI

paginae primae nullo signo addito citatae Mignei sunt, qui editionem Pet(avii) Francogalli Hipparcheam anno 1630 Parisiis in Uranologio emissam iteravit in 'Patrologiae cursus completi serie graeca' vol. XIX p. 1001—1136 post Eusebium,
secundo loco ad Pet(avii) paginas numeravi, qui Vict(orii) editionem principem Florentiae anno 1567 curatam novis subsidiis vix adsumptis repetivit,
tertiae paginae ad Man(itium) spectant Hipparchi editorem novissimum Lipsiae anno 1894

Scal(igeri) coniectanea apud Villoisonum 'Epistulae Vinarienses' Turici 1783 reperiuntur

ATTALI FRAGMENTA ARATEA

1

HIPPARCH. I p. 1013 A (178 P. 24 M.) *ὅτι μὲν οὖν Εὐδόξωι* proœmium editionis commentario iunctae
ἐπακολουθήσας ὁ Ἄρατος συντέταχε τὰ Φαινόμενα, ἱκανῶς οἶ-
μαι δεικνύναι διὰ τῶν προειρημένων, ἐν οἷς δὲ διαπίπτουσιν
οὗτοί τε καὶ οἱ συνεπιγραφόμενοι αὐτοῖς, ὧν ἐστι καὶ ΑΤΤΑΛΟΣ,
νῦν ὑποδείξομεν. ἐκθησόμεθα δὲ εὐθέως καὶ ἐν οἷς ἰδίαι ἕκαστος
αὐτῶν διαμαρτάνει. προληπτέον δέ, διότι ΑΤΤΑΛΟΣ *πᾶσι σχε-*
δὸν τοῖς ὑπὸ τοῦ Ἀράτου λεγομένοις περὶ τῶν οὐρανίων συν-
επιγράφεται ὡς συμφώνως τοῖς φαινομένοις ὑπ' αὐτοῦ λεγο-
μένοις, πλὴν ἐφ' ἑνὸς καὶ δευτέρου, ἃ δὴ καὶ ὑποδείξομεν ἐν
τοῖς ἑξῆς (cf fr 5. 14. 16. 17. 22). *λέγει γοῦν ἐν τῶι προοιμίωι*
τὸν τρόπον τοῦτον·

> *διὸ δὴ τό τε τοῦ Ἀράτου βιβλίον ἐξαπεστάλκαμέν σοι*
> *διωρθωμένον ὑφ' ἡμῶν καὶ τὴν ἐξήγησιν αὐτοῦ, τοῖς τε*
> *φαινομένοις ἕκαστα σύμφωνα ποιήσαντες καὶ τοῖς ὑπὸ*
> *τοῦ ποιητοῦ γεγραμμένοις ἀκόλουθα.*

καὶ πάλιν ἑξῆς φησιν·

> *τάχα δέ τινες ἐπιζητήσουσι, τίνι λόγωι πεισθέντες φαμὲν*
> *ἀκολούθως τῆι τοῦ ποιητοῦ προαιρέσει τὴν διόρθωσιν*
> *τοῦ βιβλίου πεποιῆσθαι. ἡμεῖς δ' ἀναγκαιοτάτην αἰτίαν*
> *ἀποδίδομεν τὴν τοῦ ποιητοῦ πρὸς τὰ φαινόμενα συμ-*
> *φωνίαν.*

τοιαύτην οὖν ἔχοντος τοῦ ΑΤΤΑΛΟΥ *τὴν διάληψιν, ὅσα ἂν ἀπο-*
δεικνύωμεν τῶν ὑπὸ τοῦ Ἀράτου καὶ Εὐδόξου κοινῶς λεγομένων
διαφωνοῦντα πρὸς τὰ φαινόμενα, δεῖ διαλαμβάνειν καὶ τὸν
ΑΤΤΑΛΟΝ *περὶ τῶν αὐτῶν διημαρτημένως συναποφαινόμενον.*

---

3 *δεικνῦναι* LV ‖ 4 *ὁ Ἄ.* L | *Ἀτταλλος* V ‖ 6 *προδιαληπτέον* V | *Ἀττα-*
λλος V ‖ 9 *θατέρου* coni Man ‖ 10 *ἐφεξῆς* L ‖ 12 *σοι* om L ‖ 12, 17 Attali verba
ab Hipparcheis distinxit L ‖ 17 *ἐπιζητοῦσι* L ‖ 19 *δὲ* L ‖ 20 *τοῦ ποιητοῦ* om
V | *πρὸς τὰ φαινόμενα* om L

2

commentarii indoles

HIPPARCH. I p. 1004 A (172 P. 4 M.) in epistula ad Aeschrionem fratrem praemissa: *ἐξήγησιν μὲν οὖν τῶν Ἀράτου Φαινομένων καὶ ἄλλοι πλείονες συντετάχασιν, ἐπιμελέστατα δὲ δοκεῖ πάντων* ΑΤΤΑΛΟΣ, *ὁ καθ' ἡμᾶς μαθηματικός, τὸν περὶ αὐτῶν πεποιῆσθαι λόγον. ἀλλὰ τὸ μὲν ἐξηγήσασθαι τὴν ἐν τοῖς ποιήμασι διάνοιαν οὐ μεγάλης ἐπιστροφῆς προσδεῖσθαι νομίζω (ἁπλοῦς τε γὰρ καὶ σύντομός ἐστι ποιητής, ἔτι δὲ σαφὴς τοῖς καὶ μετρίως παρηκολουθηκόσι), τὸ δὲ συνεῖναι τὰ λεγόμενα περὶ τῶν οὐρανίων ὑπ' αὐτοῦ, τίνα τε συμφώνως τοῖς φαινομένοις ἀναγέγραπται καὶ τίνα διημαρτημένως, τοῦτ' ὠφελιμώτατον ἡγήσαιτ' ἄν τις καὶ μαθηματικῆς ἴδιον ἐμπειρίας. θεωρῶν δ' οὖν ⟨ἐν⟩ τοῖς πλείστοις καὶ χρησιμωτάτοις διαφωνοῦντα τὸν Ἄρατον πρὸς τὰ φαινόμενά τε καὶ γινόμενα κατὰ ἀλήθειαν, τούτοις δ' ἅπασι σχεδὸν οὐ μόνον τοὺς ἄλλους ἀλλὰ καὶ τὸν* ΑΤΤΑΛΟΝ *συνεπιγραφόμενον ἔκρινα τῆς σῆς ἕνεκα φιλομαθ⟨ε⟩ίας καὶ τῆς κοινῆς τῶν ἄλλων ὠφελείας ἀναγράψαι τὰ δοκοῦντά μοι διημαρτῆσθαι. τοῦτο δὲ ποιῆσαι προεθέμην οὐκ ἐκ τοῦ τοὺς ἄλλους ἐλέγχειν φαντασίαν ἀπενέγκασθαι προαιρούμενος (κενὸν γὰρ καὶ μικρόψυχον παντελῶς· τοὐναντίον δὲ δεῖν οἶομαι πᾶσιν ἡμᾶς εὐχαριστεῖν, ὅσοι τῆς κοινῆς ἕνεκεν ὠφελείας ἰδίαι πονεῖν ἀναδεχόμενοι τυγχάνουσιν), ἀλλ' ἕνεκα τοῦ μήτε σε μήτε τοὺς λοιποὺς τῶν φιλομαθούντων ἀποπλανᾶσθαι τῆς περὶ τὰ φαινόμενα κατὰ τὸν κόσμον θεωρίας. ὅπερ εὐλόγως πολλοὶ πεπόνθασιν.*

---

2 *ἐξήγησιν* corr Pet (p. 1004 C [172 P. 6 M.] *καὶ πάντες σχεδὸν οἱ τὸν ποιητὴν τοῦτον ἐξηγούμενοι προστίθενται τοῖς ὑπ' αὐτοῦ λεγομένοις*): *ζήτησιν* LV ‖ 3 *πλέονες* V ‖ 4 *Ἄτταλος* corr Pet: *αὐτὸς* LV | *αὐτοῦ* V ‖ 6 *δεῖσθαι* L ‖ 11 suppl Man ‖ 13 *τε* om L ‖ 14 *συνεπιγραφόμενον* om L ‖ 15 *τῶν ἄλλων* om L ‖ 17 *τοῦ* V et corr L, cum prius scripsisset *τὸ* ‖ 19 *δὲ* V et superscripsit L ‖ 20 *ἰδίαι* L: *ἴδια* V ‖ 21 *φιλομαθῶν* L

3

idem

HIPPARCH. I p. 1005 A (173 P. 6 M.) *χωρὶς δὲ τῶν ἠγνοημένων ἐν τοῖς φαινομένοις ὑπό τε Εὐδόξου καὶ τοῦ Ἀράτου καὶ τῶν συνεπιγραφομένων ταῖς φάσεσιν αὐτῶν ἀναγέγραφά σοι καὶ τὰς κατ' ἀλήθειαν γινομένας ἑκάστου τῶν ἀπλανῶν ἄστρων σὺν αὐτοῖς τοῖς κατηστερισμένοις ιβ' ζωιδίοις συνανατολὰς καὶ συγκαταδύσεις, ἵνα παρακολουθῶν ἑκάστοις ἀκριβῶς καὶ τὰς τῶν ἄλλων ἁπάντων ἀποφάσεις ἐν τούτοις δοκιμάζῃς.*

2 *τῶν συνεπιγραφομένων* V: *τοῦ ἐπιγραφομένου* L; significatur Attalus sive solus sive cum aliis coniunctus cf fr 1. 2 ‖ 5 *κατηστηρισμένοις* V | *ζωδίοις* V et ita saepe LV quae non notabo

4

HIPPARCH. I p. 1017 A (180 P. 32 M.) *ἔτι δὲ ἀγνοεῖ περὶ τοῦ Δράκοντος* (Aratus) *λέγων οὕτως* (v. 58—60)· Draco

λοξὸν δ' ἐστὶ κάρη, νεύοντι δὲ πάμπαν ἔοικεν
ἄκρην εἰς Ἑλίκης οὐρήν, μάλα δ' ἐστὶ κατ' ἰθύ
καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιὰ νειάτωι οὐρῆι.

οὐ γὰρ ὁ δεξιὸς κρόταφος ἀλλ' ὁ ἀριστερὸς ἐπ' εὐθείας ἐστὶ τῆι γλώσσηι τοῦ Ὄφεως καὶ τῆι ἄκραι οὐρᾶι τῆς μεγάλης Ἄρκτου· τὸ μὲν γὰρ λέγειν, ὅτι ἀντεστραμμένην τὴν κεφαλὴν τοῦ Δράκοντος ὑποτίθεται καὶ οὐχὶ εἰς τὰ ἐντὸς τοῦ κόσμου ἐπεστραμμένην, καθάπερ φησὶν ὁ ΑΤΤΑΛΟΣ, *τελέως ἐστὶν ἀπίθανον· πάντα γὰρ τὰ ἄστρα ἠστέρισται πρὸς τὴν ἡμετέραν θεωρίαν καὶ ὡς ἂν πρὸς ἡμᾶς ἐστραμμένα, εἰ μή τι κατάγραφον αὐτῶν ἐστιν. φανερὸν δὲ τοῦτο ποιεῖ καὶ ὁ Ἄρατος διὰ πλειόνων· ἐφ' ὧν γὰρ δεξιὸν ἢ ἀριστερὸν μέρος ἄστρου διασαφεῖ, ἐπὶ πάντων συμφωνεῖ τῆι προειρημένηι ὑποθέσει. καὶ ἄλλως δὲ πλασματώδης ἐστὶν ἡ ὑπόθεσις καὶ ἡρμοσμένη. καὶ τούτωι δὲ τῶι ἀγνοήματι βοηθήσει καὶ τὸ περὶ τὸν ἀριστερὸν πόδα τοῦ Ἐνγόνασιν, περὶ οὗ προελθόντες ἐροῦμεν* (fr 6).

---

4 *Ἑλίκης* VM: *Ἑλίκην* L ‖ 7 *καὶ* om L | *οὐρᾶι* om L; *ἄκραι τῆι οὐρᾶι* coni Man ‖ 9 *ἀντεστραμμένην* L ‖ 10 *ἅπαντα* L ‖ 11 *ἠστέρισται* L, *ἠστέρισται* V³: *ἠμέρισται* V; *ἠστερίσθαι* coni Pet ‖ 12 *εἴ τι* coni Pet (at cf de voce *κατάγραφον* GHermanni Opusc V p. 214) ‖ 16 *καὶ τ. δὲ* L: *πρὸς τ. τε* V ‖ 17 *βοηθήσαιεν* V, *-ειεν* L; *βοηθήσει* scripsi olim ego | *τὸ* L: *τῶι* V

5

HIPPARCH. I p. 1017 B (181 P. 32 M.) *περὶ δὲ τῆς θέσεως τῆς τοῦ Δράκοντος κεφαλῆς οἱ μὲν περὶ τὸν Εὔδοξον καὶ Ἄρατον συμφώνως ἀποφαίνονται τῶι φαινομένωι, ὁ δὲ* ΑΤΤΑΛΟΣ *διαφώνως· ὁ μὲν γὰρ Ἄρατος ἀκολουθῶν τῶι Εὐδόξωι ἐπὶ τοῦ ἀεὶ φανεροῦ κύκλου φησὶν αὐτὴν φαίνεσθαι λέγων οὕτως* (v. 61, 2) Idem

κείνη που κεφαλὴ τῆι νίσσεται, ἦιχί περ ἄκραι
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν

ὁ δὲ ΑΤΤΑΛΟΣ *μικρῶι νοτιωτέραν αὐτὴν εἶναί φησι τοῦ ἀεὶ φα-*

νεροῦ κύκλου, ὥστε αὐτὴν ὑπὸ τὸν ὁρίζοντα βραχὺν γίνεσθαι χρόνον. ὅτι δὲ διαφωνεῖ πρὸς τὸ φαινόμενον ΑΤΤΑΛΟΣ, *οὕτως ἂν ἐπιλογισθείη· ὁ μὲν γὰρ ἐν ἄκρωι τῶι στόματι τοῦ Δράκοντος ἀπέχει τοῦ πόλου μοίρας λδ′ καὶ γ′ πεμπτημόρια, ὁ δὲ νότιος αὐτοῦ ὀφθαλμὸς μοίρας λε′, ὁ δὲ νότιος κρόταφος μοίρας λζ′. ὁ δὲ ἀεὶ φανερὸς κύκλος ἐν τοῖς περὶ Ἀθήνας τόποις καὶ ⟨ὅπου⟩ ὁ γνώμων ἐπίτριτός ἐστι τῆς ἰσημερινῆς σκιᾶς ἀπὸ τοῦ πόλου ἀπέχει περὶ μοίρας λζ′. δῆλον οὖν, ὅτι ἀεὶ ἐν τῶι φανερῶι τόπωι φέρεται ἡ κεφαλὴ τοῦ Δράκοντος τὸν ἀριστερὸν κρόταφον μόνον ἔχουσα ἐπ᾽ αὐτοῦ καὶ οὐχ, ὡς ὁ* ΑΤΤΑΛΟΣ *φησι, νοτιωτέρα οὖσα δύνει βραχὺν χρόνον καὶ ἀνατέλλει.*

1 *τῆς* posterius L in margine et V ‖ 2 *τὸν* om L ‖ 3 *τὰ φαινόμενα* L ‖ 4 *διαφωνεῖ* L ‖ 5 *ἀεὶ* om L | *φέρεσθαι* coni Man ‖ 7 *κείνηι παρ κεφαλῆι* L | *τῆι νίσσεται* M: *τηνεῖσεται* (ῖ ad *ει* superscripto) V, *τῆι νεῖσεται* L ‖ 8 *μίσγονται* LV³: *μίγονται* V | *δύσιές τε* VM: *δύσις ἐστὶ* L | *ἀντολαὶ* LM: *ἀνατολαί* V ‖ 11 *ὁ Ἄττ.* L ‖ 13 *μοίρας λδ′* V: *μ λς′* vel *λς′* L ‖ 14 *μοίρας* V: *μ* L | 15 suppl Man ‖ 16 *καὶ* post *σκιᾶς* add L ‖ 17 *μοῖ* V, *μ* L | *ἀεὶ* om L ‖ 18 *τμήματι* coni Man

6

Ingeniculus

HIPPARCH. I p. 1017 D (181 P. 34 M.) *ἐπὶ δὲ τοῦ Ἐνγόνασι παρεὼρακέναι μοι δοκοῦσιν ὅ τε Εὔδοξος καὶ ὁ Ἄρατος, ἀλλ᾽ οὐ διημαρτηκέναι, εἰπόντες τὸν δεξιὸν πόδα ἐπὶ μέσης τῆς κεφαλῆς [illegible] Δράκοντος κεῖσθαι. ὁ μέντοι γε* ΑΤΤΑΛΟΣ *παρὰ τὸ βούλημα τοῦ ποιητοῦ δοκεῖ μοι τὸ ἡμιστίχιον μετατιθέναι γράφων οὕτω* (v. 69) *᾽μέσσου δ᾽ ἐφύπερθε καρήνου᾽ καὶ τὴν κεφαλὴν τοῦ Δράκοντος ἔξω τοῦ κόσμου στρέφων, ἵνα γένηται ᾽αὐτὸ τὸ δεξιὸν μέρος τῆς κεφαλῆς κατὰ τὸν πόδα᾽· τά τε γὰρ ἄστρα πάντα εἰς τὸ ἐντὸς τοῦ κόσμου μέρος ἐπεστραμμένα, ὡς ἔφην* (cf fr 5), *ἀστροθετεῖται ὑπὸ πάντων καὶ ὑπ αὐτοῦ τοῦ Ἀράτου καὶ ἐν πᾶσι τοῖς βιβλίοις γράφεται* (v. 69, 70)

μέσσωι δ᾽ ἐφύπερθε καρήνωι
δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο ⟨Δράκοντος⟩.

1 *Ἐνγούνασι* LV, cf fr 4 al ‖ 6 *μέσου* V; *μέσσωι — καρήνωι* M ‖ 6, 12 *ἐφ᾽ ὕπερθεν* LVM ‖ 12 *μέσωι* LV

7

Angultenens

HIPPARCH. I p. 1021 B (183 P. 40 M.) *δοκεῖ δέ μοι* (Aratus) *καὶ περὶ τῶν ἐν ταῖς χερσὶ τοῦ Ὀφιούχου ἀστέρων κατὰ τὸ*

μέγεθος αυτῶν ἀγνοεῖν· τοὺς γὰρ ἐν τοῖς ὤμοις τοῦ Ὀφιούχου φήσας λαμπροὺς εἶναι, ὥστε καὶ ἐν πανσελήνωι ἂν θεωρεῖσθαι, ἐπιφέρει (v. 79, 80)

ἀτὰρ χέρες οὐ μάλα ἶσαι·
λεπτὴ γὰρ τῆι καὶ τῆι ἐπιδέδρομεν αἴγλη.

ἀλλ' οἱ ἐν ταῖς χερσὶ τοῦ Ὀφιούχου ἀστέρες κοινοί εἰσι καὶ τοῦ Ὄφεως, καθάπερ καὶ αὐτὸς ὁ Ἄρατος λέγει (v. 82) *'ἀμφότεραι δ' Ὄφιος πεπονείαται', οἱ δ' ἐν τῶι Ὄφει ἀστέρες, ὧν ἔχεται ὁ Ὀφιοῦχος, λειπόμενοί εἰσι τῆι λαμπρότητι τῶν ἐν τοῖς ὤμοις, οὐ πολλῶι δὲ λαμπρότεροι οἱ ἐν τοῖς ὤμοις. διὸ καὶ ἐπιστήσειεν ἄν τις, πῶς καὶ ὁ* ΑΤΤΑΛΟΣ *φησιν αὐτοὺς ἱκανῶς λαμπροὺς εἶναι.*

---

3 *αὐτοῦ* L ‖ 4 *ἄν* om L ‖ 6 *χερσ'* L, *χεῖρες* M | *μάλα ἶσαι* V, *μάλ' ἔισαι* L, *μάλ' ἶσαι* M ‖ 7 *τῆι* prius om V | *ἐπιδέδρομεν* LVM; *ἐξεπιδέδρομεν* coni Pet, cf editionem ‖ 9 *ὁ αὐτὸς* L ‖ 9, 10 *ἀμφότεραι* VM: *-οι* L ‖ 10 *ὄφιος* LM: *ὄφεως* V ‖ 11 *ἔχει* L; *ὃν ἔχει* coni Man ‖ 11, 2 *οὐ* ante *λειπόμενοι* LV: traieci; *πολλῶι — ὤμοις* delet Man ‖ 12, 3 *κατεπιστήσειεν* L; *καὶ ἀπορήσειεν* scripsi olim ego (cf fr 13 et 23) ‖ 13 *μὴ* ante *ἰκ.* supplet Man

8

Hipparch. I p. 1021 B (183 P. 42 M.) *ἐξῆς δὲ περὶ τῶν Χηλῶν ὁ Ἄρατος λέγει* (v. 90) *'ἀλλ' αἳ μὲν φαέων ἐπιδευέες οὐδὲν ἀγαναί.' φησὶ δὲ ὁ* ΑΤΤΑΛΟΣ *μὴ διὰ τὸ μικροὺς εἶναι τοὺς ἐν ταῖς Χηλαῖς ἀστέρας λέγειν τὸν Ἄρατον 'φαέ[ων] ἐπιμεμφέας' αὐτὰς εἶναι, ἀλλὰ διὰ τὸ δ' μόνον εἶναι τ[ῶν] πάντας, οὓς μὴ συμπληροῦν τὴν ὁμοιότητα αὐτῶν. τὸ δὲ 'μηδὲν ἀγανάς' λέγειν αὐτὸν διὰ τὸ μηδὲ ὁμοίας αὐτὰς ὑπάρχειν. οὐ δοκεῖ δέ μοι διὰ τοῦτο λέγειν αὐτὰς 'φαέων ἐπιμεμφέας' καὶ 'μηδὲν ἀγανάς', ἀλλ' ὡς ἂν μὴ λαμπράς.* Chelae

---

2 *ἀλλ' αἱ μὲν* VM: *ἄλλοι μὲν* L | post *ἐπιδευέες* add LV *ἢ ἐπιμεμφέες* (legit Hipparchus in Arato suo *ἐπιδευέες*, Attalus *ἐπιμεμφέες*, qua e discrepantia interpolatum illud *ἢ ἐπιμεμφέες* explicatur) ‖ 4 *λέγειν* om L ‖ 5 *μόνους* L ‖ 6 *τὸ δὲ μηδὲν ἀγανὰς* corr Vict in L^3 et in editione (hinc *τῶι δὲ μ. ἀ.* coni Scal): *τὸν δὲ μηδένα αὐγὰς* L, *τὸ δὲ μηδὲν αὐτας* V ‖ 7 *δὴ* V ‖ 9 *ἀγανὰς* V: *αὐγὰς* L

9

Hipparch. I p. 1021 D (184 P. 44 M.) *ἐν δὲ τοῖς ἑξῆς περὶ τῆς Ἄρκτου παντελῶς δοκοῦσί μοι ἀγνοεῖν ὁ μὲν Εὔδοξος οὕτως λέγων* Ursa maior

ὑπὸ δὲ τὴν κεφαλὴν τῆς μεγάλης Ἄρκτου οἱ Δίδυμοι κεῖνται, κατὰ μέσον δὲ ὁ Καρκίνος, ὑπὸ δὲ τοὺς ὀπισθίους πόδας ὁ Λέων

ὁ δὲ Ἄρατος (v. 147 sq.)

κρατὶ δέ οἱ Δίδυμοι, μέσσῃσι δ' ὕπο Καρκίνος ἐστίν,
ποσσὶ δ' ὀπισθοτέροισι Λέων ὕπο καλὰ φαείνει,

οἷς ὅ τε ΑΤΤΑΛΟΣ καὶ οἱ λοιποὶ πάντες συνεπιγράφονται. ὅτι δὲ ἀγνοοῦσιν, ἐκ τούτων ἐστὶ φανερόν· ἡ μὲν γὰρ κεφαλὴ τῆς μεγάλης Ἄρκτου κατὰ τοὺς προειρημένους ἄνδρας ἐστὶν ὁ βορειότερος ἀστὴρ τῶν β' τῶν ἡγουμένων ἐν τῶι πλινθίωι, ἐπὶ δὲ τῶν ἐμπροσθίων ποδῶν κεῖται ὁ νοτιώτερος τῶν αὐτῶν ἀστέρων· ὅτι μὲν γὰρ ὁ προειρημένος ἀστὴρ κατ' αὐτοὺς ἐπὶ τῆς κεφαλῆς κεῖται, φανερὸν τοῦτο ποιοῦσιν ἐκ τοῦ λέγειν τὸν ἐν ἄκραι τῆι οὐρᾶι τοῦ Δράκοντος ἀστέρα κεῖσθαι κατὰ τὴν κεφαλὴν τῆς Ἄρκτου· οὐκ ἄλλος γὰρ κεῖται ἀστὴρ κατὰ τὸν ἐν ἄκραι τῆι οὐρᾶι τοῦ Δράκοντος, ἀλλ' ὁ βορειότερος τῶν ἡγουμένων ἐν τῶι πλινθίωι· ὁ μὲν γὰρ ἐν ἄκραι τῆι οὐρᾶι τοῦ Δράκοντος ἐπέχει ὡς κατὰ παράλληλον κύκλον τοῦ Λέοντος μοίρας γ' κτλ.

---

5 *μέσην* V ‖ 8 *μέσση δ'* L, *μέση δ'* V ‖ 13 *τῶι* om V ‖ 16 *τε* post *ἐκ* LV: omisi ‖ 19 *ἀλλ'* ὁ L: *ἄλλο* V

10

Auriga

HIPPARCH. I p. 1025 B (185 P. 48 M.) πάλιν δ' ὁ Ἄρατος περὶ τοῦ Ἡνιόχου λέγων ἐπιφέρει ταυτί (v. 177, 8)·

ἀλλ' αἰεὶ Ταῦρος προφερέστερος Ἡνιόχοιο
εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίηι περ ἀνελθών.

διαφωνεῖν οὖν μοι δοκεῖ πρὸς τὰ φαινόμενα καὶ ἐν τούτοις. Sequitur probatio Hipparchi; deinde pergitur: εἴπερ οὖν ἀκολούθως τοῖς φαινομένοις ἔγραφεν, ὡς ὁ ΑΤΤΑΛΟΣ ὑπολαμβάνει, πολλῶι βέλτιον ἦν καὶ παραδοξότερον λέγειν τὸν πόδα ἄκρον τοῦ Ἡνιόχου ὕστερον ἀνατείλαντα πρότερον καταδύνειν καὶ μὴ ἅμα ἀνατείλαντα ὕστερον δύνειν.

---

2 *λέγει ἐπιφέρων οὕτως* L ‖ 4 *ὁμηλυσίηι* VM: *-ισίηι* L ‖ 8,9 *τὸν δεξιὸν πόδα τ.* coni Man ob v. 174 sq. ‖ 9 *ἀνατείλαντος* L ‖ 10 *ἅμα συνανατ.* L

11

Aries

HIPPARCH. I p. 1032 B (189 P. 60 M.) ἐν δὲ τοῖς περὶ τὸν Κριὸν καὶ ὁ ΑΤΤΑΛΟΣ ἀγνοεῖ λέγων οὕτως·

κατανοῶν δὲ τὸν Κριὸν οὔτε ἀκριβῶς διατετυπωμένον οὔτε λαμπροὺς ἀστέρας ἔχοντα, δυναμένους δὲ καὶ ἐν σελήνηι λαμπρᾶι θεωρεῖσθαι διά τε τῶν παρακειμένων ἀστέρων πειρᾶται τὴν θέσιν αὐτῶν διασαφεῖν καὶ διὰ τῶν τὸν αὐτὸν αὐτῶι κύκλον φερομένων.

χωρὶς γὰρ τοῦ λαμπροὺς αὐτὸν ἔχειν ἀστέρας, τοὺς ἐν τῆι κεφαλῆι ὡς ἔφαμεν (paullo ante) *καὶ τοὺς ἐν τοῖς ἐμπροσθίοις ποσί, καὶ ἀπεκδέχεσθαί μοι δοκεῖ ὑπολαμβάνων διασαφεῖν αὐτὸν τὴν θέσιν τοῦ Κριοῦ φανερὰν ἔσεσθαι διὰ τῶν τὸν αὐτὸν κύκλον τῶι Κριῶι φερομένων καὶ τούτου χάριν ἐπισημαίνεσθαι. ἀλλὰ τὸ παρεπόμενον τῶι Κριῶι διασαφῶν ἐπιλέγει οὕτως* (v. 231 sq)·

μεσσόθι δὲ τρίβει μέγαν οὐρανόν, ἠιχί περ ἄκραι
Χηλαὶ καὶ ζώνη περιτέλλεται Ὠρίωνος.

---

3 *τετυπωμένον* L ‖ 4 *οὐ δυναμένους δὲ* coni Scal, *δυναμένους ἂν καὶ* Man ‖ 5 *λαμπρᾶι* scripsi: *-ῶς* LV ‖ 10 *ὑπολαμβάνων* L: *-ειν* V ‖ 12 *ἐπισημαίνεσθαι* scripsi: *-εται* LV; *καὶ ⟨γὰρ οὐ⟩ τούτου χ. ἐπισημαίνεται* coni Man ‖ 13 *ἐπιφέρει* coni Man ‖ 15 *ἠιχι* V

12

HIPPARCH. I p. 1032 C (189 P. 60 M.) *ἐν δὲ τοῖς ἑξῆς ἀγνοεῖ ὁ Ἄρατος λέγων περὶ τοῦ Περσέως* (v. 254, 5)· Persens

ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἧλιθα πᾶσαι
Πληϊάδες φορέονται.

πολὺ γὰρ ἀπέχει τὸ ἀριστερὸν γόνυ τοῦ Περσέως ἀπὸ τῶν Πλειάδων. ὁ δὲ ΑΤΤΑΛΟΣ *φησι μὴ δεῖν δέχεσθαι τὸ ‘ἄγχι’ ἀντὶ τοῦ ἐγγύς, ἀλλ’ ἀντὶ τοῦ ἐγγυτάτω·*

βούλεται γὰρ λέγειν (φησίν) ἐγγυτάτω τῶν Πλειάδων κεῖσθαι τὸ ἀριστερὸν γόνυ παρὰ τοὺς λοιποὺς ἀστέρας. οὐκ εὖ δὲ λέγει τοῦτο· οἱ γὰρ ἐν τῶι ἀριστερῶι ποδὶ τοῦ Περσέως β′ λαμπροὶ καὶ ἔτι ⟨οἱ⟩ ἐν τῆι ἀριστερᾶι κνήμηι πολλῶι ἐγγίονές εἰσι τῶν Πλειάδων ἤπερ τὸ ἀριστερὸν γόνυ.

Schol M ad v. 254 contra illud Hipparchi vituperium haec scribit: *φησὶ δὲ* (Hipparchus) *τῶι μὲν ποδὶ τοῦ Περσέως μᾶλλον αὐτὰς πλησιάζειν, πόρρω δὲ εἶναι τοῦ ἀριστεροῦ γόνατος. πρὸς ὃ Διόδωρος μὲν ‘ὑπογουνίδος’ γράφει, ὅπως ἡ κνήμη σημαίνοιτο, Μηνόφαντος δὲ ἐπιγουνίδα τὴν κνήμην ἀκούει διὰ τὸ εἶναι ἐπ’ αὐτῆς τὸ γόνυ. δύναιτο δ’ ἂν καὶ ἀπὸ μέρους ὅλον τὸ σκέλος ἀκούεσθαι κτλ.* ‖ 3 *ἐπιγουνίδος* LM: *ἐπὶ γουνίδος* V ‖ 6, 8, 12 *Πληιάδων* L ‖ 6 *μὴ δεῖν δέχεσθαι* corr Scal: *μηδὲ ἐνδέχεσθαι* LV ‖ 8 *φησίν* om L ‖ 11 supplevi; ⟨ὁ⟩ Man ‖ 12 *ἐγγίοντες* L

13

Pliades

HIPPARCH. I p. 1032 D (189 P. 62 M.) *ψευδῶς δὲ λέγεται* (v. 257 sqq.) *ὑπὸ τοῦ Ἀράτου καὶ τὸ τὰς Πλειάδας ἓξ μόνον ἀστέρας περιέχειν·*

ἑπτὰ (γάρ φησιν [v. 261. 258]) ἐκεῖναι ἐπιρρήδην καλέονται,
ἓξ οἷαί περ ἐοῦσαι ἐπόψιαι.

λανθάνει δὲ αὐτόν· τῷ γὰρ ἀτενίσαντι ἐν αἰθρίῳ καὶ ἀσελήνῳ νυκτὶ φαίνονται ἀστέρες ζ΄ ἐν αὐταῖς περιεχόμενοι. ὅθεν καὶ διαπορήσειεν ἄν τις, πῶς ὁ ΑΤΤΑΛΟΣ ἐξηγούμενος τὰ περὶ τὰς Πλειάδας παρέπεμψε καὶ τοῦτο τὸ διάπτωμα ὡς εὖ εἰρηκότος αὐτοῦ.

---

1 ψεῦδος V ‖ 2 *Πληιάδας* L ‖ 5 *οἷαι* LV ‖ 7 *αὐταῖς* scripsi cf l. 3: *αὐτῇ* LV ‖ 9 *τῆς Πληιάδος* L | *τὸ* om L | *εὖ εἰρηκότος* corr Vict, cf fr 19: *εὑρηκότος* LV

14

Cephei occasus, Sagittarii ortus

HIPPARCH. I p. 1033 A (190 P. 64 M.) *ἐν δὲ τοῖς ἑξῆς ὁ Ἄρατος εἰπὼν περὶ τοῦ μηκέτι δεῖν νυκτοπλοεῖν, ὅταν τὸν Τοξότην ὁ ἥλιος ἄρξηται διαπορεύεσθαι, σημεῖα βουλόμενος ὑποδεῖξαι τοῦ καιροῦ τούτου φησίν* (v. 303—310)·

σῆμα δέ τοι κείνης ὥρης καὶ μηνὸς ἐκείνου
Σκορπίος ἀντέλλων εἴη πυμάτης ἐπὶ νυκτός·
ἤτοι γὰρ μέγα Τόξον ἀνέλκεται ἐγγύθι κέντρου
Τοξευτής· ὀλίγον δὲ παροίτερος ἵσταται αὐτοῦ
Σκορπίος ἀντέλλων, ὃ δ᾽ ἀνέρχεται αὐτίκα μᾶλλον.
τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος ἀκρόθι νυκτός
ὕψι μάλα τροχάει, ὁ δὲ δύεται ἠῶθι πρό
ἀθρόος Ὡρίων, Κηφεὺς δ᾽ ἀπὸ χειρὸς ἐπ᾽ ἰξύν.

περὶ δὲ τούτων ὁ ΑΤΤΑΛΟΣ προενεγκάμενος αὐτίκα γράφει ταυτί· τὰ μὲν οὖν λοιπὰ μετρίως εἴρηκεν ἐν τούτοις ὁ ποιητής, τὸ δὲ περὶ τοῦ Κηφέως ὁμολογουμένως ἠγνόηκε φήσας αὐτὸν δύεσθαι κατὰ τὸν καιρὸν τοῦτον· οὐ γὰρ δύσιν ἀλλ᾽ ἐκ τῶν ἐναντίων ἀνατολὴν τότε ποιεῖται. καὶ τοῦτο δι᾽ αὐτῶν τῶν ποιημάτων φανερὸν γίγνεται· τῆς μὲν γὰρ δύσεώς φησιν αὐτὸν ἄρχεσθαι, καθ᾽ ὃν καιρὸν αἱ Χηλαὶ πρὸς τῇ ἀνατολῇ οὖσαι μέλλουσιν ἀναφέρεσθαι, πάντα δ᾽ αὐτοῦ δεδυκέναι τὰ μέρη τὰ δυνάμενα δύεσθαι, ὅταν ὁ Σκορπίος πρὸς τῇ ἀνατολῇ γένηται.

δοκεῖ οὖν μοι ἀγνοεῖν ὁ ΑΤΤΑΛΟΣ *φάσκων τὰ μὲν περὶ τῆς κεφαλῆς τῆς μικρᾶς Ἄρκτου καὶ περὶ τοῦ Ὡρίωνος ὀρθῶς εἰρηκέναι τὸν Ἄρατον, περὶ δὲ τοῦ Κηφέως διημαρτημένως· τοὐναντίον γὰρ περὶ μὲν τοῦ Κηφέως εἴρηκε ⟨συμφώνως⟩ τοῖς φαινομένοις, περὶ δὲ τῶν ἄλλων διαφώνως.* Sequitur fr 15. Cf fr 16.

---

2 *νυκτοπλοεῖν* corr Man cf v. 302: *πυκνοπλοεῖν* LV | *ὅτ' ἄν* L ‖ 6 *καὶ* ante *Σκ.* V ‖ 7 *μέγα* L^3: *μετὰ* LV ‖ 8 *παροίτερον* superscriptos M ‖ 10 *κεφαλὴ* VM: *-ὴν* L ‖ 12 *ἀθρόος* LM: *ἀθρόως* V (quod glossema videtur ad *ἀθρόος*, ut est in schol M *ὁ Ὡρίων (φησὶ) τὸ τηνικαῦτα ἀθρόος (-ως* superscr M) — *πᾶς — καταδύεται πρὸ τῆς ἡμέρας κτλ.*) ‖ 13 *δὲ* om L | *τούτου* L; *π. δὲ τούτου* coni Vict ‖ 14 *ἐν τούτοις* om L ‖ 15 *περὶ* om L ‖ 16 *τὸν* om L ‖ 21 *ὅτ' ἄν* L ‖ 23 *ὁ Ἄτταλος* om L ‖ 24 *τῆς* ante *μ.* om V ‖ 26 suppl Vict ‖ 27 *διαφωνοῦσι* L

15

ΗΙΡΡΑRCH. I p. 1033 C (191 P. 66 M.) *τούτου* (cf fr 14) *δ' ἔτι πρότερον διαμαρτάνειν μοι δοκεῖ* (ΑΤΤΑLVS) *ὑπολαμβάνων τὸν Ἄρατον τὰ εἰρημένα σημεῖα ὑπογράφειν ἡμῖν τῆς τοῦ Τοξότου ἀνατολῆς· ὅτι μὲν γὰρ τοῦτ' ἐκδέχεται, φανερὸν μὲν ἦν καὶ ἐκ τῶν προγεγραμμένων αὐτοῦ λέξεων* (fr 14), *χωρὶς δὲ τούτων καὶ ῥητῶς ἐν τοῖς ἑξῆς φησιν οὕτως·* idem

> *ὁμολογουμένως δὴ κατὰ τοῦτον τὸν καιρὸν πάντων αὐτοῦ τῶν ἐκτὸς τοῦ ἀρκτικοῦ κύκλου κειμένων μερῶν δεδυκότων ἤδη μὲν φανερόν ἐστιν, ὅτι τοῦ Τοξότου πρὸς τῇι ἀνατολῇι ὄντος οὐ ποιεῖται* (Cepheus) *τὴν ἀρχὴν τῆς δύσεως. . . . πλὴν ἵνα σαφέστερον γένηται, διότι κατὰ τὴν τοῦ Τοξότου ἀνατολὴν οὐ δύσιν ἀλλ' ἀνατολὴν αὐτοῦ συμβαίνει γίνεσθαι, λάβωμεν τὰ λεγόμενα ὑπ' αὐτοῦ περὶ τὸν καιρὸν τοῦτον. . . . ὃ δὲ ἀπεκδέχεται ἅπαν ψευδές* (cf fr 16).

ὅτι δὲ Ἄρατος τὰ εἰρημένα σημεῖα οὐ πρὸς τὴν τοῦ Τοξότου ἀνατολὴν τίθησιν, ἀλλὰ κατ' αὐτὴν τὴν Σκορπίου ἀνατολήν, φανερὸν ποιεῖ αὐτὸς ὁ ποιητής. Sequitur refutatio; deinde pergit p. 1036 B (191 E P. 68 M.) ita: *ἐπλανήθη δὲ ὁ* ΑΤΤΑΛΟΣ *διὰ τὸ τῶι ἐπὶ τοῦ Τοξότου εἰρημένωι* (v. 307) *'ὃ δ' ἀνέρχεται αὐτίκα μᾶλλον' συνάπτειν τὸ 'τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος'* (v. 308) *καὶ τὰ ἑξῆς. πλὴν εἴ τις καὶ τοῦτο συγχωρήσειεν αὐτῶι, οὐδ' οὕτω δύναται ὁ Ἄρατος 'μετρίως' λέγειν, ὡς φησιν ὁ* ΑΤΤΑΛΟΣ (fr 14), *τούτου ἀνατέλλοντος 'ὕψι μάλα τροχάειν'* (v. 309) *τὴν κεφαλὴν τῆς μικρᾶς Ἄρκτου· ταύτης γὰρ 'ὕψι μάλα'*

φερομένης καὶ μεσουρανούσης οὐχ ὅτι Τοξότης ἀνατέλλει, ἀλλὰ Ὑδροχόος· ἡ μὲν γὰρ κεφαλὴ τῆς μικρᾶς Ἄρκτου ἐπέχει κατὰ τὸν παράλληλον τῶι ἰσημερινῶι κύκλον τὴν τελευτὴν τοῦ Σκορπίου, ταύτης δὲ μεσουρανούσης ἐν τῶι ζωιδιακῶι μεσουρανεῖ ἡ τρίτη μοῖρα τοῦ Τοξότου, ἧς μεσουρανούσης ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις καὶ ὅπου ἐστὶν ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ΄ ἀνατέλλει τοῦ Ὑδροχόου μοῖρα ιζ΄. ὅταν ἄρα ἡ κεφαλὴ τῆς μικρᾶς Ἄρκτου μεσουρανῆι, ὅπερ ἐστὶ ταὐτὸν ⟨τῶι⟩ ‘ὕψι μάλα τροχάει’, τότε οὐχ ὁ Σκορπίος ἄρχεται ἀνατέλλειν, ἀλλὰ τοῦ Ὑδροχόου πλέον ἢ τὸ ἥμισυ ἀνατέταλκε μέρος, ὁ δὲ Σκορπίος ἤδη ὅλος. ὡς μὲν οὖν οὐ ‘μετρίως’ εἴρηται τοῦτο τῶι Ἀράτωι, ὡς ὁ ΑΤΤΑΛΟΣ φησιν, ἀλλὰ πλείοσιν ἢ τρισὶ ζωιδίοις διαφωνεῖ πρὸς τὸ φαινόμενον, φανερὸν ἐκ τῶν εἰρημένων. ὅτι δὲ οὐδὲ Ὡρίων ὅλος δύνει τοῦ Σκορπίου ἀρχομένου ἀνατέλλειν, ὡς ὅ τε Ἄρατος λέγει καὶ ὁ ΑΤΤΑΛΟΣ αὐτῶι συναποφαίνεται, ἀλλὰ μᾶλλον τοῦ Τοξότου, φανερὸν ἂν γένοιτο διὰ τούτων. Sequitur argumentatio Hipparchi.

---

3 ⟨ἐκ⟩ ante τῆς supplet Scal ‖ 4 τοῦτο L | μὲν ἦν καὶ om L ‖ 7 ἤδη L | αὐτῶν L ‖ 8 ἐκτὸς V: ἐκ L | μερῶν om L ‖ 10 post δύσεως omisisse Attalea nonnulla Hipparchum puto; supplet Man ⟨ἀλλ᾽ ἐκ τῶν ἐναντίων τῆς ἀνατολῆς⟩ e fr 14 et proxima verba πλὴν — καιρὸν τοῦτον Hipparchi ipsius esse putat, item l. 13 (cf fr 16 l. 9) ‖ 13 τὸ λεγόμενον L | τοῦτον LV³: om V | omisisse Attalea nonnulla Hipparchum puto ‖ 14 an ψευδῶς? cf fr 18 l. 19; post ψευδ. novam lineam incipit L ‖ 15 δ΄ V ‖ 15, 6 τῆι — ἀνατολῆι V ‖ 16 τίθησιν — ἀνατολὴν om L ‖ 25 οὐχ ὁ T. coni Man | ἀλλ᾽ L; ἀλλ᾽ ὁ coni Man ‖ 27 τὸ π. V | κύκλωι V ‖ 28 post δὲ supplet ⟨ἐπὶ τοῦ παραλλήλου⟩ Man ‖ 30 καὶ ante ὅπου om L ‖ 31 ιδ΄ L (cf paullo inferius ἐν γὰρ τοῖς περὶ τὴν Ἑλλάδα τόποις, ὅπου ἐστὶν ἡ μεγίστη ἡμέρα ὡρῶν ιδ΄ [ubi ιδ΄ V]): ιδ΄ V | τοῦ delet Man | μοι V ‖ 32 supplevi, et ita olim Scal; ⟨ἢ⟩ ὅπερ supplet Man ‖ 34 πλέον scripsi: πλεῖον LV (cf l. 36, fr 2, al) | ἢ L: εἰ V ‖ 35 post ὅλος ⟨προηγεῖται τοῦ μεσημβρινοῦ⟩ supplet Man ‖ 36 τρισὶν L ‖ 38 οὐδὲ scripsi: οὔτε LV ‖ 40 μᾶλον L

16

Idem HIPPARCH. I p. 1037 A (192 P. 70 M.) τὰ δὲ περὶ τοῦ Κηφέως λεγόμενα (v. 310) ὅτι συμφώνως τοῖς φαινομένοις Ἄρατος λέγει καὶ οὐ διαφωνεῖ, ὡς ὁ ΑΤΤΑΛΟΣ ὑπολαμβάνει (fr 14. 15), δῆλον ἂν γένοιτο διὰ τούτων· ἄρχεται μὲν δύνειν τὰ νοτιώτερα αὐτοῦ μέρη τοῦ ἀειφανοῦς κύκλου ἀνατελλούσης τῆς η΄ μοίρας τῶν Χηλῶν, λήγει δὲ δύνειν τῆς ιγ΄ μοίρας τῶν Χηλῶν. φανε-

ρὸν τοίνυν, ὅτι τοῦ Σκορπίου ἀνατέλλοντος δεδυκέναι δεῖ τὰ β΄ μέρη τοῦ Κηφέως. ἐπλανήθη δὲ ὁ ΑΤΤΑΛΟΣ *λέγων μὴ δύνειν τὸν Κηφέα ἀλλ᾽ ἐκ τῶν ἐναντίων ἀνατέλλειν ἀπεκδεξάμενος τοῦ ποιητοῦ τὸ βούλημα, ὡς προείρηκα* (fr 15 l. 4), *καὶ ὑπολαβὼν τὸν Ἄρατον λέγειν, τοῦ Τοξότου ἀνατέλλοντος τόν τε Ὠρίωνα καὶ τὸν Κηφέα δύνειν.*

---

1 *λοιπὰ* ante *περὶ* add L ‖ 2 *ἀράτωι* L ‖ 3 *διαφώνως* coni Man ‖ 5 *ἀεὶ φανεροῦ* V ‖ 5, 6 *μοίρας* V, *μ̊* L ‖ 6 *λήγει δὲ δύνειν* corr Scal (unde *λήγει δὲ δύνοντα* coni Man): *λέγει δύναται* LV | *τῆς ιγ΄ μοίρας τ. Χ.* scilicet *ἀνατελλούσης*, quod supplendum putat Man ‖ 7, 8 *τὰ δύνοντα μέρη* coni Man ‖ 9 *ἀπεκδεξάμενος* corr Pet (cf ex gr fr 11 et 15): *ἀποδεξάμενος* LV ‖ 11 *τόν τε* L: *τότε* V

17

stellae nomine carentes

HIPPARCH. I p. 1040 B (193 P. 74 M.) *ἐν δὲ τοῖς ἐφεξῆς ὁ Ἄρατος ἐπελθὼν τὰ λοιπὰ τῶν νοτιωτέρων ἄστρων τοῦ ζωιδιακοῦ ἐπιφέρει ταυτί* (v. 367—369)·

οἳ δ᾽ ὀλίγωι μέτρωι ὀλίγηι δ᾽ ἐγκείμενοι αἴγληι
μεσσόθι Πηδαλίου καὶ Κήτεος εἰλίσσονται,
γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῆισι Λαγωοῦ.

ἐν δὲ τούτοις παρεωρακέναι μοι δοκεῖ (οὕτω γὰρ δεῖ λέγειν) *ὑπολαβὼν μεταξὺ τοῦ Πηδαλίου καὶ τοῦ Κήτους κεῖσθαι τοὺς ἀνωνύμους ἀστέρας· δεῖ γὰρ αὐτοὺς μεταξὺ τοῦ Ποταμοῦ καὶ τοῦ Πηδαλίου κεῖσθαι.* Sequitur probatio et Eudoxi, qui recte haec descripsisset, comparatio. Deinde subicit: *ὁ δὲ* ΑΤΤΑΛΟΣ *τούτου μὲν τοῦ παραράματος οὐκ ἐμνήσθη δεόντως εἰρηκέναι νομίζων τὸν Ἄρατον, ἐπιλαμβάνεται δὲ αὐτοῦ, διότι ᾽ἀδυνάτως ἀνέστραπται ἐν τούτοις᾽* (v. 367—385)·

οἳ δ᾽ ὀλίγωι μέτρωι ὀλίγηι δ᾽ ἐγκείμενοι αἴγληι
μεσσόθι Πηδαλίου καὶ Κήτεος εἰλίσσονται,
γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῆισι Λαγωοῦ,
νώνυμοι· οὐ γάρ τοί γε τετυγμένου εἰδώλοιο
βέβληνται μελέεσσιν ἐοικότες, οἷά τε πολλὰ
ἕξείης στιχόωντα παρέρχεται αὐτὰ κέλευθα
ἀνομένων ἐτέων. τά τις ἀνδρῶν οὐκέτ᾽ ἐόντων
ἐφράσατ᾽ ἠδ᾽ ἐνόησεν ἅπαντ᾽ ὀνομαστὶ καλέσσαι
ἤλιθα μορφώσας· οὐ γάρ κε δυνήσατο πάντων
οἱόθι κεκριμένων ὄνομ᾽ εἰπεῖν οὐδὲ δαῆναι·
πολλοὶ γὰρ πάντη, πολέων δ᾽ ἐπὶ ἶσα πέλονται

μέτρα τε καὶ χροιή, πάντες γε μὲν ἀμφιέλικτοι.
τῶι καὶ ὁμηγερέας οἱ ἐείσατο ποιήσασθαι
ἀστέρας, ὅφρ' ἐπιτὰξ ἄλλωι παρακείμενος ἄλλος
εἴδεα σημαίνοιεν. ἄφαρ δ' ὀνομαστὰ γένοντο
ἄστρα, καὶ οὐκ ἔτι νῦν ὑπὸ θαύματι λάμπεται ἀστήρ.
ἀλλ' οἳ μὲν καθαροῖς ἐναρηρότες εἰδώλοισι
φαίνονται, τὰ δ' ἔνερθε διωκομένοιο Λαγωοῦ
πάντα μάλ' ἠερόεντα καὶ οὐκ ὀνομαστὰ φέρονται.

ταῦτα δὲ προενεγκάμενος ὁ ΑΤΤΑΛΟΣ *ἐπιφέρει·*

ἐν δὲ τούτοις ἀδυνατώτερον ὁ ποιητὴς ἀνέστραπται πολλάκις ἐπὶ τὴν αὐτὴν διάνοιαν ἐπιφερόμενος καὶ οὐ δυνάμενος τὸν λόγον εὐπεριγράφως ἐξενεγκεῖν· βούλεται γὰρ δηλῶσαι, διότι οἱ μεταξὺ τοῦ Κήτους καὶ τοῦ Πηδαλίου τεταγμένοι ὑποκάτω τοῦ Λαγωοῦ ἐν οὐδενὶ ἄστρωι καταριθμοῦνται, ἀλλ' εἰσὶν ἀνώνυμοι· πολλῶν γὰρ ὑπαρχόντων ἀστέρων καὶ ἐνίων τὰ μεγέθη καὶ τὰ χρώματα ὅμοια ἐχόντων ὁ πρῶτος διατάξας τὰ ἄστρα καὶ κατὰ συστάσεις ἑκάστοις ὄνομα περιτιθεὶς οὐκ ἂν ἠδυνήθη σποράδην αὐτῶν κειμένων τὴν ἐπίγνωσιν αὐτῶν λαμβάνειν, εἰ μὴ λαβὼν ἐξ αὐτῶν τοὺς δυναμένους μετ' ἀλλήλων διασημαίνειν τι τῶν ἄστρων οὕτω κατωνόμασεν αὐτά.

δοκεῖ δέ μοι πᾶν τοὐναντίον ὁ μὲν ΑΤΤΑΛΟΣ *μὴ κεκρατηκέναι τῆς τοῦ ποιητοῦ διανοίας, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἣν προέθετο διάνοιαν τῶν στίχων ἀποδοῦναι μηδὲ ταύτην σαφῶς ἀλλ' ἀσυνέτως ἐξενηνοχέναι, ὁ μέντοι γε Ἄρατος κεκρατημένως ἀποδεδωκέναι.* Sequitur de Arato probatio.

---

4 *μετρίωι* L ‖ 6 *λαγωιοῦ* L ‖ 15 *οἱ* LM: *οὐ* V | *μετρίωι* L ‖ 16 *μεσσόθι* V (l. 5) M: *μέσσοι* L ‖ 18 *νώνυμοι* VL³M: *νωνοι* L | *τετυγμένου* LM: *-οι* V ‖ 19 *βεβλέαται* M ‖ 20 *στιχόωντα* LM: *-ο* V ‖ 21 *ἀνομένων* VL³, *ἀνυμένων* M: *ὠνομένων* L ‖ 22 *ἠδ'* M: *ἢ οὐδ'* V, *οὐδ'* L ‖ 23 *κε δυνήσατο* Attali paraphrasis l. 43 VM: *γ' ἐδυνήσατο* L ‖ 25 *δ'* om M ‖ 26 *γέμεν* M: *τε μὲν* LV ‖ 27 *ἐείσατο* LM: *ἀείσατο* V ‖ 28 *ἐπιτὰξ ἄλλωι* VL³M: *ἐπιταξ ἄλλωι* L ‖ 29 *εἰδέα* V | *γένοντο* LVM ‖ 30 *ὑπὸ* VM: *ἐν* L | *τέλλεται* M | 31 *εἰδώλοισι* LM: *-οιο* V ‖ 32 *λαγωιοῦ* L ‖ 33 *ἠερόεντα* L: *ἠρόεντα* V, *ἠερόωντα* M ‖ 39 *λαγωιοῦ* L ‖ 42 *πρώτως* L ‖ 49 *μὴ δὲ* LV ‖ 50 *ἀλλ' ἀσυνέτως* Vict: *ἀλλασυνέτως* L, *ἀλλὰ συνέτως* V | *κεκρατημένως* L: *-ος* V

18

Ara HIPPARCH. I p. 1041 C (196 P. 80 M.) *ἐξῆς δέ φησιν ὁ Ἄρατος περὶ τοῦ Θυμιατηρίου* (v. 402—407)·

αὐτὰρ ὑπ' αἰθομένωι κέντρωι τέραος μεγάλοιο
Σκορπίου, ἄγχι νότοιο, Θυτήριον αἰωρεῖται.
τοῦ δ' ἤτοι ὀλίγον μὲν ἐπὶ χρόνον ὑψόθ' ἐόντος
πεύσεαι· ἀντιπέρην γὰρ ἀείρεται Ἀρκτούροιο.
καὶ τοῦ μὲν μάλα πάγχυ μετήοροί εἰσι κέλευθοι
Ἀρκτούρου, τὸ δὲ θᾶσσον ὑφ' ἑσπερίην ἅλα νεῖται.

ἐν δὲ τούτοις δοκεῖ μοι ἀγνοεῖν ὁ Ἄρατος ὑπολαμβάνων, ὅσον ἀπέχει ὁ Ἀρκτοῦρος ἀπὸ τοῦ ἀεὶ φανεροῦ πόλου, τοσοῦτον ἀπέχειν καὶ τὸ Θυμιατήριον ἀπὸ τοῦ νοτίου πόλου. ὁμοίως δὲ καὶ ὁ ΑΤΤΑΛΟΣ ὡς ἂν συναποφαινόμενος αὐτῶι ἀγνοεῖ· ἐξηγούμενος γὰρ τὴν διάνοιαν τῶν εἰρημένων στίχων λέγει οὕτως·

περὶ δὲ τοῦ Θυμιατηρίου ποιούμενος τὸν λόγον φησὶν αὐτὸ κεῖσθαι πρὸς τὸν ἀφανῆ πόλον οὕτως ἔχον, ὡς ἀστὴρ ὁ καλούμενος Ἀρκτοῦρος πρὸς τὸν φανερὸν κεῖται πόλον. διό φησι τοῦ Θυμιατηρίου τὴν ὑπὲρ γῆς φορὰν βραχεῖαν εἶναι, τοῦ δὲ Ἀρκτούρου πολλήν.

ψευδῶς δὲ διαλαμβάνουσι τὸν Ἀρκτοῦρον ἴσον ἀπέχειν ἀπὸ τοῦ βορείου πόλου καὶ τὸ Θυμιατήριον ἀπὸ τοῦ νοτίου. Sequitur argumentatio Hipparchi.

---

4 *αἰωρεῖται* L: *-ῆται* V ‖ 5 *δ' ἤτοι* VM: *δή τοι* L ‖ 6 *πεύσεαι* LM: *-εε* V | *ἀρκτούροις* V ‖ 16 *περὶ* coni Vict ‖ 19 *ἶσον* V

19

Centaurus

HIPPARCH. I p. 1044 D sq. (197 P. 86 M.) *χωρὶς δὲ τούτων ὁλοσχερῶς ἀγνοεῖ* (Aratus v. 435—437) *λέγων τὸν Κένταυρον ὑπὸ τῶι Σκορπίωι καὶ ταῖς Χηλαῖς κεῖσθαι· ὅλος γὰρ σχεδὸν ὑπὸ τῆι Παρθένωι κεῖται.* Hoc pluribus probat; deinde pergit: *παραπέμπει δὲ καὶ τοῦτο ὁ* ΑΤΤΑΛΟΣ *ὡς εὖ εἰρηκότος αὐτοῦ.*

---

5 *εὖ εἰρηκότος* V: *εὐρηκότος* L ut fr 13

20

circuli

HIPPARCH. I p. 1045 B (198 P. 88 M.) *ἐν δὲ τοῖς ἑξῆς περὶ τῶν τροπικῶν καὶ τοῦ ἰσημερινοῦ καὶ τοῦ ζωιδιακοῦ κύκλου λέγων φησίν* (v. 467—468)·

αὐτοὶ δ' ἀπλατέες καὶ ἀρηρότες ἀλλήλοισι
πάντες· ἀτὰρ μέτρωι γε δύω δυσὶν ἀντιφέρονται.

γραφομένου δὴ διχῶς, καὶ ἐν οἷς μὲν ‘αὐτοὶ δ’ ἀπλατέες’ ἐν οἷς δὲ ‘αὐτοὶ δὲ πλατέες’, ὁ ΑΤΤΑΛΟΣ φησι βέλτιον εἶναι ‘αὐτοὶ δὲ πλατέες’.

καὶ γὰρ οἱ ἀστρολόγοι (φησί) πλατεῖς ὑποτίθενται τούς τε τροπικοὺς καὶ τὸν ἰσημερινὸν καὶ τὸν ζωιδιακὸν διὰ τὸ τὸν ἥλιον τὰς τροπὰς μὴ ἀεὶ ἐπὶ τοῦ αὐτοῦ κύκλου ποιεῖσθαι, ἀλλά ποτε μὲν νοτιώτερον, ποτὲ δὲ βορειότερον.

καὶ ὅτι γίνεται τοῦτο, καὶ Εὔδοξός φησιν (fr V syllogae meae). Sequitur Eudoxi placitum; deinde pergit: δοκεῖ δή μοι καὶ ἐν τούτοις ὁ ΑΤΤΑΛΟΣ ἀγνοεῖν ὑπολαμβάνων τὸν ἥλιόν ποτε μὲν νοτιωτέρας ποτὲ δὲ βορειοτέρας ποιεῖσθαι τὰς τροπὰς καὶ διὰ τοῦτο δεῖν τοὺς κύκλους ‘πλατεῖς’ ὑποτίθεσθαι. Sequitur Hipparchi argumentatio.

---

2 κύκλου om L ‖ 4 δ’ ἀπλατέες V: δὲ πλατέες L, δ’ ἀπλανέες M ‖ 7, 8 ὁ Ἄτταλος — πλατέες om L ‖ 10 διὰ τὸ τὸν Man: διὰ καὶ τὸν V, καὶ τὸν L

21

de tropico aestivo

HIPPARCH. I 1013 C (178 P. 26 M.) errasse scribit Aratum (v. 497—499) de tropico aestivo haec proferentem:

τοῦ μέν, ὅσον τε μάλιστα, δι’ ὀκτὼ μετρηθέντος
πέντε μὲν ἔνδια στρέφεται καὶ ὑπέρτερα γαίης,
τὰ τρία δ’ ἐν περάτῃ.

συμφωνεῖται δή, διότι ἐν μὲν τοῖς περὶ τὴν Ἑλλάδα τόποις ὁ γνώμων λόγον ἔχει πρὸς τὴν ἰσημερινὴν σκιάν, ὃν ἔχει τὰ τέσσαρα πρὸς τὰ τρία. ἐκεῖ δὴ τοίνυν ἡ μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ἰσημερινῶν ιδ′ καὶ γ′ ἔγγιστα πεμπτημορίων, τὸ δὲ ἔξαρμα τοῦ πόλου μοιρῶν λζ′ ὡς ἔγγιστα. ὅπου δὲ ἡ μεγίστη ἡμέρα λόγον ἔχει πρὸς τὴν ἐλαχίστην ὃν ἔχει τὰ ε′ πρὸς τὰ γ′, ἐκεῖ ἡ μὲν μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ιε′, τὸ δὲ ἔξαρμα τοῦ πόλου μοιρῶν μα′ ὡς ἔγγιστα. δῆλον τοίνυν, ὅτι οὐ δυνατὸν ἐν τοῖς περὶ τὴν Ἑλλάδα τὸν προειρημένον εἶναι λόγον τῆς μεγίστης ἡμέρας πρὸς τὴν ἐλαχίστην, ἀλλὰ μᾶλλον ἐν τοῖς περὶ τὸν Ἑλλήσποντον τόποις. καίτοι γε ὁ μὲν Ἄρατος οὐκ ἀφ’ ἑαυτοῦ κρίσιν περὶ τῶν τοιούτων προφερόμενος γέγραφεν, ἀλλὰ τῶι Εὐδόξωι καὶ περὶ τούτου κατακολουθήσας. εἰ δὲ καὶ ἀφ’ ἑαυτοῦ γέγραφεν, οὐ διασαφήσας ἐν ποίοις ἐστὶν ἡ προειρημένη ἔγκλισις τοῦ κόσμου τάχα ἂν κατά γε τοῦτο διακρούοιτο τὸ ἔγκλημα. ὁ μέντοι γε ΑΤΤΑΛΟΣ ὁμολογουμένως ἠγνόει λέγων ἐν τοῖς περὶ

τὴν Ἑλλάδα τόποις τὴν μεγίστην ἡμέραν πρὸς τὴν ἐλαχίστην λόγον ἔχειν ὃν τὰ ε΄ πρὸς τὰ γ΄· προεκθέμενος γὰρ τὰ ἐπὶ τοῦ θερινοῦ τροπικοῦ ποιήματα ἐπιφέρεται ταυτί·

διὰ δὲ τούτου φανερὸν ποιεῖ, διότι τὴν ὅλην πραγματείαν ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις πεποίηται· παρ' ἐκείνοις γάρ ἐστιν ἡ μακροτάτη ἡμέρα πρὸς τὴν μικροτάτην νύκτα ὡς τὰ ε΄ πρὸς τὰ γ΄.

Hipparchi doctrinam adversus Attalum promptam schol M refert ad v. 467 et Ach p. 159 P. ‖ 4 *ἐνδιαστρέφεται* LV ‖ 7 *ἡμερινὴν* L ‖ 10 *μοιρῶν* L: *μορίων* V ‖ 13 $\overset{o}{\mu}$ L ‖ 14 post *Ἑλλάδα* supplet ⟨*τόποις*⟩ Man ‖ 23 ante *τα* *ε΄*⟨*ἔχει*⟩ supplet Man | *ἐκθέμενος* L ‖ 25 Attali verba ab Hipparcheis distinxit L

22

HIPPARCH. I p. 1056 D (205 P. 108 M.) *ἑξῆς δέ φησιν* (Aratus de circulo aequatore 522—524)· idem

οὐ μὴν Αἰητοῦ ἀπαμείρεται, ἀλλὰ μάλ' ἐγγύς
Ζηνὸς ἀητεῖται μέγας ἄγγελος· ἡ δὲ κατ' αὐτόν
Ἱππείη κεφαλὴ καὶ ὑπαύχενον εἱλίσσονται.

συνεγγίζει δὲ καὶ ταῦτα τῇι ἀληθείαι. ὁ δὲ Εὔδοξος τὰ μὲν ἄλλα ὁμοίως εἴρηκε (fr XXIX), *τῶν δὲ Χηλῶν τὰ μέσα φησὶν ἐπὶ τοῦ ἰσημερινοῦ κεῖσθαι, τοῦ δ' Ἀετοῦ τὴν ἀριστερὰν πτέρυγα, τοῦ δὲ Ἵππου καὶ τὴν ὀσφὺν καὶ ἔτι τῶν Ἰχθύων τὸν βορειότερον αὐτῶν . . . ὁ δὲ* ΑΤΤΑΛΟΣ *περὶ τῶν ἐν τοῖς εἰρημένοις κύκλοις ἀστέρων τὸν μὲν κατὰ μέρος λόγον παραπέμπει, γράφει δὲ ταῦτα·*

ἐν οἷς δὲ διασαφεῖ (Aratus), *διὰ τίνων ἀστέρων ἕκαστος τῶν γ΄ παραλλήλων διήκει [δ' ὃ παραπέμπει], ὁλοσχερῶς οὐ δυναμένων διέρχεσθαι τῶν κύκλων δι' ὧν φησιν* (Aratus) *ἀστέρων αὐτοὺς διήκειν, διὰ τὸ παρηκολουθηκέναι σε, διὰ τῆς διόπτρας ἐπεσκεμμένον αὐτά, παρῆκα νῦν διασαφεῖν. πρῶτον μὲν οὖν ἔδει καὶ τῶν λοιπῶν χάριν τῶν φιλομαθούντων, εἴπερ παρηκολουθ⟨ήκ⟩ει, ὑποδεῖξαι, τίνες τε αὐτῶν νοτιώτεροι καὶ βορειότεροι ἐφαίνοντο τοῦ θερινοῦ τροπικοῦ καὶ πόσωι, ἔπειτα πρὸς τὸ αὐτὸ τοῦτο μόνον κατανοῆσαι, διότι οὐ φέρονται κύκλοι διὰ τῶν εἰρημένων ἀστέρων, οὐ χρεία διόπτρας.* Sequitur probatio Hipparchi.

---

3 *αἰητοῦ* VM: *αἰειτοι* L ‖ 4 *αὐτοὺς* M ‖ 5 *ὑπαύχενον* LM: *-ένιον* V | *ἑλίσσονται* V ‖ 8 *τοῦ τ' ἀετοῦ* V, *τοῦ τε αἰετοῦ* L ‖ 14 *δ' ὅτι παραπέμπει* L; seclusi, secludit correctione *ὃ δὴ* tentata usque ad *σὲ* (16) Scal, *ὅτι π.* ed Man, quod non intellego ‖ 19 supplevi ‖ 22 *χρείαν* V

23

horarum noctis computatio

HIPPARCH. II p. 1064 B (209 P. 122 M.) *πρῶτον μὲν οὖν ὁ Ἄρατος ὑποδεῖξαι βουλόμενος, πῶς διὰ τῆς ἀνατολῆς καὶ τῆς δύσεως τῶν ἄστρων ἐπιγνωσόμεθα τὴν ὥραν τῆς νυκτός, λέγει ταυτί.* Secuntur v. 559—568 ipsi et paraphrasis; deinde ita pergit: *πρῶτον μὲν οὖν ἀγνοεῖ ὑπολαμβάνων ἀρκεῖν πρὸς τὸ τὴν ὥραν ἐπιγνῶναι τῆς νυκτὸς τὸ συλλογίσασθαι, πόσα ἔτι ζώιδια καταλείπεται εἰς τὴν τοῦ ἡλίου ἀνατολήν· τοῦτο γὰρ ⟨ἂν⟩ ἐγίνετο, εἰ ἐν ἴσωι χρόνωι ἕκαστον τῶν ζωιδίων ἀνέτελλεν. ἐπεὶ δὲ μεγάλην εἶναι συμβαίνει διαφορὰν ἐν ταῖς ἀνατολαῖς τῶν ιβ′ ζωιδίων, ἀγνοήσει τὴν τῆς νυκτὸς ὥραν ὁ τῶι προειρημένωι συλλογισμῶι χρώμενος. μάλιστα δ' ἄν τις θαυμάσειε, πῶς καὶ* ΑΤΤΑΛΟΣ *συγκατατίθεται τούτωι· λέγει γὰρ τὸν τρόπον τοῦτον·*

> *ἐν δὲ τοῖς ἑχομένοις* (v. 559—568) *πειρᾶται ὑποδεικνύειν, πῶς ἄν τις διὰ τῶν ἄστρων δύναιτο τὴν ὥραν τῆς νυκτὸς ἐπιγιγνώσκειν· ἐπεὶ γάρ ἐστιν ἀρχὴ νυκτὸς ἡλίου δύσις, ὁ δὲ ἥλιος ἀεὶ ἔν τινι τῶν ιβ′ ζωιδίων ἐστί, δῆλον ὅτι τῶι γιγνώσκοντι, ἐν τίνι τε ζωιδίωι ὁ ἥλιός ἐστι καὶ ἐν πόστηι μοίραι τοῦ ζωιδίου, ῥάιδιόν ἐστιν ἐπιγνῶναι καὶ ποῖον ζώιδιον ἐν ἀρχῆι τῆς νυκτὸς ἀνατέλλει καὶ ποίαι μοίραι· τῆι γὰρ ὑπὸ τοῦ ἡλίου κατεχομένηι μοίραι ἡ κατὰ διάμετρον κειμένη τὴν ἀνατολὴν κατὰ τὴν ἀρχὴν τῆς νυκτὸς ποιήσεται. τοῦτο δὲ προϊστορηκὼς καὶ ἐπεγνωκώς, ὅτι ἐν πάσηι νυκτὶ ς′ ζώιδια πρὸς τῆι ἀνατολῆι ἀνίσχουσι, γνώσεται καὶ πόσον τῆς νυκτὸς παρεληλυθός ἐστι καὶ πόσον τὸ λοιπὸν ἕως τῆς τοῦ ἡλίου ἀνατολῆς.*

μετὰ δὲ ταῦτα λέληθεν ἀμφοτέρους αὐτούς, ὅτι οὐδ' ἂν αὐτὸ τὸ ζώιδιον βλέπηι τις ἀνατεταλκὸς δυνατός ἐστιν ἀκριβῶς τὴν ὥραν τῆς νυκτὸς συλλογίσασθαι κατὰ τὸν προειρημένον τρόπον. Deinde refutantur Aratus et ATTALVS.

Aratum et Attalum schol M tacite sequitur ‖ 4 *ἐπιλέγει* L ‖ 7 *καταλείπεται* V: *-ονται* L ‖ 8 supplevi | *εἰ* ante *ἕκαστον* L ‖ 9 *συμβαίνει* om V ‖ 20 *ποίαι μοίραι* corr Vict: *ποῖαι μοῖραι* V, *ποία μοῖρα* L ‖ 23 *ποιήσει* L ‖ 24 *ζώιδια* L: *ζωιδίων* V | *ἀνίσχουσι* L: *ὑπάρχων* V cf p. 19, 21. 20, 28. 24, 63 ‖ 28 *δυνατός* L: *-όν* V², om V | 28, 9 *ἐστιν — νυκτὸς* LV², om V

24

Hipparch. II p. 1076 A (217 P. 146 M.) *οὐ μόνον δὲ ὁ Ἄρατος* (v. 581) *καὶ ὁ Εὔδοξος* (fr XXXVI) *ἀλλὰ καὶ οἱ λοιποὶ μαθηματικοὶ πάντες σχεδόν, ὅσοι περὶ τοῦ Βοώτεω λόγον πεποίηνται, ὁμοίως τούτοις ἀποπεπλάνηνται νομίζοντες τέσσαρσι ζωιδίοις αὐτὸν συγκαταδύνειν.* ΑΤΤΑΛΟΣ *δὲ καὶ περὶ τοῦ τὴν ἀρχὴν τῆς δύσεως αὐτὸν ποιεῖσθαι μὴ τῶι Σκορπίωι συγκαταφερόμενον, ὡς ἡμεῖς ἐνδείκνυμεν, ἀλλὰ ταῖς Χηλαῖς ἱκανῶς διαβεβαιοῦται λέγων τὸν τρόπον τοῦτον·*

Arcturi occasus

> *ἔνιοι γὰρ οὔτε τοῖς φαινομένοις παρακολουθοῦντες οὔτε τὰ ὑπὸ τοῦ ποιητοῦ λεγόμενα δυνάμενοι συνεῖναι διαφόρους ἀποφάσεις πεποίηνται περὶ αὐτοῦ. καί τινες μέν φασιν αὐτὸν τῆι Παρθένωι πρῶτον ἄρχεσθαι συγκαταδύνειν, εἶτα τοῖς ἐφεξῆς τρισὶ ζωιδίοις, ἔνιοι δὲ ἄρχεσθαι μὲν ἀπὸ τοῦ Σκορπίου, λήγειν δὲ ἐπὶ τὸν Ὑδροχόον. ὧν τισι καὶ σὺ παρατέτευχας ἐλεγχομένοις ὑφ' ἡμῶν καὶ μετατιθεμένοις. καθόλου δὲ καὶ τοῦ φαινομένου τοῦτο συνιστάντος καὶ τοῦ ποιητοῦ σαφῶς λέγοντος, ὅτι ὅλος μὲν δεδυκὼς γίνεται Λέοντος πρὸς ἀνατολὰς ὄντος, ἄρχεται δὲ δύεσθαι, ὅταν ὁ Ταῦρος μέλλῃι ἀνατέλλειν, τὸ δὲ κατὰ διάμετρον αὐτῶι κείμενον ζώιδιον, ὁ Σκορπίος, πρὸς τῆι δύσει ὑπάρχῃι, αἱ δὲ Χηλαὶ ἀρτίως κατενηνεγμέναι ὦσιν, αἷς ἅμα συγκαταφέρεσθαι ἄρχεται ὁ Ἀρκτοφύλαξ, φανερὸν εἶναι νομίζω, διότι τοὺς ἀντιδοξοῦντας ἡμῖν περὶ τούτου παντελῶς ἀπείρους εἶναι τῶν φαινομένων συμβέβηκεν.*

καλῶς μὲν οὖν εἶχεν, εἰ μὴ μόνον ἀναποδείκτωι φάσει χρώμενος ἔλεγε τοὺς ἀντιδοξοῦντας ἐλεγχομένους ὑπ' αὐτοῦ μετατίθεσθαι, ἀλλὰ καὶ νῦν ἔγγραπτον ἐτίθει τὴν ἀπόδειξιν, ἵνα καὶ οἱ λοιποὶ τῶν ἀντιδοξούντων πεισθῶσιν, ὅτι ταῖς Χηλαῖς ἄρχεται συγκαταδύνειν καὶ οὐ τῶι Σκορπίωι. πλήν, ἐπεὶ οὕτως παραλέλοιπεν, οὐκ ἄχρηστον ἂν εἴη διὰ βραχέων ὑπομνῆσαι, δι' ὧν πειθόμεθα τῶι Σκορπίωι πρώτως αὐτὸν συγκαταδύνειν κτλ. Sequitur probatio.

---

7 *ἐδείκνυμεν* V ‖ 11,2 *φασὶ μὲν* L ‖ 13 *εἶτα* scripsi: *εἶτα ἐν* L, *εἶτ' ἐν* V ‖ 14 *ὑδριχόον* L ‖ 15 de *τισὶ* cf Proleg I ‖ 15,6 *μεταθεμένοις* L ‖ 16, 7 *συνιστῶντος* L ‖ 17 *ὅλως* V ‖ 18 *πρὸς τῆι ἀνατολῆι* coni Man ‖ 19 *ὅτ' ἂν* L ‖ 20 *αὐτοῦ* L ‖ 21 *ὑπάρχῃι* scripsi, *-ων* Pet, *-ειν* Scal: *-ον* L, *ὑπαρχ* (scripto *χ* supra *ρ*) V | *εἰσὶν* L ‖ 29 *οὕτως* L, *οὕτῳ* (sic) V

25

Virginis ortus

HIPPARCH. II p. 1077 D (219 P. 152 M.) *τῆς δὲ Παρθένου ἀρχομένης ἀνατέλλειν* (v. 597—606)

Λύρη τότε (φησί) Κυλληναίη
καὶ Δελφὶς δύνουσι καὶ εὐπολητος Ὀιστός.
σὺν τοῖς Ὄρνιθος πρῶτα πτερὰ μέχρι παρ' αὐτὴν
οὐρὴν καὶ Ποταμοῖο παρηορίαι σκιόωνται·
δύνει δ' Ἱππείη κεφαλή, δύνει δὲ καὶ αὐχήν.
ἀντέλλει δ' Ὕδρη μὲν ἐπὶ πλέον ἄχρι παρ' αὐτόν
Κρητῆρα, φθάμενος δὲ Κύων πόδας αἴνυται ἄλλους
ἕλκων ἐξόπιθεν πρύμναν πολυτειρέος Ἀργοῦς.
ἣ δὲ θέει γαίης ἰστὸν διχόωσα κατ' αὐτόν,
Παρθένος ἡμος ἅπασα περαιόθεν ἄρτι γένηται.

τῶι δὲ Ἀράτωι τὰ αὐτὰ καὶ ὁ Εὔδοξος λέγει (fr XXXVIII). *ὁ μέντοι γε* ATTALOS *οὐ δυνάμενος κρατῆσαι τῆς διανοίας τοῦ ποιητοῦ ἀλλ' ὑπολαβὼν λέγειν αὐτόν, τῆς Παρθένου μελλούσης ἀνατέλλειν ὅτι ἡ πρύμνα ἀνατέταλκεν ἕως μέσου τοῦ ἱστοῦ, φησὶ τὸ 'ἅπασα' τῶι ἐσχάτωι στίχωι κενῶς προσκεῖσθαι· ἐκθέμενος γὰρ τῶν προειρημένων στίχων τοὺς ἐσχάτους ρ' † ἐπιφέρει ταυτί·*

ἐν δὲ τούτοις τὸ 'ἅπασα' προσαναπληρώματος ἔχει τάξιν· εἴτε γὰρ ἐπὶ τὴν Ἀργὼ μεταβιβάσειέ τις αὐτὸ ποιῶν τὸν λόγον τοιοῦτον 'ἣ δὲ πᾶσα θέει γαίης ἰστὸν διχόωσα κατ' αὐτόν, Παρθένος ἡμος περαιόθεν ἄρτι γένηται', ὁμολογουμένως ἀναπληρώματος ἔχει τάξιν· εἴτ' ἐπὶ τὴν Παρθένον, τὸ αὐτὸ συμβήσεται, ἐὰν μή τις δέξηται, ὅτι ὅλην φησὶ τὴν Παρθένον ἀνατειαλκέναι. ὅπερ οὐ βούλεται λέγειν· εἰ γὰρ ἡ Παρθένος ὅλη ἀνατέταλκε, δῆλον ὅτι αἱ Χηλαὶ πρὸς τῶι ἀνατέλλειν εἰσίν. κατὰ δὲ τοῦτον τὸν καιρὸν ὅλην φησὶ τὴν Ἀργὼ ἀνατεταλκέναι, λέγων οὕτως (v. 607—610)·

οὐδ' ἂν ἐπερχόμεναι Χηλαὶ καὶ λεπτὰ φάουσαι
ἄφραστοι παρίοιεν, ἐπεὶ μέγα σῆμα Βοώτης
ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο.
Ἀργὼ δ' εὖ μάλα πᾶσα μετήορος ἵσταται ἤδη.

δοκεῖ οὖν μοι πεπλανῆσθαι ὁ ATTALOS *οὐ συνιείς, ὅτι ἐπιθέτως λέγεται ὑπὸ τοῦ ποιητοῦ τὸ 'ἱστὸν διχόωσα κατ' αὐτόν'* (v. 605) *καὶ οὐχ, ὅτι ἀνατέλλει ἕως μέσου τοῦ ἱστοῦ· ὁ γὰρ ἑξῆς λόγος ἐστὶ τοιοῦτος· τῆς Παρθένου ἀρχομένης ἀνατέλλειν ὅ τε*

Κύων ἀνατέταλκε καὶ ἡ πρύμνα τῆς Ἀργοῦς, αὐτὴ μέντοι ἡμίσεια οὖσα ἕως τοῦ ἱστοῦ ἀναφέρεται, ἕως ἂν ὅλη ἡ Παρθένος ἀνατείλῃ.

---

3 *κυληναίη* LM, *κυλήνη* V ‖ 5 *δ'* post *τοῖς* V: om LM | *μέσφα* M ‖ 12 *παραιόθεν* V ‖ 13 *ὁ* ante *Εὔδ.* om L ‖ 17 *ἅπασα* corr Vict: *-αν* LV | *καινῶς* V ‖ 18 *ῥ'* delet Pet ‖ 20 *πρὸς ἀναπληρώματος* V ‖ 21 *μεταβιβάσειεν* V ‖ 21,2 *τ. λ. τοῦτον* L ‖ 23, 4 *ὁ. ἄρα πληρώματος* L ‖ 24 *τὴν Παρθένον* corr Man: *τῆς Παρθένου* LV ‖ 26 *οὐ* om L ‖ 27 *ἡ* L: *ἣν* V | *ἀνατέταλκεν* L ‖ 28 *πρὸς τὸ ἀ.* L ‖ 34 *εὖ* L paraphrasis l. 29 et quos enumeravi in editione: *οὐ* VM cum schol | *ἔσσεται* M ‖ 35 *συνεὶς* L ‖ 37 *γὰρ* scripsi, *δὲ* Man: *τε* LV ‖ 39, 40 *ἡμίσει* L

26

Cephei occasus

HIPPARCH. I p. 1037 B (193 P. 72 M.) *χωρὶς δὲ τῶν εἰρημένων ἀμφότεροι ἀγνοοῦσιν ὅ τε Ἄρατος καὶ ὁ* ΑΤΤΑΛΟΣ *συναποφαινόμενος αὐτῷ, διότι ὁ Κηφεὺς τῇι ζώνηι* (v. 650—652)

γαῖαν ἐπιξύει, τὰ μὲν εἰς κεφαλὴν μάλα πάντα
βάπτων ὠκεανοῖο, τὰ δ' οὐ θέμις, ἀλλὰ τά γ' αὐτόν
Ἄρκτοι κωλύουσι πόδας καὶ γοῦνα καὶ ἰξύν.

ἐν γὰρ τοῖς περὶ τὴν Ἑλλάδα τόποις οὐχ ἕως τῆς ζώνης δύνει ὁ Κηφεύς, ἀλλ' οὐδὲ ἕως τῶν ὤμων· οἱ γὰρ ἐν τῇι κεφαλῇι αὐτοῦ κείμενοι ἀστέρες μόνον δύνουσιν, οἱ δὲ ὦμοι ἐν τῶι ἀεὶ φανερῶι τμήματι φέρονται οὔτε δύνοντες οὔτε ἀνατέλλοντες. Sequitur probatio Hipparchi.

---

3 *δύνει* post *διότι* LV: omisi ‖ 4 *ἐπιξύει* VM: *-ων* L ‖ 5 *ἀλλ' ἄστατος αὐτόν* L, *ἀλλα τά τ' αὐτά* V, *ἀλλὰ τά γ' αὐταί* M ‖ 7 *περὶ τοῖς* V | *ἕως* L: *οἷον ὡς* V ‖ 10 *δύνοντες* V

27

Aquarii ortus

HIPPARCH. II p. 1085 (224 P. 168 M.) *παρέχει δέ τισιν ἐπίστασιν, πῶς ἐπὶ τῶν ἄλλων ζωιδίων ὁ Ἄρατος τὰς ἀρχὰς ἐπὶ τῆς ἀνατολῆς ὑποτιθέμενος καὶ οὕτω τὰς τῶν ἄλλων ἄστρων ἀνατολὰς καὶ δύσεις διασαφῶν τὸν Ὑδροχόον μέσον ἀνατέλλειν ὑποτίθεται, λέγων οὕτως* (v. 693, 4)·

Ἵππος δ' Ὑδροχόοιο μέσον περιτελλομ'νοιο
ποσσί τε καὶ κεφαλῇι ἀνελίσσεται.

τούτου δ' ἀπορουμένου ὁ ΑΤΤΑΛΟΣ *φησιν ἁμάρτημα εἶναι, δεῖν δὲ γράφειν οὕτως·*

Ἵππος δ' Ὑδροχόοιο νέον περιτελλομένοιο.

λανθάνει δὲ τόν τε ΑΤΤΑΛΟΝ *καὶ τοὺς ἄλλους τὸ βούλημα τοῦ*

ποιητοῦ, τάχα δὲ καὶ τὸ φαινόμενον· ὁ γὰρ Ὑδροχόος τῇ θέσει κείμενος ἀπὸ μεσημβρίας πρὸς Ἄρκτους τὰ μὲν κατὰ τὸ στῆθος καὶ τὴν κεφαλὴν μέρη πολὺ ἐκπίπτοντα τοῦ ζωιδιακοῦ κύκλου εἰς τὸ πρὸς Ἄρκτους μέρος, τὰ δὲ κατὰ τοὺς πόδας νοτιώτερα ἔχει τοῦ ζωιδιακοῦ κύκλου. ἐν δὲ τῶι ζωιδιακῶι τὰ μέσα αὐτοῦ κεῖται. ἐπεὶ οὖν τὰ δωδεκατημόρια τοῦ ζωιδιακοῦ κύκλου ὑποτίθεται ἀναφερόμενα, διὰ τοῦτο ὁ Ἄρατος λέγει 'τοῦ Ὑδροχόου κατὰ μέσον τοῦ σώματος ἀνατέλλοντος ὁ Ἵππος ποσί τε καὶ κεφαλῆι ἀνελίσσεται', καὶ οὐχὶ τὸ μέσον τοῦ ἐν τῶι δωδεκατημορίωι μήκους, ὡς οἵ τε πολλοὶ καὶ ὁ ΑΤΤΑΛΟΣ ἐκδέχεται. ἀναγκαῖον οὖν εἶναι δοκεῖ μοι μὴ μετατιθέναι τὸν στίχον, ὡς ὁ ΑΤΤΑΛΟΣ ὑποδεικνύει, ἐν πᾶσί γε δὴ τοῖς ἀντιγράφοις οὕτως αὐτοῦ γραφομένου.

---

4 ὑδριχόον L ‖ 6 ὑδριχόοιο LM ‖ 8 τοῦτο δ' ἀπορῶν L ‖ 10 ὑδριχόοιο L | νέον etiam M al (cf editionem) ‖ 12 ὑδριχόος L ‖ 15 ἄρκτον V | ἔχει post μέρος L ‖ 19 ὑδριχόου L | τὸ σῶμα coni Man ‖ 20 ποσσί coni Man | κεφαλὴ L ‖ 21 παλαιοὶ L ‖ 22 μὴ (superscriptum) μετατιθέναι L: μετὰ τὸ τιθέναι V

28

Arietis ortus

HIPPARCH. II p. 1088 D (225 P. 172 M.) περὶ δὲ τῆς τοῦ Κριοῦ ἀνατολῆς ὁ Ἄρατος λέγων 'τὰ μὲν δεξιά' φησι (v. 707—713) 'τῆς Ἀνδρομέδας οἱ Ἰχθύες'

αὐτοὶ ἐφέλκονται, τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει
Κριὸς ἀνερχόμενος. τοῦ καὶ περιτελλομένοιο
ἑσπερόθεν κεν ἴδοιο Θυτήριον, αὐτὰρ ἐν ἄλλῃι
Περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὦμους.
αὐτὴ δὲ ζώνη καί κ' ἀμφήριστα πέλοιτο
ἢ Κριῶι λήγοντι φαεινεται ἢ ἐπὶ Ταύρωι.

γράφεται μὲν οὕτως ὁ ἔσχατος στίχος. εἰκὸς μέντοι γε ἠγνοῆσθαι τὸ 'λήγοντι'· ἐξ ἀρχῆς γὰρ πάντων τῶν ζωιδίων τὰς ἀρχὰς ἐπὶ τῆς ἀνατολῆς ὑποτίθεται καὶ οὐχὶ μεσοῦντα ἢ λήγοντα· ἐπὶ γὰρ τῶν ἄλλων ἄστρων τινὰ μὲν μέρη μεσούντων τῶν ζωιδίων, τινὰ δ' ἀρχομένων ἢ ληγόντων δύνει ἢ ἀνατέλλει. ὅθεν καὶ ὁ ΑΤΤΑΛΟΣ κατὰ μὲν τοῦτο ὀρθῶς συνεώρακε τὸ ἀγνόημα, καὶ δεῖ τοι ἤ, ὡς ἐκεῖνός φησι, γράφεσθαι 'ἢ Κριῶι ἀνιόντι φαείνεται ἢ ἐπὶ Ταύρωι' ἢ νὴ Δία οὕτως 'ἢ Κριῶι λήγουσα φαείνεται', ὥστε τὸ 'λήγουσα' ἐπὶ τὴν ζώνην ἀναφέρεσθαι, λέληθε μέντοι γε αὐτὸν τὸ βούλημα τοῦ ποιητοῦ καὶ ἐν τούτοις· λέγει γὰρ οὕτως·

ἡμεῖς μέντοι καὶ ἐπὶ τούτωι τῶι τε ποιητῆι συμφώνως καὶ τοῖς φαινομένοις ἀκολούθως οἰόμεθα δεῖν γράφεσθαι τὸ ποίημα τὸν τρόπον τοῦτον (v. 712—714)·

αὐτὴ δὲ ζώνη καί κ' ἀμφήριστα πέλονται
ἢ Κριῶι ἀνιόντι φαείνεται ἢ ἐπὶ Ταύρωι,
σὺν τῶι πασσυδίηι ἀνελίσσεται.

ἐπεὶ γὰρ μέλλοντος μὲν τοῦ Κριοῦ ἀνατέλλειν ὁ Περσεὺς ὁμολογουμένως μέχρι τῶν ὤμων ἐκφανὴς γίνεται, ἅμα δὲ τῶι ἄρξασθαι ἀναφέρεσθαι τὸν Κριὸν εὐθέως ἔκδηλος ἡ τοῦ Περσέως ζώνη γίνεται διὰ τὸ βραχὺ παντελῶς παραλλάσσειν τῆς τοῦ Κριοῦ ἀρχῆς τὴν φάσιν αὐτῆς, διστάζει, πότερον κατὰ τὴν τοῦ Κριοῦ μέλλοντος ἀνατέλλειν ἀρχὴν ὑποθῆται φανερὰ⟨ν αὐτὴν⟩ ἤδη γίνεσθαι ἢ ἐπὶ τὸ μᾶλλον ὁμολογούμενον ἔλθηι, διότι τοῦ Ταύρου μέλλοντος ἀναφέρεσθαι ἐκφανής ἐστι τοῦ Περσέως ἡ ζώνη μετὰ τοῦ λοιποῦ σώματος. καὶ τοῦτον τὸν τρόπον γραφομένου τοῦ ποιήματος τά τε φαινόμενα σωθήσεται καὶ τὰ περὶ τῆς ζώνης ὁ ποιητὴς οὐ μόνον ἐμπείρως ἀλλὰ καὶ ἀκριβῶς ἐξηγούμενος ἂν φαίνοιτο.

πρῶτον μὲν οὖν διὰ τούτων ὁ ΑΤΤΑΛΟΣ ἀγνοεῖ, νομίζων ἐπὶ τοσοῦτον τὴν ἀκρίβειαν ἐν τοῖς Φαινομένοις ὑπὸ Ἀράτου διειλῆφθαι, ὥστε περὶ αὐτῶν τῶν ἐν τῆι ζώνηι τοῦ Περσέως ἀστέρων διστάζει⟨ν⟩ αὐτόν, πότερον τῆς ἀρχῆς τοῦ Κριοῦ ἐπ' ἀνατολῆς οὔσης καὶ αὐτὴ ἤδη φανερά ἐστι σὺν τοῖς ὤμοις καὶ τῆι κεφαλῆι ἢ μετ' ὀλίγον· χωρὶς γὰρ τοῦ ὁλοσχερῶς μὴ μόνον τὸν Ἄρατον, ἀλλὰ καὶ τὸν Εὔδοξον ἐν τοῖς Φαινομένοις ἀναστρέφεσθαι, καθάπερ ἐπιδεδείχαμεν, ἔτι καὶ οὐ μόνον ἐπὶ τῆς τοῦ Περσέως ζώνης τοῦτ' ἂν παρὰ τῶι Ἀράτωι διστάζοιτο, ἀλλὰ καὶ ἐπὶ πάντων ⟨τῶν⟩ β' ἢ καὶ πλείοσι ζωιδίοις συνανατελλόντων. τελέως δ' ἀγνοεῖν δόξειεν ἂν ὁ ΑΤΤΑΛΟΣ καὶ τὰ φαινόμενα ὑπολαμβάνων κατὰ ἀλήθειαν οὕτως εἶναι διστα⟨ζ⟩όμενα ⟨τὰ⟩ περὶ τὴν ζώνην τοῦ Περσέως, καθάπερ προείρηκεν· οὐ γὰρ μόνον ἡ ζώνη τοῦ Περσέως φαίνεται ὑπὲρ γῆν τοῦ Κριοῦ ἀρχομένου ἀνατέλλειν, ἀλλὰ καὶ ὅλος σχεδὸν ὁ Περσεὺς πλὴν τοῦ ἀριστεροῦ ποδὸς καὶ τοῦ γόνατος. Sequitur probatio Hipparchi; deinde pergit: δῆλον οὖν, ὅτι ἀγνοεῖ λέγων τά τε φαινόμενα σωθήσεσθαι καὶ τὸν Ἄρατον ἐμπείρως καὶ ἀκριβῶς τὰ περὶ τῆς τοῦ Περσέως ζώνης φανεῖσθαι ἐξηγούμενον.

δοκεῖ δέ μοι διηπορῆσθαι ὁ Ἄρατος παρὰ τὴν αὐτὴν αἰτίαν παρ' ἣν καὶ Εὔδοξος (fr IV), ὧι κατηκολούθηκεν ὁ Ἄρατος·

ἐν μὲν γὰρ τῶι συντάγματι τῶι περὶ τῶν Φαινομένων γράφει, ὅτι τοῖς Ἰχθύσι συνανατέλλει τὰ δεξιὰ τοῦ Περσέως, ὥστε τῆς ἀρχῆς τοῦ Κριοῦ πρὸς τῆι ἀνατολῆι οὔσης τὰ δεξιὰ μόνον τοῦ Περσέως μέρη κατ᾽ αὐτὸν ὑπὲρ γῆν φαίνεσθαι, ἐν δὲ τῶι ἑτέρωι συντάγματι, ὃ ἐπιγράφεται Ἔνοπτρον, τοῖς Ἰχθύσι φησὶν αὐτὸν ὅλον πλὴν ὀλίγου συνανατέλλειν. ἐν πᾶσιν οὖν σχεδὸν τοῖς περὶ τὰς ἀνατολὰς τῶν ἄστρων συμφωνούντων ἀλλήλοις τῶν δύο συνταγμάτων, περὶ δὲ τοῦ Περσέως διαφόρου τῆς ἀναγραφῆς οὔσης, εὐλόγως ὁ Ἄρατος διαπορῶν, ποίαι τις κατακολουθήσηι ἀποφάσει, ἀμφήριστόν φησιν εἶναι καὶ δισταζόμενον, πότερον καὶ ἡ ζώνη τοῦ Περσέως μετὰ τῶν ὤμων καὶ τῆς κεφαλῆς τοῦ Κριοῦ ἀνατέλλοντος μετέωρος φαίνεται ἢ τοῦ Ταύρου ἀναφερομένου, ὡς τὸ ἕτερον τῶν τοῦ Εὐδόξου συνταγμάτων περιέχει. οὐ παρὰ τὸ τῆι αἰσθήσει οὖν δύσκριτον εἶναι διὰ μικρότητα τῆς διαφορᾶς, ὡς ὁ ΑΤΤΑΛΟΣ ὑπέλαβεν, ἀμφήριστόν φησιν εἶναι, πότερον ἡ ζώνη τοῦ Περσέως ὑπὲρ γῆν ἤδη φαίνεται τῆς ἀρχῆς τοῦ Κριοῦ πρὸς τῶι ὁρίζοντι οὔσης, ἢ ἀρχομένου ἤδη ἀνατέλλειν τοῦ Ταύρου τότε καὶ αὐτὴ ἀναφέρεται, ἀλλὰ ⟨παρὰ⟩ τὸ μὴ ἔχειν εἰπεῖν διὰ τὸ ἑκατέρως παραδίδοσθαι.

διχῶς δὲ γραφομένου ἐν μέν τισιν ἀντιγράφοις ʻκαί κ᾽ ἀμφήριστα πέλοιτοʼ, ἐν δέ τισι ʻκαί κ᾽ ἀμφήριστα πέλονταιʼ, δεῖ γράφειν ʻπέλοιτοʼ, καὶ οὐχ, ὡς ὁ ΑΤΤΑΛΟΣ, ʻπέλονταιʼ· τῶι γὰρ ʻἄνʼ συνδέσμωι τὸ ʻπέλοιτοʼ καταλλήλως λέγεται· οὐδὲ γὰρ περισπᾶσθαι δεῖ διὰ τὸ πληθυντικῶς ἐκφέρεσθαι τὸ ʻἀμφήρισταʼ· σύνηθες γάρ ἐστι τὸ σχῆμα τοῦτο τῆς ἐκφορᾶς.

---

4 *νειόθεν ἕλκει* VM: *εἴωθεν ἕλκειν* L ‖ 5 *ἀνερχόμενος* VM: *ἀνελκόμενος* L ‖ 6 *ἐν* VM: om L ‖ 7 *Περσέως ἀνατέλλοντος* V ‖ 8 *αὐτὴ δὲ* LM: *-ῆι τε* V | *κ᾽ ἀμφήριστα* M, *καμφήριστα* V: *ἀμφήριστα* L (cf l. 24. 80—84) | *γένοιτο* LV (at cf l. 81, 2) ‖ 11 *τὸ* L: *τῶι* V ‖ 13 *ἐπὶ γὰρ* L: *ἐπεὶ οὕτω γε καὶ* V ‖ 14 *λεγόντων* LV²: *γόντων* V ‖ 15 *γε* pro *μὲν* coni Man ‖ 18 *λήγουσαν* V ‖ 24 *αυτη* (sic) LV | *δὲ* LM: *τε* V | *καμφήριστα* V, *ἀμφήριστα* L | *πέλοιτο* LVM (at cf l. 80—85) ‖ 26 *σὺν τῶι* om L | *πασυνδίη* LV ‖ 27 *μὲν* om L ‖ 31, 2 *διστάζειν* V ‖ 32 *τὴν* L: *τὸν* V ‖ 33 supplevi: ⟨*ν*⟩ suppl Pet, ⟨*αὐτὴν*⟩ Man at ante *φανερὰ*⟨*ν*⟩ | 37 *φαινόμενα* corr Man cf l. 56, 7: *γραφόμενα* LV ‖ 39 *ἀναφαίνοιτο* L ‖ 40 *ἐν τούτοις* coni Man | *ἀγνοεῖ* corr Pet cf l 56: *ἀπορεῖ* V, *εἰ* L ‖ 43 suppl Man | *αὐτὸν* corr Man: *τὸ* LV ‖ 49 supplevi | *δύο* V ‖ 50 *τέλος* V | *ἄν* scripsi: *ὅτι* L, om V; *δ. ὅ τε Ἄτταλος καὶ ὁ τὰ Φαινόμενα* coni Scal ‖ 52 supplevi ‖ 53 *μόνη* L ‖ 63, 4 *μέρη τοῦ Περσέως* L ‖ 69 *ποῖά τις* V | *-ει* LV ‖ 78 supplevi ‖ 79 *παραδεδόσθαι* L ‖ 80, 1 *κ᾽ ἀμφήριστα πέλοιτο* M corr Pet Scal: *καμφήστατο* V, *καμφίστατο* L ‖ 81 *καμφήριστα* LV ‖ 83 *ἄν* om L ‖ 83, 4 pro *περισπᾶσθαι* coni *ʻπέλονταιʼ γράφεσθαι* Man (cf Aratea p. 110).

II ACHILLES

1. ISAGOGA EXCERPTA

V(aticanus) 191 bombycinus s. XIV
V² manus altera correctrix Victorii
M(ediceus) XXVIII 44 chartaceus s. XV
cf Prolegomena II

2. COMMENTARII FRAGMENTUM

Vaticanus 191

D(ielesii) Doxographi graeci Berolini a. 1879
Ecl(ogae) Achillis Arateae in 'Arateorum' capite I inveniuntur
Pet(avius) cf p. 2
Scal(iger) cf p. 2
Vict(orii) editio princeps Florentiae a. 1567

In exteriore textus margine Achillis fontes notavi sive certos sive probabiles, in interiore paginas P(etavianae) et M(igneanae) editionum adscripsi cf p. 2

1

ΤΩΝ ΑΡΑΤΟΥ ΦΑΙΝΟΜΕΝΩΝ ΠΡΟΣ ΕΙΣΑΓΩΓΗΝ ΕΚ ΤΩΝ ΑΧΙΛΛΕΩΣ ΠΕΡΙ ΤΟΥ ΠΑΝΤΟΣ

121 P. 984 M. 1. *Μισῶ μὲν ὅστις τἀφανῆ περισκοπῶν —*᾽ *φησὶν ὁ Σοφοκλῆς* (fr inc 671). *καὶ ὁ κωμικὸς Ἀριστοφάνης* ‘*ὃς τἀφανῆ μεριμνᾶι, τὰ δὲ χαμᾶθεν ἐσθίει*᾽ *φησίν* (fr inc 672 K.). *ἀλλ*᾽ *οἱ μὲν ἀφανῆ, ἡμεῖς δὲ φαινόμενα, ἀλλ*᾽ *οὐκ ἀφανῆ ζητοῦμεν.* Ach

5 *Αἰγυπτίους λόγος ἔχει πρώτους τὸν οὐρανὸν ὡς καὶ τὴν γῆν καταμετρῆσαι καὶ τὴν ἐμπειρίαν τοῖς ἑξῆς ἐν στήλαις ἀναγράψαι, Χαλδαῖοι δὲ εἰς ἑαυτοὺς μετάγουσι Βήλωι τὴν εὕρεσιν ἀναθέντες, οἱ δὲ Ἑλλήνων σοφοὶ ὁτὲ μὲν θεοῖς, ὁτὲ δὲ ἥρωσιν, ὁτὲ δὲ* Compendium astr cf An(onymum) I c. 1

10 *τοῖς μετὰ ταῦτα σοφοῖς ἀνατιθέασιν· Αἰσχύλος μὲν γὰρ ἐν Προμηθεῖ* (v. 454—460) *τὸν θεὸν εἰσάγει λέγοντα*

οὐκ ἦν γὰρ αὐτοῖς οὔτε χείματος τέκμαρ
οὔτ᾽ *ἀνθεμώδους ἦρος οὔτε καρπίμου*
122 P. 986 M. *θέρους βέβαιον, ἀλλ*᾽ *ἄτερ γνώμης τὸ πᾶν*
ἔπρασσον, ἔστε δή σφιν ἀντολὰς ἐγώ
15 *ἄστρων ἔδειξα τάς τε δυσκρίτους δύσεις.*
καὶ μὴν ἀριθμόν, ἔξοχον σοφισμάτων,
ἐξηῦρον αὐτοῖς γραμμάτων τε συνθέσεις,

Σοφοκλῆς δὲ Παλαμήδει ἀνατίθησιν· λέγοντα γὰρ Ναύπλιον εἰσάγει (Palamedis fr 399)·

---

titulum dedi e V cf subscriptionem et ‘Aratea’ p. 16: *ἐκ τῶν ἀχιλλέως πρὸς εἰσαγωγὴν εἰς τὰ ἀράτου φαινόμενα π. τ. π.* M; disiungunt *περὶ τοῦ παντός* a ceteris et primi capitis titulum putant Vict Diels p. 18[1] ‖ 1 *μισῶμεν* V | *τὸν ἀφανῆ* M | *περισκοπῶν* V: *-εῖ* M ‖ 2 *τὸν ἀφανῆ* M ut l. 1 ‖ 3 *χαμάθεν* M (cf Eupol fr 146 K.), *χαμόθεν* V | *ἀλλ*᾽ V[2]M: om V ‖ 4 *γὰρ* post *φαιν.* V: om V[2]M ‖ 11 *ἦν δ*᾽ *οὐδὲν αὐτοῖς* Aeschyli codd ‖ 15 *ὁδοὺς* Stobaeus Ecl I p. 15 W. ‖ 17 *ἐξεῦρον* VM | *αὐτοῖς* V[2]M: om V | *τε* V[2]M: om V ‖ 18 *γὰρ* V[2]M: om V ‖ 19 *εἰσάγει* V[2]M: *-ειν* V

οὗτος δέ γ' ἦρε τεῖχος Ἀργείων στρατῶι,
στάθμης ἀριθμῶν καὶ μέτρων εὑρήματα,
τάξεις τε ταύτας οὐράνιά τε σήματα
τἀκεῖν' ἔτευξε πρῶτος· ἐξ ἑνὸς δέκα
κἀκ τῶν δέκ' αὖθις εὗρε πεντηκοντάδας
καὶ χιλιοστῦς καὶ στρατοῦ φρυκτωρίαν
ἔδειξε κἀνέφηνεν οὐ δεδειγμένα,
ἐφηῦρε δ' ἄστρων μέτρα καὶ περιστροφάς,
ὕπνου φύλαξι θεῖα σημαντήρια
νεῶν τε ποιμαντῆρσιν ἐνθαλασσίοις,
Ἄρκτου στροφεῖα καὶ Κυνὸς ψυχρὰν δύσιν.

πάλιν δ' Αἰσχύλος ἐν Ἀγαμέμνονι (v. 4—6) καὶ τῶι κατασκόπωι τὴν ἐμπειρίαν περιτίθησι ποιῶν λέγοντα·

ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι.

Σοφοκλῆς δὲ εἰς Ἀτρέα τὴν εὕρεσιν ἀναφέρει λέγων (fr 672) 'κἀνταῦθα — πᾶς προσκυνεῖ δὲ τὸν στρέφοντα κύκλον ἡλίου —'. ὁ δ' Εὐριπίδης φησί (fr 861)

---

1 οὗτος δέ γ' ἦρε scripsi: οὔτεπιτὺγ' εὗρες V, οὗτος δ' ἐφεῦρε V²M; ἐφηῦρε Nauck, τεύχη ἐφεῦρεν F. G. Schmidt | an Ἀργεῖοι? ‖ 2 στάθμης scripsi: στάθμη δ' V, στάθμην δ' V²M; σταθμῶν coni Salmasius Nauck, σταθμῶν τ' Herwerden | ὁρίσματα coni L. Dindorf, σοφίσματα Meineke ‖ 3 post 8 traicit Scal | πάσας coni Herwerden ‖ 4 τἀκεῖν' scripsi: κἀκεῖν' V²M, κἀκεῖνος V | ἔτευξε V²M: ἐξέτευξε V | πρῶτον coni L. Dindorf, πάντων δ' ἔτευξε πρῶτος Herwerden, κἄπειτ' ἔταξε πρῶτος ἐς ζεῦγος δέκα F. G. Schmidt ‖ 5 δέκ' V: δέ κ' M ‖ 6 καὶ χ. Scal: ὃς VM | χιλιοστῦς corr Nauck ego: χίλια εὐθύς V, χίλι' εὐθύς V²M; ἐς χίλι' εὐθύς coni H. Keil | καὶ Gomperz: ὃς VM | στρατοῦ V (υ del V²): στρατῶ M | φρυκτωρίαν V²M: -ία V ‖ 7 κἀνέφηνεν M: κἂν ἔφηνεν V², κἂν ἔφανεν V | 7 ἔδειξε et 8 ἐφεῦρε permutant Nauck Gomperz ‖ 8 ἐφηῦρε Nauck: ἐφεῖρε VM ‖ 9 φύλαξι θεῖα scripsi: φυλάξει θόα V², φυλάξει στιθοα V, φυλάξεις στιθόα M; φύλαξί τε θοὰ coni Scal, -ι πιστὰ Wagner, -ι στιλπνὰ M. Schmidt, -ιν ἐσθλὰ H. Keil | σημάντρια coni Vict ‖ 10 νεῶν corr Blomfield Nauck: ναῶν VM | ποιμαντῆρσιν corr Heath: πυμαντῆρσιν V, πημαντῆρσιν V²M; σημαντῆρσιν coni Pet ‖ 11 Ἄρκτου στροφεῖα scripsi, cf Philolaum (Stob I p. 18 W.) ἀ τᾶς σφαίρας ὁλκάς: ἄρκτου τὲ στρόφεια V, ἄρκτου στροφάς τε V²M ‖ 12 versuum ordinem mutant H. Keil (1, 2, 4, 5, ½6 [tunc lacunam statuit unius versus] ½6, 7, 8, 3, 11, 9, 10) Gomperz (2, 7, 8, 3, 9, 10, 11, 1 [ubi αὐτὸς δ' ἐφεῦρε coni] 4, 5, 6) | καὶ V: om V²M ‖ 14 κατ' οἶδα V | νυκτέρων V²M: νυκτέον V ‖ 16 αἰθέρι V²M: ἐν θέρει V ‖ 17 κἀνταῦθα om M; noli λέγοντα ταῦτα ‖ 18 an προσκυνεῖ σε τ.? | τρέφοντα coni Nauck (at cf Welcker 'Die griechischen Trag' I p. 361) | ἡλ. κ. V | cf schol Eur Or 998 al

δείξας γὰρ ἄστρων τὴν ἐναντίαν ὁδόν
δόμους τ' ἔσωσα καὶ τύραννος ἱζόμην

123 P. *τὰς τῶν πλανήτων ὁδοὺς ἐναντίας τοῖς λοιποῖς φερομένας ταὐτῶι πάλιν Ἀτρεῖ περιτιθείς. ὁ δὲ Ἄρατος τὴν μὲν θέσιν τῶν ὅλων εἰς Δία ἔοικεν ἀναφέρειν, τὴν δὲ γέννησιν καὶ ἔννοιαν εἰς Ἀστραῖον· περὶ μὲν γὰρ τοῦ Διὸς λέγων ἐπιφέρει* (v. 11—13, Ecl I 3)

αὐτὸς γὰρ τάδε σήματ' ἐν οὐρανῶι ἐστήριξεν
ἄστρα διακρίνας, ἐσκέψατο δ' εἰς ἑνιαυτόν
ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν,

περὶ δὲ τοῦ Ἀστραίου φησίν (v. 98, 9, Ecl I 4)

εἴτ' οὖν Ἀστραίου — γένος, ὃν ῥά τέ φασιν
ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι,

εἰ μὴ ἄρα τὸν μὲν Ἀστραῖον ποιητὴν τῶν ἀστέρων ὑποβάλλει, τὸν δὲ Δία κοσμητὴν γεγενῆσθαι ἱστορεῖ. τινὲς δὲ ἄλλον ἄλλο τι εὑρηκέναι. διὸ καὶ συμβέβηκεν εἶναι διαφωνίαν περὶ τῆς εὑρέσεως αὐτῶν. ὅτι δὲ ἄλλοι ἄλλο εὑρήκασιν, ἐκ τοῦ καὶ Θάλητα τὴν μικρὰν Ἄμαξαν εὑρηκέναι δῆλον. ὁ γοῦν Καλλίμαχός φησιν (fr 94)·

ἔπλευσεν εἰς Μίλητον· ἦν γὰρ ἡ νίκη
Θάλητος, ὃς τά τ' ἄλλα δεξιὸς γνώμην
καὶ τῆς Ἁμάξης ἐλέγετο σταθμήσασθαι
τοὺς ἀστερίσκους, ἧι πλέουσι Φοίνικες.

‖ *ἥρμοττε δὲ μεγάλωι ποιητῆι περὶ μεγάλων εἰπεῖν Ὁμήρωι.* Apio e Cratetis Homericis cf An I p. 1
ἀλλ' ἐπειδὴ κατήπειγε τὰ Ἰλιακὰ γράψαι εἰς ἐπιστροφὴν τῶν Ἑλλήνων, διὰ τὰς συνεχεῖς ἐπαναστάσεις ἐπ' ἐκείνην ὥρμησε
937 M. *τὴν ὑπόθεσιν, περιέσπειρε δέ τι καὶ περὶ τῶν ὅλων καὶ περὶ τῶν ἄστρων τινὰ λέγων, περὶ μὲν τῶν ὅλων, ὡς ὅταν λέγηι*

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν (Il XIV 201. 302)
ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν (Il XVIII 483)

---

2 *δόμους* scripsi (ut VM c. 20): *δήμους* VM; *θρόνους* coni Heimsoeth, *γῆν ἐξέσωσα* F. G. Schmidt | errat Ach, nam Euripides de Sole et Pliadibus inversum ordinem tenentibus loquitur, cf Eur Or 999 sqq. ‖ 3 *ταὐτῶι* scripsi: *αὐτῶι* VM ‖ 10 *καὶ μάλα* VM ‖ 13 *ἐρχαῖον* M Anonymus II: *-ων* V ‖ 17 *εὖρον* M ‖ 18 *δῆλον* om V ‖ 21 *ὅς τά τ' ἄλλα* corr Scal: *ὅς τἄλλα* V, *ὅς τὸν ἄλλα* M; *ὅς τ' ἦν ἄλλα* coni Bentley, *ὅς τ' ἦν κἄλλα* Meineke, *ὅς γ' ἦν τἄλλα* Hecker | *γνώμη* V; *γνώμηι* coni Vict ‖ 22 *ἐλέγετο* codd Diogenis Laertii I 23: *λέγετο* V, *λέγεται* M ‖ 26 *ἐκείνην* scripsi: *-ων* VM ‖ 27 *περιέ|||σπειρε* V ‖ 29 *τε* V: *τι* M | *θεῶν* V²M: *θεων* V ‖ 30 *ἐν* pr V²M: *ἐὰν* V | scripsi (ut codd nonnulli Iliadis): *ἔτευξε δ'* V, *ἔτευξε ἰδ'* M

καὶ πάλιν 'ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε' (Il VII 99), *περὶ δὲ ἄστρων*

Πληιάδας εἰσορόωντι καὶ ὀψὲ δύοντα Βοώτην
Ἄρκτον θ', ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέουσιν (Od V 272—3) 124 P.
ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν, 5
ἐν δέ τε τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος (Il XVIII 484—6)
ἄστρα δὲ δὴ προβέβηκε, παρώιχηκεν δὲ πλέω νύξ
τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται (Il X 252—3).

ἐκ γὰρ τούτων τὰς προφάσεις ἔλαβον οἱ ὕστερον περὶ τούτων 10 *πραγματευσάμενοι· ὡς γὰρ τοῖς τραγικοῖς παρέσχεν ἱστοριῶν ἀφορμάς, οὕτω καὶ διὰ τούτων ὑποθέσεις τοῖς περὶ ἀστρολογίας γράψασιν. μαρτυροῦσι δὲ Κράτης* (p. 40 Wachsm) *καὶ Ἀπίων ὁ Πλειστον⟨ε⟩ίκης* (p. 25 Lehrs), *ὅτι ἀστρονόμος Ὅμηρος. οὐδὲν δὲ παράδοξον ὑπ' ἀνθρώπων τοσαύτην εὑρεθῆναι θεωρίαν· ψυχὴ* 15 *γὰρ πᾶσα ἀθάνατος κατελθοῦσα ἐξ οὐρανοῦ ἀνανεύουσα ὡς ἐς συγγενῆ τὸν οὐρανὸν πάντα τὰ συνήθη θεωρεῖ καὶ ἐπισπᾶται, πρὸς ὃν καὶ ἀναχθῆναι ἐπείγεται.*

2. *Τίνι διαφέρει μαθηματικὴ φυσιολογίας.*

Eudorus o Diodori Posidoniani σ Geminus Simplic in Arist Phys II 2 p. 291 D.

‖ *Εὔδωρος ὁ φιλόσοφός φησι* (Diels p. 22) *Διόδωρον τὸν Ἀλε-* 20 *ξανδρέα μαθηματικὸν τούτῳ διαφέρειν εἰπεῖν τὴν μαθηματικὴν τῆς φυσιολογίας, ὅτι ἡ μὲν μαθηματικὴ τὰ παρεπόμενα τῇ οὐσίαι ζητεῖ, πόθεν καὶ πῶς ἐκλείψεις γίνονται, ἡ δὲ φυσιολογία περὶ τῆς οὐσίας, τίς ἡλίου φύσις, πότερον μίδρος ἐστὶ κατὰ Ἀναξαγόραν* (fr 24 Schaub) *ἢ πῦρ κατὰ τοὺς Στωϊκοὺς ἢ κατὰ* 25 *Ἀριστοτέλην* (De caelo 270 b 20 al) *πέμπτη οὐσία μηδενὶ τῶν τεσσάρων στοιχείων ἐπικοινωνοῦσα, ἀγέννητός τε καὶ ἄφθαρτος καὶ ἀμετάβολος. διαφερούσας γοῦν ταύτας ἐν ταῖς ζητήσεσιν ἐπιπεπλέχθαι τὴν ἑτέραν δεομένην τῆς ἑτέρας.*

---

1 *μὲν* om M ‖ 3 *Πληιάδας εἰσορόωντι* scripsi (Aratea p. 313): *πληιάδας τ' εἰσορόωντι* V, *πλειάδας εἰσορόοντι* M | *δύοντα* M ‖ 6 *ἐν δέ τε* M (ut codd Il nonnulli 'Iustinus' Cohort 28 al): *ἐν δὲ τὰ* V (ut vulgata Il) ‖ 8 *παρώιχηκεν* M, *-κε* V (cf Porphyr I p. 147 Schr) | *πλέω* V ut Porphyr: *πλέα* M ‖ 9 *τριτάτη δ' ἔτι* scripsi (ut codd Il nonnulli): *τριτάτη δ' ἔστι* V, *τριτάτη δέ τι* M; *τριτάτης δ' ἔτι* 'quidam' apud Porphyr ‖ 10 *οἱ* om V ‖ 16 *ἀντινεύουσα* V | *ὡς* om M ‖ 21 *εἰπεῖν* M: *εἶπε* V ‖ 22 *ὅτι* om V ‖ 28 *οὖν* M

3. *Περὶ τῆς τῶν ὅλων ἀρχῆς.*

‖ *Ζήνων ὁ Κιτιεὺς* (fr 35 Pearson) *ἀρχὴν εἶναι λέγει τῶν ὅλων* Plutarchus Plac I 3 p. 22 D.
125 P. *θεὸν καὶ ὕλην, θεὸν μὲν τὸ ποιοῦν ὕλην δὲ τὸ ποιούμενον, ἀφ' ὧν τὰ τέσσαρα στοιχεῖα γεγονέναι. Ἐπίκουρος δὲ ὁ Ἀθηναῖος*
5 (p. 191, 18 Us) *ἐκ σωμάτων νοητῶν σμικροτάτων τὰς ἀρχὰς τῶν ὅλων εἶναί φησι, καλεῖ δὲ αὐτὰς ἀτόμους ἢ διὰ σμικρότητα ἀκαριαίας τινὰς οὔσας ἢ διὰ τὸ ἀφθάρτους αὐτὰς εἶναι καὶ μὴ τέμνεσθαι. Ἀριστοτέλης δὲ ὁ Σταγειρίτης* (De caelo I c al) *ἀρχὰς λέγει τῶν ὅλων εἶδος καὶ ὕλην καὶ στέρησιν, ἐκ δὲ τούτων*
10 *τὰ τέσσαρα στοιχεῖα, καὶ πέμπτον σῶμα ἀδιάφθαρτον καὶ καθαρόν, ὃ δὴ αἰθέρα λέγουσιν. Σωκράτης δὲ καὶ Πλάτων* (Tim 29 E sqq.)
940 M. *ἀρχὰς τῶν ὅλων καλοῦσι θεὸν καὶ ὕλην καὶ τρίτον τὸ ὑποκείμενον γενέσει καὶ φθορᾶι, ἐκ δὲ τούτων τὰ τέσσαρα στοιχεῖα γενέσθαι. Ἐμπεδοκλῆς δὲ* (v. 33 sqq. St.) *ἀρχάς φησι τῶν ὅλων*
15 *τὰ τέσσαρα στοιχεῖα, καὶ τὸ μὲν πῦρ καλεῖ Δία καὶ αἰθέρα, τὴν δὲ γῆν Ἥραν, τὸν δὲ ἀέρα Ἀϊδωνέα, τὸ δὲ ὕδωρ Νῆστιν, τὰς δὲ τούτων δυνάμεις νεῖκος καὶ φιλίαν, νεῖκος μὲν τὴν διάλυσιν φιλίαν δὲ τὴν σύνοδον.* ‖ *Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῶι* Compendium astr?
πρώτωι τῶν Ἀργοναυτικῶν (496—8) *εἰσάγει τὸν Ὀρφέα ταῦτα*
20 *λέγοντα·*

> *ἤειδεν δ', ὡς γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε*
> *τὸ πρὶν ἐπ' ἀλλήλοισι μιῆι συναρηρότα μορφῆι*
> *νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστον.*

πάλαι γάρ ποτε ἀναμὶξ φερομένων τῶν στοιχείων ὑπὸ τοῦ νει-
25 *κους ὕστερον διακριθῆναι αὐτά, παντὸς μὲν τοῦ γεώδους συστρέφοντος εἰς ἕν, ὅλου δὲ τοῦ πυρώδους περιειληθέντος εἰς τὸ αὐτὸ καὶ τοῦ ὑδατώδους συρρέοντος εἰς τὸ ὅμοιον καὶ τοῦ ἀέρος περιχυθέντος πρὸς τὸ ὁμόφυλον.* ‖ *Θαλῆς δὲ ὁ Μιλήσιος καὶ* Ign(otus) cf adn
Φερεκύδης ὁ Σύριος (p. 39 Sturz) *ἀρχὴν τῶν ὅλων τὸ ὕδωρ*
30 *ὑφίστανται, ὃ δὴ καὶ χάος καλεῖ ὁ Φερεκύδης, ὡς εἰκός, τοῦτο ἐκλεξάμενος παρὰ τοῦ Ἡσιόδου οὕτω λέγοντος* (Theog 116) *'ἤτοι μὲν πρώτιστα χάος γένετο'· παρὰ γὰρ τὸ χεῖσθαι (ὑπολαμβάνει)*

---

2 *κητιεὺς* V, *κυτιεὺς* M ‖ 5 *μικροτάτων* V ‖ 6 *καλλεῖ* M ‖ 11 *ὁ* ante *Σ.* V: om V^2M ‖ 17,8 *τὴν διάλυσιν* V^2M: om V lacuna signata ‖ 21 *ἤειδ' ἐν* V | *οὐρ. ἠδὲ θάλασσα* Apollonii codd ‖ 22 *τοπρὶν* M | *ἐν* M ‖ 23 *διάκριθὲν* M | *τὴν* ante *ἀμφὶς* add V, *τῆν* M | *ἕκαστον* om M; *ἕκαστα* coni Vict (ut Apollonii codd) ‖ 25 *αὐτά* V^2M: *-ό* V ‖ 28 *θαλὴς* M | 28—32 ~ schol Hesiodi Theog 116 et Tzetz Lyc 145 ‖ 29 *σύρος* M ‖ 30 *ὑφίστανται* V: *-ῶσιν* V^2M | *τοῦτο* V^2M: *οὗτος* V ‖ 31 *ἤτοι* VM (ut Hesiodi codd) ‖ 32 *γένεθ* V

τὸ ὕδωρ χάος ὠνόμασται. Ἡράκλειτος δὲ (cf fr XXI Byw) πῦρ πρῶτόν φησι γεγονέναι. εἰσὶ δ' οἳ τὴν γῆν πρῶτον λέγουσι 126 P.
γεγονέναι, θλιβομένην δὲ καὶ σφιγγομένην οὕτως ἐνάψαι μὲν τὸ πῦρ, ἀναπέμψαι δὲ τὸ ὕδωρ, διαδοῦναι δὲ τὸν ἀέρα (Pherecyd p. 40 Sturz).

4. Περὶ τῆς συστάσεως τῶν ὅλων.

Eudorus o Diodori Posidoniani p. 21 D., cf An I c. 3

‖ Καλῶς ἂν ἔχοι πεἰθεσθαι τῶι Χρυσίππωι· φησὶ γὰρ ἐκ τῶν τεσσάρων στοιχείων τὴν σύστασιν τῶν ὅλων γεγονέναι. αἴτιον δὲ τῆς μονῆς τούτων τὸ ἰσοβαρές· δύο γὰρ ὑποκειμένων βαρέων, γῆς καὶ ὕδατος, δύο δὲ κούφων, πυρὸς καὶ ἀέρος, τὴν τούτων σύγκρασιν αἰτίαν εἶναι τῆς τοῦ παντὸς τάξεως (ὥσπερ γάρ, εἰ ἦν ὁ κόσμος βαρύς, κάτω ἂν ἐφέρετο, οὕτω καί, εἰ κοῦφος, ἄνω· μένει δὲ τῶι ἴσον ἔχειν τὸ βαρὺ τῶι κούφωι), τὸν δὲ αἰθέρα καὶ οὐρανόν, εἴτε ὁ αὐτὸς εἴτε διάφορος, ἔξωθεν εἶναι σφαιρικὸν σχῆμα ἔχοντα. μετὰ δὲ τοῦτον ἐντὸς αὐτοῦ τὸν ἀέρα εἶναι καὶ αὐτὸν σφαιρικῶς περικείμενον ἔξωθεν τῆι γῆι. ἐνδοτέρω δὲ αὐτοῦ τρίτην εἶναι σφαῖραν τὴν τοῦ ὕδατος περὶ αὐτὴν τὴν γῆν μεταξὺ τοῦ ἀέρος καὶ τῆς γῆς. ἐν δὲ τῶι μεσαιτάτωι τὴν γῆν εἶναι κέντρου τάξιν καὶ μέγεθος ἐπέχουσαν [ὡς αἱ σφαῖραι]. καὶ τὰς μὲν ἄλλας τρεῖς σφαίρας ἢ τέσσαρας περιδινεῖσθαι, τὴν δὲ τῆς γῆς μόνην ἑστάναι.

ἔξωθεν δὲ τὴν τοῦ πυρὸς σφαῖραν καὶ ἐνδοτέρω, μετὰ ταύτην δέ, τὴν τοῦ ἀέρος δεδώκασιν οἱ Ἀρχιμήδειοι περιδινεῖσθαι, ἐν μέσωι δ' εἶναι τὴν τοῦ ὕδατος καὶ τὴν τῆς γῆς διὰ τὴν τοιαύτην αἰτίαν· εἴ τις γὰρ (φασί) λάβοι τῶν σωμάτων τὰ βαρύτατα, οἷον μόλιβδον, καὶ πάλιν αὐτὰ τὰ κουφότατα, οἷον 941 M.
φελλόν, [ἐξίσης] καὶ ἴσα ἀλλήλοις στήσειε καὶ ἰσόσταθμα ποιήσειε καὶ συνδήσειε, συμβήσεται μηδέτερον ὑπὸ τοῦ ἑτέρου ἕλκεσθαι· οἷον, εἴ τις βάλοι ταῦτα εἰς θάλασσαν, συμβήσεται μήτε κάτω εἰς τὸν βυθὸν καθέλκεσθαι τὸν φελλὸν ὑπὸ τοῦ μολίβδου μήτε τὸν μόλιβδον ὑπὸ τοῦ φελλοῦ ἀνέλκεσθαι εἰς τὴν

---

1 ὠνόμασται V: -άσθαι M ‖ 3 δὲ scripsi: τε VM | οὕτως V²M: ·ω V ‖ 4 δὲ utrumque om V ‖ 7 φησὶ γὰρ V: φήσαντι M ‖ 8 γεγόναι V ‖ 12 γὰρ om V | ἐφέρετον expuncto ν M | οὕτως om V | εἰ καὶ M, εἰ δὲ V ‖ 13 τῶι βαρεῖ τὸ κοῦφον M ‖ 15 τοῦτον M: αὐτὸν V ‖ 23 δέ V: om V²M | τὴν V²M: om V ‖ 25 ζητεῖται πῶς τὰ μὲν κοῦφα ἄνω φέρεται τὰ δὲ βαρέα κάτω in margine M | γὰρ V²M: om V ‖ 26 τὰ V²M: om V ‖ 27 ἐξίσης om M ‖ 28,9 ἀνέλκεσθαι V ‖ 29 ταῦτα V²M: om V ‖ 31 τοῦ φελλοῦ scripsi: τῶν φελλῶν VM

ἐπιφάνειαν τοῦ ὕδατος, ἀλλ᾽ ὡς ἐπίσης ὑπ᾽ ἀλλήλων ἀνθελκόμενα μεταξὺ τῆς ἐπιφανείας τοῦ ὕδατος καὶ τοῦ βυθοῦ εἶναι τὸν μόλιβδον καὶ τὸν φελλόν. τεσσάρων οὖν ὄντων τῶν στοιχείων συμβέβηκε τὸ πῦρ καὶ τὸν ἀέρα κουφότατα ὄντα ἐπὶ τὴν ἄνω φορὰν ἔχειν τὴν ὁρμὴν καὶ περιδινεῖσθαι. ὅτι δὲ πῦρ καὶ ἀὴρ κουφότατα καὶ ἀνωφερῆ, δῆλον μὲν καὶ ἐκ τῆς ὄψεως, ἀλλὰ μὴν καὶ ἐκ τῶν παρὰ τοῖς ἰατροῖς σικυῶν, ἐν αἷς ὁρῶμεν ἀπολαμβανόμενον τὸ πῦρ ἅμα τῶι ἀέρι τοῦ κατὰ βάθος αἵματος τὴν
127 P. ἀναγωγὴν ποιούμενα (Plato Tim 79 E), ἀλλὰ καὶ ἀπὸ τοῦ ἐν τοῖς λύχνοις πυρός, ὅπερ ἄνω φερόμενον τὸ ἐν τῆι κοιλότητι τοῦ λύχνου ἔλαιον ἀνιμᾶται. ἀλλὰ μὴν καὶ δαλὸν εἴ τις ἐξάψας στρέψειε, κάτω φέρεσθαι τὸ πῦρ οὐκ ἂν δυνηθείη· ἀνωφερῆ γὰρ ἴσχει τὴν ὁρμήν. πάλιν δέ, εἴ τις ἀσκὸν πλήσειε πνεύματος καὶ ἀποσφίγξει⟨ε⟩, ῥίψει⟨ε⟩ δὲ εἰς ὕδωρ, οὐδὲν ἧττον ἐπιπολάζει ὁ ἀσκός. ὅτι δὲ ἡ γῆ καὶ τὸ ὕδωρ βαρέα καὶ κατωφερῆ, οὐ δεῖ λόγου τῆς πείρας διδασκούσης.

‖τὴν δὲ τάξιν, ἣν δεδώκαμεν τῶι σφαιρώματι, οἱ Ὀρφικοὶ Ign
λέγουσι παραπλησίαν εἶναι τῆι ἐν τοῖς ὠιοῖς· ὃν γὰρ ἔχει λόγον τὸ λέπυρον ἐν τῶι ὠιῶι, τοῦτον ἐν τῶι παντὶ ὁ οὐρανός, καὶ ὡς ἐξήρτηται τοῦ οὐρανοῦ κυκλοτερῶς ὁ αἰθήρ, οὕτω τοῦ λεπύρου ὁ ὑμήν. κατὰ δέ τινας, ἐπειδὴ ὁ οὐρανὸς καὶ ὁ αἰθὴρ εἷς ἐστι, μετὰ δὲ τοῦτον ὁ ἀήρ, ἔσται ἐν τοῖς ὠιοῖς ὁ ὑμὴν τοῦ ἀέρος τάξιν ἐπέχων. ἡ δὲ λευκὴ σὰρξ ἡ ἐν τῶι ὠιῶι ἐὰν τὴν τοῦ ἀέρος τάξιν ἐπέχηι, ἔσται ἡ λέκιθος τοῦ ὠιοῦ τὴν τοῦ ὕδατος τάξιν ἐπέχουσα, τὸ δὲ ἐνδότατον καὶ μεσαίτατον τῆς λεκίθου τὴν τάξιν ἔχον τῆς γῆς. εἰ δὲ ὑμένα τὸν ἐν τῶι ὠιῶι ἀντὶ τοῦ αἰθέρος λάβωμεν, τὸ τῶν ὀρνίθων γάλα ἀντ᾽ ἀέρος ἔσται καὶ ἡ ἔξωθεν περιφορὰ τῆς λεκίθου ἀντὶ ὕδατος, τὸ δὲ ἐνδότατον καὶ μεσαίτατον ἀντὶ τῆς γῆς. καθόλου δέ, ἐὰν πέντε σφαίρας εἴπωμεν κατὰ τὸν Ἀριστοτέλην (De mundo p. 392 a — 393 a), τὸ ἐνδότατον τῆς λεκίθου ἀντὶ τῆς γῆς παραληφθήσεται, ἐὰν δὲ

---

1 ἀλλ᾽ V²M: om V | ὡς V: om M ‖ 4 κουφότατα V² M: -ον V ‖ 6 ἀνωφερεῖ M | 8 καὶ ἐκ ante τοῦ V: om V² M | τὴν om V²M ‖ 9 ποιούμενα V: -ένοις V² M ‖ 12 στρέψειε M, στρίψειε V²: ῥίψειε V | οὐκ ἂν δυνηθείη M: om V ‖ 13 γὰρ M: om V | ἴσχειν V ‖ 18 ζητεῖται ὅτι τὰ ὠὰ εἰκόνα τοῦ παντὸς φέρουσιν in margine M | τῆι ἐν scripsi: τὴν ἐν V, om M | ὠοῖς VM et ita semper ‖ 19 ἔχειν ante ἐν alt M | ὁ οὐρανὸς scripsi: τὸν οὐρανὸν VM ‖ 20 ἐξερύηται V | οὕτως V ‖ 21 ὁ ante αἰθ. om V ‖ 23, 4 εἰ — ἐπέχει M ‖ 25 τῶι δὲ ἐνδοτάτω καὶ μεσαιτάτω V ‖ 28, 9 τῶι δὲ ἐνδοτάτωι καὶ μεσαιτάτωι V

τέσσαρας κατὰ τοὺς ἄλλους, ὅλη η λέκιθος ἀντὶ τῆς γῆς ἔσται, οὐ κατὰ τὸ μέγεθος, ἀλλὰ κατὰ τὴν τάξιν.

o Posidonio cf c. 9 Manil I 168 sqq.

‖ὅτι δὲ καὶ ἔστηκεν ἡ γῆ, παραδείγματι χρῶνται τούτωι· εἴ τις (φασίν) εἰς φῦσαν κέγχρον βάλοι ἢ κόκκον φακοῦ καὶ φυσήσειε καὶ ἐμπλήσειεν αὐτὴν ἀέρος, συμβήσεται μετεωρισθέντα τὸν κόκκον ἐν μέσωι τῆς κύστεως στῆναι, καὶ τὴν γῆν δὲ παντα-χόθεν ὑπὸ τοῦ ἀέρος ὠθουμένην ἰσορρόπως ἐν τῶι μέσωι εἶναι καὶ ἑστάναι. ἢ πάλιν, ὥσπερ εἴ τις λαβὼν σῶμα δήσειε παντα-χόθεν ἐξ ἑκατέρου σχοινίοις καὶ δοίη τισὶν ἰσορρόπως ἕλκειν ἐπ' ἀκριβείας, συμβήσεται πανταχόθεν ἐπίσης περιελκόμενον στῆναι καὶ ἀτρεμῆσαι. Ξενοφάνης δὲ οὐκ οἴεται (p. 49. 154 K.) μετέωρον εἶναι τὴν γῆν, ἀλλὰ κάτω εἰς ἄπειρον καθήκειν·

944 M. 128 P.

'γαίης μὲν' γάρ φησι 'τόδε πεῖραρ ἄνω παρὰ ποσσὶν [ὁρᾶται
αἰθέρι προσπλάζον, τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται'.

'Αριστοφάνης δ' ἐν Νεφέλαις μετέωρον αὐτὴν εἶπεν· λέγει γάρ (v. 264)· 'ὦ δέσποι' ἄναξ, ἀμέτρητ' Ἀήρ, ὃς ἔχεις τὴν γῆν μετέωρον' ἑστῶσαν μέντοι καὶ ἀκίνητον. ὅθεν καὶ Ἄρατός φησιν (v. 22, 3, Ecl II)· 'ἔχει δ' ἀτάλαντον ἁπάντη Μεσσηγὺς γαῖαν'

Plutarchus Plac p. 836 D.

μηδαμοῦ ταλαντευομένην. ‖ὁ δὲ Ἐμπεδοκλῆς οὐ δίδωσι τοῖς στοιχείοις ὡρισμένους τόπους, ἀλλ' ἀντιπαραχωρεῖν ἀλλήλοις φησίν, ὥστε καὶ τὴν γῆν μετέωρον φέρεσθαι καὶ τὸ πῦρ ταπεινότερον.

5. Τίς οὐσία οὐρανοῦ.

Plutarchus Plac p. 889 sq. D.

‖Τὸν δὲ οὐρανὸν οἱ μὲν πυρώδη εἶναι καὶ στερέμνιον, ἐντὸς δὲ αὐτοῦ τοῦ αἰθέρος τὴν σφαῖραν ἐχομένην ὥσπερ δαλόν, διαφέρειν δὲ ταύτηι, ᾗι ὁ μὲν δαλὸς ἀνωφερὲς ἔχει τὸ πῦρ, ὁ δὲ αἰθὴρ κατωφερές, καὶ τῶι τὸ μὲν θεῖον εἶναι καὶ καθαρὸν καὶ ἀμετάληπτον, τὸ δὲ φθαρτόν· Ἐμπεδοκλῆς δὲ (p. 422 K.) κρυσταλλώδη τοῦτον εἶναί φησιν ἐκ τοῦ παγετώδους συλλεγέντα,

---

1 τέσσαρα V ‖ 3 sqq. ζητεῖται πῶς ἡ γῆ τὴν μέσην ἐπέχει χώραν in margine M | 4 φῦσαν scripsi: φύσαν V, φύσκαν M ‖ 9 ἐξ ἑκατέρου om M ‖ 10 ἀκριβὲς M | γὰρ post σ. V: om M ‖ 13 γαίης γάρ φησι V, φησὶ γὰρ γαίης μὲν M | πεῖραρ scripsi: πεῖραν V, πεῖρας M | παρὰ ποσὶν V, πὰρ ποσσὶν M ‖ 15 αἰθέρα corr Karsten: καὶ ῥεῖ VM | εἰς V ‖ 16 δ' M: om V | εἶπε VM ‖ 17 μέτρητ' V ‖ 22 τὴν M: om V ‖ 26 δαλὸν M: -οῦ V ‖ 27 ταύτηι scripsi: -ην VM ‖ 29 scripsi: ἀμ. τὸ τοῦ αἰθέρος τὸ δὲ φθαρτόν M, ἀμ. τὸ δὲ φθαρτὸν ἐστὶ δεύτερον τὸ πῦρ τοῦ αἰθέρος V ‖ 29, 30 κρυσταλώδη M | κρυσταλλῶδες ἐκ τοῦ παγετώδους συλλεγέντος εἶναι V

᾽Αναξίμανδρος δὲ πτηνὸν πυρὸς μετέχοντα, ᾽Αριστοτέλης δὲ (Meteor I p. 340 b?) σῶμα ἐκ ψυχροῦ καὶ θερμοῦ.

‖ζῶιον δέ φασιν εἶναι τὸν κόσμον· τὸ γὰρ αὐτοκίνητον εἶναι Ign
αὐτὸν καὶ κατὰ τὰ αὐτὰ τὴν περιφορὰν ἀεὶ ποιεῖσθαι καὶ ἀπὸ
τῶν αὐτῶν σημείων ἐπὶ τὰ αὐτὰ περιδινεῖσθαι νοῦν ἔχοντός
ἐστι, φησὶν ὁ Πλάτων (Tim 47 B, Leg 897 C). ἀλλὰ καὶ ὡς
ζῶιον ζωιογονεῖ. τοὺς δὲ ἀστέρας γεννήματα αὐτοῦ εἶναί φαμεν.
καὶ ἡλίου δὲ δρόμον ὁρῶμεν καὶ σελήνης περιφορὰς καὶ τῶν
ἄλλων πλανήτων περιόδους καὶ κινήσεις. ἴδιον δὲ ζώιου τὸ ὑφ᾽
αὑτοῦ κινεῖσθαι· καὶ γὰρ ἐν γῆι καὶ ἀέρι καὶ ὕδατι ζωιά ἐστιν.
διὸ ἀκόλουθον καὶ ἐν οὐρανῶι καὶ αἰθέρι εἶναι. μήποτε μέν-
τοι καὶ Ὅμηρος ὡς πρὸς ζῶιόν φησιν (Od XI 109, XII 323)·
᾽Ἠελίου, ὃς πάντ᾽ ἐφορᾶι καὶ πάντ᾽ ἐπακούει᾽. οἱ δὲ μουσικοὶ
ἁρμονικὴν τοῦ οὐρανοῦ τὴν περιφορὰν λέγουσιν εἶναι.

‖τροφῆι δὲ χρῆται, ὡς μέν τινες, παρ᾽ ἑαυτοῦ, ἄλλοι δὲ ἀνα- Plutarchus Plac
θυμιάσει τῆι περὶ αὐτόν, τινὲς δὲ τῆι τοῦ ὕδατος σφαῖραι. p. 332 sqq. D.
129 P. ‖᾽Αριστοτέλης δὲ (De caelo 279 b sqq.) μὴ δεῖσθαι τροφῆς αὐτὸν Ign
λέγει (τὸ γὰρ δεόμενον φθαρτόν), ἀίδιος δέ ἐστι κατ᾽ αὐτόν.
ὁ δὲ Πλάτων τὸν μὲν νοητὸν κόσμον ἀίδιον καὶ ἄφθαρτον
λέγει, τὸν δὲ αἰσθητὸν φθαρτόν (εἰ γὰρ αἰσθητός ἐστι, καὶ
γενητὸς δηλονότι καὶ φθαρτός), ἔτι (φησὶν ⟨ἐν⟩ τῶι Πολιτικῶι
p. 274 D, εἴτε μυθικῶς εἴτε φυσικῶς) κίνησιν ἔχειν διττήν, τὴν
μὲν ὑφ᾽ ἑαυτοῦ, τὴν δὲ ὑπὸ τοῦ θεοῦ. καὶ ὅτε μὲν ὑπὸ τοῦ
θεοῦ κινεῖται, εὐτακτεῖ καὶ κατὰ τὰ αὐτὰ φέρεται, ὅτε δὲ ὑφ᾽
ἑαυτοῦ, τὴν ἐναντίαν φορὰν κινεῖται καὶ διαφθείρεται, ἔστ᾽
ἂν ἐπιστῆι πάλιν ὁ θεὸς καὶ ἡνιοχήσας ἀποκαταστήσηι εἰς τὴν
ἀρχαίαν κίνησιν ἀνακύκλησιν ποιησάμενος. ὠνόμασται δὲ κόσ-
μος παρὰ τὴν τῶν συμπάντων διακόσμησιν.

945 M. ‖Διόδωρος δὲ ἐξαχῶς τὸν κόσμον φησὶ νοεῖσθαι ἐφ᾽ ἑκάστου Eudorus p. 20 D.
ἔννοιαν διδοὺς οὕτως· ᾽κόσμος ἐστὶ σύστημα ἐξ οὐρανοῦ καὶ cf Arius Did
γῆς καὶ τῶν μεταξὺ φύσεων᾽. πάλιν· ᾽κόσμος ἐστὶν οἰκητήριον p. 464 D.
θεῶν᾽. νῦν οὖν τὸ πλήρωμα λέγει ἐκτὸς τῶν ἐν αὐτῶι. τρί- Cleomed I 1

---

1 πτηνὸν VM: an γηΐνον (cf p. 40, 1)?; sive καὶ Ζήνων sive πέμπτον coni ceteris conlatis doxographis Diels p. 23 ‖ 3 ζῶον ζωογονεῖ omisso ι muto (ut semper) VM | τὸ M: τῶι V ‖ 5 ἔχοντε V ‖ 12 τὸ ζ. V ‖ 13 ἠελίου codd Od: ἠέλιός θ᾽ VM ‖ 14 αὐτοῦ post οὐρ. V ‖ 18 ὁ δὲ ἀίδιος M ‖ 20 αἰσθητῶν M ‖ 21 γένητος M | δηλονότι ὅτι καὶ V | suppl Pet ‖ 25 διαφθείρεσθαι V | ποτ᾽ post δ. V: om M ‖ 26 ἀποκαταστήση M, -ει V ‖ 29 sqq. ὅτι ἐξαχῶς λέγεται ὁ κόσμος in margine M ‖ 30 οὕτω M

τον· ‘ὁ κόσμος ἐστὶ σύστημα ἐκ θεῶν καὶ ἀνθρώπων’. τοῦτο ὅμοιον τῶι βίωι, ὡς εἴ τις λέγοι ‘πόλις ἐστὶν ἐξ ἀρχόντων καὶ ἀρχομένων’. τέταρτον· ‘κόσμος ἐστὶν αἰθήρ.’ οὗτος δὲ πῦρ εἰλικρινὲς ὧν ἀνώτερός ἐστι τοῦ φυσικοῦ κόσμου. πέμπτον· ‘κόσμος ἐστὶν ἡ τῶν ἀπλανῶν σφαῖρα.’ τούτου καὶ Πλάτων ἐν Τιμαίωι μέμνηται (p. 28 B). ἕκτον· ‘κόσμος ἐστὶν ὁ διακοσμήσας τὰ πάντα’. ἔοικε δὲ νῦν ἡ πρόνοια λέγεσθαι.

Ign ‖ τὸ δὲ πᾶν κόσμον Πυθαγόρας ἐκάλεσεν ἐκ τῆς διακοσμήσεως, οὐδεὶς δὲ πρὸ αὐτοῦ. τὸ δὲ πᾶν τοῦ ὅλου παρὰ τοῖς Στωϊκοῖς διαφέρει· ὅλον μὲν γὰρ λέγουσι τὸν κόσμον, πᾶν δὲ ⟨τὸ⟩ μετὰ τοῦ κενοῦ. τηρητέον, ὅτι οὐδαμοῦ δι’ ὅλου κόσμος οὕτως ὠνόμασται.

Eudorus p. 20⁸ D. ‖ οὐρανὸς δὲ ἠτυμολόγηται, ἤτοι ἐπεὶ ὅρος παλαιός ἐστιν ἢ ἐπεὶ σφαιροειδὴς ὢν ἔνδοθεν αὐτοῦ ἡμᾶς οὐρεῖ, ὅ ἐστι φυλάσσει, ἢ ἐπεὶ ἀνώτατός ἐστι (τῶι δὲ ὅρωι τὸ ἄνω δηλοῦν Φρυγῶν ἴδιον, ὡς Νεοπτόλεμος ἐν ταῖς Φρυγίαις φωναῖς [Meineke Anal Al p. 360]) ἢ ἀπὸ τοῦ ὁρᾶσθαι ἢ ἀπὸ τοῦ ὀρούειν (κινεῖται γάρ) ἢ ἀπὸ τοῦ οὖρος εἶναι καὶ ἔσχατος ὅρος. λέγεται δὲ πολλαχῶς. οὐρανὸς ἡ τῶν ἀπλανῶν σφαῖρα .... Ζήνων γοῦν ὁ Κιτιεὺς 180 P. (fr 65 Pearson) οὕτως αὐτὸν ὡρίσατο· ‘οὐρανός ἐστιν αἰθέρος τὸ ἔσχατον, ἐξ οὗ καὶ ἐν ὧι ἐστι πάντα ἐμφανῶς. τοῦτο δὲ καὶ πάντα περιέχει πλὴν αὐτοῦ’ εὖ πάνυ εἰπών· οὐδὲν γὰρ ἑαυτὸ περιέχει, ἀλλ’ ἑτέρου ἐστὶ περιεκτικόν. τοῦ δὲ οὕτως ὡρισμένου οὐρανοῦ μέμνηται καὶ Πλάτων (Tim p. 32 B sqq.) καὶ Ἀριστοτέλης ἐν δευτέρωι Περὶ οὐρανοῦ (p. 284 a sqq.). λέγεται δὲ οὐρανὸς καὶ ἡ ἑκάστου τῶν πλανήτων σφαῖρα, καθ’ ὃν λόγον ἐν οὐρανῶι φαμεν εἶναι (ib p. 278 b). καὶ ἔτι οὐρανὸς πᾶς ὁ μετὰ τὸν ἀέρα τόπος, ὁπόσος εἰλικρινής ἐστιν αἰθήρ. καὶ ἔτι οὐρανὸς λέγεται πᾶν τὸ ὑπεράνω βλεπόμενον ἐν τῆι ὄψει μὴ πρός

---

1 ⟨καὶ τῶν ἕνεκα τούτων γεγονότων⟩ ante τοῦτο supplet Diels | τοῦτον V ‖ 1, 2 τ. μόνον τῶι VM: corr Diels ‖ 4 κατώτερος VM: corr Pet ‖ 8 κόσμος V | ἐκέλευσεν VM: corr Vict ‖ 11 ⟨δὲ⟩ post τηρ. supplet Pet | ἄρα post κόσμος V: om M ‖ 13 λέγεται pro ἠτ. M ‖ 14 ἐπεὶ om M | αὐτοῦ VM | οὐρεῖ scripsi: ἀρεῖ VM ‖ 15 τὸ δὲ ὅρου VM | τὸ om V | δηλοῦν M: λέγεται V ‖ 19 post οὐρανός supplet ⟨πρῶτον⟩ Diels | lacunam qua secunda definitio perierit statuit Diels | κητιεὺς VM ‖ 20, 1 tentavi: ἐν ὧι ἐπὶ τὰ ἐμφανέστερα· τοῦτο δὲ καὶ πάντα περιέχει πλὴν αὐτοῦ οὐ πάνυ εἰπών· οὐδὲν γὰρ V, ἐν ὧι ἐστι πάντα ἐμφανῶς· περιέχει γὰρ πάντα πλὴν αὐτοῦ· οὐδὲν γὰρ M ‖ 26 καὶ ante οὐρ. V ‖ 28 scripsi: τόπον οὐ τόσος μὴ V, τόπος ὅς M | ἔτι om V ‖ 29 λέγεται V: ἐστὶ M | ἐν V: om M ‖ 29—37, 2 ὄψει καθ’ ὃ ὁρατόν ἐστι καὶ ὅπως ἂν ἕκαστος ὀξύτητος ἔχοι βλέπειν M

τι ὄν, καθὸ λέγομεν τὸν οὐρανὸν ὁρανόν. αὐτὸς δὴ καὶ ἄλλοτ' ἄλλωι ὁρατός ἐστιν, ὅπως ἂν ὀξύτητός τις ἔχοι βλέπειν. καὶ ἔτι οὐρανὸς λέγεται ὁ κόσμος, ὃ Διὸς οἰκητήριον λέγομεν, οὗ Πλάτων μέμνηται (Phaedr p. 246 E) *ἐπὶ τοῦ ἡλίου 'ὁ μὲν δὴ μέγας — ἐν οὐρανῶι Ζεύς' εἰπών. Ἐπίκουρος δὲ* (p. 213 Us) *πολλοὺς κόσμους ὑποτίθεται καὶ ὁ διδάσκαλος αὐτοῦ Μητρόδωρος.*

6. *Περὶ σχήματος κόσμου.*

‖*Σχῆμα δὲ κόσμου οἱ μὲν κωνοειδές, οἱ δὲ σφαιροειδές, οἱ* Ign
δὲ ὠιοειδές, ἧς δόξης ἔχονται οἱ τὰ Ὀρφικὰ μυστήρια τελοῦντες. σαφηνείας δὲ ἕνεκα πιθανῆς παρελήφθη τοῦ ὠιοῦ ἡ εἰκών. ἄμεινον δὲ σφαίρας ἐκδέχεσθαι σχῆμα ἔχειν τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῶι κατὰ τὸν Ἐμπεδοκλέα, ὃς ἔφη οὕτως (138 St)· *'σφαῖρος κυκλοτερής, μονίηι περιηγέι χαίρων'.* ‖*δῆλον δὲ καὶ ἐκ* Eudorus
τοῦ εἶναι ἐξ ζώιδια ὑπὸ γῆν, ἐξ δὲ ὑπὲρ γῆν. ἐπ' οὐδενὸς δὲ ἄλλου σχήματος ἡ τοιαύτη εὐταξία καὶ περιφορὰ γίνεται ἢ ἐπὶ τοῦ σφαιρικοῦ. τὸ δὲ σφαιροειδὲς σχῆμα διδόασι τῶι κόσμωι· 948 M. *σφαῖρα μὲν γὰρ ὁ οὐρανός, σφαιροειδὴς δὲ ἡ γῆ. διαφέρει δὲ ἑκάτερα, ἧι τὸ μὲν σφαιροειδὲς σχῆμα καὶ ἐξοχὰς ἔχει καὶ κοιλότητας, τὸ δὲ τῆς σφαίρας σχῆμα πανταχόθεν ἴσον καὶ ἀπὸ τοῦ μέσου κέντρου ἐκβαλλομένας εὐθείας εἰς τὴν ἐπιφάνειαν ἴσας ἔχον, ὥσπερ οἶνος καὶ οἰνῶδες τὸ τῆς οἴνου οὐσίας μεθεκτικόν. ἔστιν οὖν ὁ οὐρανὸς σφαῖρα, ὅθεν τὴν κύκλωι φορὰν ποιεῖται. περὶ ὃν καὶ ἥλιος τὴν περιφορὰν ποιεῖται 'Ἥλιε, θοαῖς ἵπποισιν εἰλίσσων φλόγα'* (Eur Phoen 3)· *καὶ γὰρ ἐξ Ὠκεα-* 131 P. 25 *νοῦ ἀνατέλλοντα αὐτὸν ὁρῶμεν ('Ἥλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην'* Od III 1 al) *καὶ πάλιν ἐς Ὠκεανὸν καταδυόμενον 'ἐν δ' ἔπεσ' Ὠκεανῶι λαμπρὸν φάος ἠελίοιο'* (Il VIII 485). *οὐκ ἂν δὲ τοῦτο ἐγίνετο, εἰ μὴ τὴν κύκλωι περιφορὰν ἐποιεῖτο. οἱ δὲ Πυθαγόρειοι, ἐπεὶ πάντα ἐξ ἀριθμῶν καὶ γραμμῶν συνεστάναι θέλουσι, τὴν μὲν γῆν φασιν ἔχειν σχῆμα κυβι-*

---

1 *ἄλλος* VM ‖ 3 *ὃ Διὸς* Dieterich: *ὅτι* V, om M | *οἰκ. — λέγομεν* om M | *καὶ* ante *Πλ.* M ‖ 8 *κόσμου δὲ σχῆμα* M | *εἶπον* post *χων.* M ‖ 9, 10 *ὠοειδές* et *ὠοῦ* VM ‖ 10 *ἡ* om V ‖ 12 *οὕτω* om M ‖ 13 *μονίηι* Simplicius in Arist Phys I p. 52, 28 D.: *μούνηι* VM, *μόνηι* Proclus in Plat Tim p. 160, *μονῆ* Antoninus XII 3, *μιμίης* Stobaeus Eclog I p. 145 W. | *περιήθει* Antoninus, *περιτεθῆ* vel *περιτείθη* Stobaei codd | *γεαίων* Antoninus, *χαίρων* Stob ‖ 14 *ζώδια* VM ‖ 17 *οὐκ ἐν σφαίραι μ.* V | *σφαιροειδὲς* V ‖ 18 *ἑκατέρα* coni Vict | *ἧι* corr Pet: *ἢ* VM | *σχῆμα* om M ‖ 21 *ἔχον* M: *ἔχουσιν* V | *ὥσπερ — μεθεκτικόν* V: om M | *οἴνου οὐσίας* scripsi: *οἰκίας* V ‖ 22 *καὶ* ante *τὴν* add M ‖ 24 *γὰρ* M: *πάλιν* V ‖ 25 *ἀνατέλοντα* M ‖ 26 *περικαλέα* M ‖ 28 *τοῦτ'* M

κόν, τὸ δὲ πῦρ πυραμοειδές, τὸν δ' ἀέρα ὀκτάεδρον, τὸ δὲ ὕδωρ εἰκοσάεδρον, τὴν δὲ τῶν ὅλων σύστασιν δωδεκάεδρον.

7. Περὶ περιφορᾶς.

Ign ‖ Οἱ Στωϊκοὶ φασιν ἐκ τῆς γῆς τὴν ἔξωθεν γίνεσθαι πρῶτον περιφοράν· ἐπεὶ γὰρ ἡ γῆ κέντρου τάξιν ἐπέχει, ὅπωσπερ ἀπὸ κέντρου κύκλος γίνεται, οὕτω καὶ ἀπὸ τῆς γῆς εἰκὸς ἔξω περιφέρειαν γεγονέναι. οἱ δέ φασι τὸ πῦρ ⟨διὰ τὸ⟩ ἀνωφερὲς εἶναι καὶ τὴν κύκλωι φορὰν εἰωθὸς ποιεῖσθαι τὴν σύστασιν τῆς τῶν ὅλων περιφορᾶς πεποιῆσθαι.

8. Εἰ ἔστι τι ἐκτὸς κενόν.

Ign ‖ Οἱ μὲν εἶναί τι ἐκτός φασιν, ὥσπερ καὶ Ἐπίκουρος (ὃς καὶ ἀπείρους κόσμους ὑποτίθεται ἐν ἀπείρωι τῶι κενῶι [p. 213 Us]), οἱ δὲ Στωϊκοὶ ἐκπύρωσιν λέγοντες κόσμου κατά τινας ὡρισμένους χρόνους εἶναι κενὸν μέν, οὐ μὴν ἄπειρόν φασιν, ἀλλὰ τοσοῦτον ὅσον χωρῆσαι λυθὲν τὸ πᾶν. οἱ δὲ μηδὲν εἶναι λέγοντες χρῶνται λόγωι τοιούτωι· τοῦ οὐρανοῦ σφαιρικῶς κινουμένου, εἰ ἔστι τι ἐκτὸς κενόν, συμβήσεται τὴν σφαῖραν παρεγκλίσεις τινὰς ὑπομένειν ἐξολισθαίνουσαν τῆιδε κἀκεῖ· τοῦτο δὲ οὐ γίνεται· οὐκ ἄρα ἔστι κενόν· ἀεὶ γὰρ κατὰ τὰ αὐτὰ καὶ ἀπὸ τῶν αὐτῶν ὁρῶμεν τὰς ἀνατολὰς καὶ τὰς δύσεις.

9. Εἰ ἕστηκεν ὁ κόσμος.

Ign ‖ Δόγμα ἐστὶ τῶν Στωϊκῶν καὶ μαθηματικῶν μένειν τὸν κόσμον, τὸ μέντοι δόγμα διὰ τοιούτων λόγων κατασκευάζεται· 'εἰ ὁ κόσμος κενῶι ἐν ἀπείρωι ὑπάρχων κάτω ἐφέρετο, οὐκ ἂν ὄμβροι κατελάμβανον τὴν γῆν· καταλαμβάνουσι δέ· οὐκ ἄρα φέρεται ὁ κόσμος, ἀλλὰ ἕστηκεν'. καὶ πάλιν· 'οἱ ἄνεμοι ἄλλοι μὲν ἀπὸ τῆς γῆς εἰς ἀέρα, ἄλλοι δὲ ἐπὶ τὰ κάτω εἰσὶ καταβαλ- 182 P.
λόμενοι· εἰ δὲ . . . οὐ . . . οὐκ ἄρα φέρεται ὁ κόσμος'. φασὶ μὲν οὖν μένειν τὸν κόσμον ἐν ἀπείρωι κενῶι διὰ τὴν ἐπὶ τὸ μέσον φοράν, ἐπεὶ πάντα αὐτοῦ τὰ μέρη ἐπὶ τὸ μέσον νένευκεν. μέρη δέ ἐστιν αὐτοῦ γῆ ὕδωρ ἀὴρ πῦρ, ἃ πάντα νεύει ἐπὶ τὸ μέσον.

---

5 ὥσπερ M ‖ 6 τῆς M: τε V ‖ 7 suppl Pet ‖ 9 πεποιῆσθαι V: ποιεῖται M ‖ 10 ἐκτὸς om M ‖ 11 τι ἐκτός φασιν om V ‖ 18 ἐξολισθαινούσης V | κἀκεῖσε M ‖ 19 κατὰ αὐτὰ V ‖ 23 λόγων scripsi: λέγων V, om M ‖ 26 ἕστηκε VM ‖ 27 ἄλλοι δὲ om V | εἰσὶ om V | καταβαλλομένους V ‖ 28 εἰ δ' M | corrupta et truncata, lacunam indicavi ‖ 28, 9 μὲν οὖν V: δὲ M

διὰ τοῦτο οὖν οὐδαμοῦ ῥέπει ὁ κόσμος. οἱ δὲ Ἐπικούρειοί φασι (p. 353 Us) μένειν τὸν κόσμον ἀνακοπτόμενον ὑπὸ τοῦ ἀέρος
849 M. τοῦ ἐν τοῖς μετακοσμίοις. μετακόσμια δέ ἐστι τὰ μεταξὺ τῶν κόσμων διαστήματα.

10. Περὶ ἀστέρος.

Eudorus e Diodori Posidonianis p. 21 D.

‖ Ἀστήρ ἐστι κατὰ Διόδωρον (Doxogr p. 19 sq.) σῶμα θεῖον οὐράνιον τῆς αὐτῆς μετειληφὸς οὐσίας τῶι ἐν ᾧι ἐστι τόπωι, σωμά τι λαμπρὸν καὶ οὐδέποτε στάσιν ἔχον ἀλλ' ἀεὶ φερόμενον κυκλικῶς. ὡσαύτως δὲ ὡρίσατο καὶ Ποσειδώνιος πρὸ αὐτοῦ ὁ Στωϊκός (p. 65 Bake). τὸ δὲ 'οὐδέποτε στάσιν ἔχον' ἐπὶ μὲν τῶν πλανήτων οὕτως εἰρῆσθαι δοκεῖ, πλὴν κἀπὶ τῶν ἀπλανῶν πρὸς τοὺς ὡς ἔτυχεν αἰτιωμένους οὐ καλῶς ἔχειν τῆς αὐτῆς ἐννοίας ἔχεται· οὐδέποτε γὰρ στάσιν ἔχουσι τῶι ὑπὸ τοῦ κόσμου περιάγεσθαι, κἂν ἐπ' αὐτοῦ μένωσιν· τῶν γὰρ ἀστέρων οἱ μὲν ἐμπεπηγότες τῶι οὐρανῶι ἀπλανεῖς λέγονται, οἱ δὲ τὴν ἐναντίαν φερόμενοι πλάνητες. αὐτοὶ δὲ ἑπτὰ ὄντες κατωτέρω τοῦ οὐρανοῦ καὶ τοῦ αἰθέρος περιδινούμενοι τὸν ἐναντίον τῆι τοῦ κόσμου στροφῆι δρόμον τρέχουσιν, ὥσπερ εἴ νεὼς εἰς βορέαν ἄνεμον φερομένης ἐπιβάτης εἰς νότον τρέχει ⟨ἐν⟩ αὐτῆι τῆι νηὶ τρέχων. εἰσὶ δὲ αὐτῶν αἱ κινήσεις διτταί, ἥ τε κοσμικὴ καὶ ἡ ἰδία· διὸ καὶ πρὸς σύγκρισιν τῶν ἀπλανῶν οὕτω πλάνητες ἐκλήθησαν ἤτοι ἀπὸ τοῦ πλανᾶν ἡμῶν τὰς ὄψεις (καὶ γὰρ πλάγιοι φέρονται καὶ ἀναποδίζουσιν ἐνίοτε, ἔσθ' ὅτε δὲ προσωτέρω χωροῦσιν) ἢ ἀπὸ τοῦ αὐτοὺς πλανᾶσθαι καὶ μὴ τὴν αὐτὴν πορείαν ποιεῖσθαι τοῖς ἀπλανέσιν. ὅθεν καὶ Ἄρατος (v. 319, Ecl VII) τὴν πορείαν, δι' ἧς φέρεται ὁ ἥλιος, πλάνην εἶπεν αὐτοῦ καὶ ἄλησιν 'καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο'. οἱ δὲ Πυθαγόρειοι οὐ μόνον τοὺς πλάνητας ἀστέρας βούλονται ἰδίαν κίνησιν ἔχειν, ἀλλὰ καὶ τοὺς ἀπλανεῖς, οὕτω μέντοι κι-
133 P. 30 νεῖσθαι καὶ περὶ τὸν ἴδιον κυκλεῖσθαι κύκλον, ὥσπερ τοῦ παντὸς μὴ μεταβαίνοντος ἑτέρωθι, ἀλλὰ περὶ τὸν αὐτὸν τόπον εἱλουμένου.

3, 4 τοῦ κόσμου M ‖ 5 ἀστέρων coni Diels ‖ 7 μετειληφὸς V: -ὼς M | τῶι M: om V ‖ 8 σῶμά τι scripsi: σώματι V, σῶμα M | veriloquium proponit (Roeper 'Philologus' VII p. 538) ‖ 11 πλὴν M: om V | δὲ post ἀπλ. V: om M ‖ 12 οὐ καλῶς M: om V ‖ 13 ἔχεται M: ἔχεσθαι V ‖ 14 αὐτοῦ corr Pet: αὐτὸν VM ‖ 16 πλανηταί V ‖ 19 τρέχει ⟨ἐν⟩ αὐτῆι τῆι νηὶ τρέχων tentavi: παρέχει τῆι νηὶ τρέχειν V, παρ' αὐτῆι τῆι νηὶ τρέχει M (hinc ἐπ' αὐτῆι coni Diels); cf Aristot De anima I p. 406 a 5 ‖ 23 καὶ post δὲ M ‖ 24 αὐτοῦ V ‖ 27 ἄλησιν V | κατὰ μὲν VM | οὖν om M | ἀλήσιος M, ἀλήσιον V

11. *Τίς οὐσία ἀστέρων.*

Plutarchus Plac p. 841 sqq. D. ‖*Θαλῆς μὲν δὴ γῆϊνην ἔμπυρον εἶπε τὴν τῶν ἀστέρων οὐσίαν. Ἐμπεδοκλῆς δὲ πυρίνους αὐτοὺς εἶπεν. τινὲς δὲ γεώδεις εἰπεῖν αὐτοὺς ἐτόλμησαν, ὧν ἐστι καὶ Ἀναξαγόρας* (fr 24)· *μετὰ γὰρ τὴν πρώτην φησὶ διάκρισιν τῶν στοιχείων τὸ πῦρ χωριζόμενον ἐπὶ τὴν ἰδίαν φύσιν ἀναspάσαι καὶ διάπυρα ποιῆσαι καὶ τῆς γῆς μόριά τινα· ὅθεν καὶ τὸν ἥλιον ἔλεγεν εἶναι μύδρον, ὡς ἐξῆς ἐροῦμεν* (c. 19). *ἔνιοι δὲ* (Diog Apoll p. 101 Panz) *κίσηριν πλαγίαν οὖσαν ὑπὸ τῆς θερμότητος τοῦ αἰθέρος ἀναπτομένην ὑπὸ τῶν τρυμαλιῶν τοὺς ἀστέρας φαίνειν. Πλάτων δὲ* (Tim p. 32 C sqq.) *ἐκ τῶν τεσσάρων στοιχείων, πλείστου δὲ πυρός. Ξενοφάνης δὲ λέγει* (p. 165 K.) *τοὺς ἀστέρας ἐκ νεφῶν συνεστάναι ἐμπύρων καὶ σβέννυσθαι καὶ ἀνάπτεσθαι ὡσανεὶ ἄνθρακας, καί, ὅτε μὲν ἅπτονται, φαντασίαν ἡμᾶς ἔχειν ἀνατολῆς,*

Eudorus? p. 25 D. *ὅτε δὲ σβέννυνται, δύσεως.* ‖*οἱ Στωϊκοὶ δὲ ἐκ πυρὸς λέγουσιν αὐτούς, πυρὸς δὲ τοῦ θείου καὶ ἀϊδίου καὶ οὐ παραπλησίου τῶι παρ' ἡμῖν· τοῦτο γὰρ φθαρτικὸν καὶ οὐ παμφαές.*

12. *Περὶ σχήματος ἀστέρων.* 952 M.

Plutarchus Plac p. 844 D. ‖*Κλεάνθης* (fr 33 Pearson) *αὐτοὺς κωνοειδὲς ἔχειν σχῆμά φησι, τινὲς δὲ πετάλοις ἐοικέναι ἐκπύροις βάθος οὐκ ἔχοντας,*

Eudorus? *ἀλλ' ὥσπερ γραφὰς εἶναι, τινὲς δὲ πυραμίδας.* ‖*οἱ δὲ Στωϊκοὶ σφαιρικὸν ἔχειν σχῆμα λέγουσι, καθάπερ καὶ τὸν ἥλιον καὶ τὸν περιέχοντα οὐρανόν.*

13. *Εἰ ζῶια οἱ ἀστέρες.*

Eudorus ‖*Ζῶιον δέ ἐστιν, ὡς Εὔδωρος* (p. 22 Diels), *ἔμψυχος οὐσία. τοὺς ἀστέρας δὲ ζῶια εἶναι οὔτε Ἀναξαγόραι* (p. 159 Schaub) *οὔτε Δημοκρίτωι ἐν τῶι Μεγάλωι ⟨δια⟩κόσμωι δοκεῖ οὔτε Ἐπικούρωι ἐν τῆι πρὸς Ἡρόδοτον Ἐπιτομῆι* (p. 2 et 28 Us), *δοκεῖ δὲ Πλάτωνι ἐν Τιμαίωι* (p. 40 B), *Ἀριστοτέλει ἐν δευτέρωι Περὶ οὐρανοῦ* (p. 292 b), *Χρυσίππωι ἐν τῶι Περὶ προνοίας καὶ θεῶν.*

---

2 *τὴν τῶν ἀστέρων οὐσίαν* om V ‖ 6 *ἀναspᾶσαι* V ‖ 7 *μόρια* rasura ante *ρ* V ‖ 8 *ἔνιοι* V: *ἕτεροι* M | *κίσηριν* coni Vict ‖ 9 *πλαγίαν* corruptum, *πλατεῖαν* coni Diels; an *παγίαν*? ‖ 10 *καὶ ὑπὸ* M | *διὰ τ.* coni Diels ‖ 16 *καὶ οὐ* om V ‖ 17 *οὐ* om V ‖ 20 *φησιν* om V | *ἐκπύροις* scripsi: *ἐκ πυρὸς* VM | *ἔχοντος* V ‖ 22 *ἔχειν σχῆμα λέγουσι* om V | *καὶ* prius om M ‖ 24 *ζῶα* 25 *ζῶον* 26 *ζῶα* VM ‖ 25 *δὲ* om M | *φησὶν* post *Εὔδ.* add M | *οὐσίαν* V ‖ 26 *τοὺς ἀστέρας δὲ* om V ‖ 27 *ἐν* scripsi: *σὺν* V, om M | *μεγάλωι κόσμωι* V: om M ‖ 28, 9 *Πλάτωνι δὲ δοκεῖ* M ‖ 29 *καὶ Ἀρ.* M ‖ 30 *καὶ Χρ.* M

οἱ δὲ Ἐπικούρειοί φασι μὴ εἶναι ζώιδια, ἐπειδὴ ὑπὸ σωμάτων συνέχεται, οἱ δὲ Στωϊκοὶ τὸ ἀνάπαλιν. Ποσειδώνιος δὲ (p. 65 Bake) ἀγνοεῖν τοὺς Ἐπικουρείους ἔφη, ὡς οὐ τὰ σώματα τὰς ψυχὰς συνέχει, ἀλλ' αἱ ψυχαὶ τὰ σώματα, ὥσπερ καὶ ἡ κόλλα
134 P. 5 καὶ ἑαυτὴν καὶ τὰ ἐκτὸς κρατεῖ. ὅτι δὲ οἱ ἀστέρες ζῶια, χρῶνται πρὸς ἀπόδειξιν οἱ Στωϊκοὶ τούτοις· 'πάντα τὰ ἐν τῶι οὐρανῶι πυρώδη [καὶ] κατὰ φύσιν καὶ πολυχρονίως κινεῖται καὶ κυκλικῶς. οἰκοῦν καὶ κρίσιν ἔχει. εἰ δὲ κρίσιν ἔχει, καὶ ζῶιά ἐστιν'. καὶ ὅτι ποικίλας ἔχουσι κινήσεις. τοῦτο δὲ τοῖς ζώιοις
10 ἕπεται. καὶ ὅτι πάντα τὰ στοιχεῖα ζῶια ἔχει. ἄτοπον δὲ τὸ κρεῖττον πάντων τῶν στοιχείων ζώιων ἄμοιρον εἰπεῖν.

14. Τί μὲν ἀστήρ, τί δὲ ἄστρον.

‖ Ἀστὴρ μέν ἐστιν, ὡς ἂν ὁ τοῦ Κρόνου ἢ τοῦ Ἑρμοῦ, εἷς ἀριθμῶι, ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων σύστημα, ὡς ἡ Ἀν- Eudorus e Diodori Posidonianis p. 19 D.
15 δρομέδα ἢ ὁ Κένταυρος. οἶδε δὲ τὴν διαφορὰν καὶ Ἄρατος (v. 11, 2, Ecl I 2) 'ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτὸν Ἀστέρας' λέγων. Διόδωρος δὲ καὶ οἱ ἄλλοι μαθηματικοὶ ἰδίως καὶ κοινῶς τὰ ζώιδια ἄστρα καλοῦσι καὶ ἀστέρας παρατιθέμενοι Πλάτωνα ἄστρα τοὺς ἑπτὰ πλάνητας ἐν τῶι Τιμαίωι
20 (p. 40 B) εἰρηκότα. τὸν Κύνα μέντοι ἀστέρα ὄντα ἐν τῶι βίωι ἄστρον λέγομεν. ἀλλ' ὁ μὲν ἀστὴρ καὶ ἄστρον, οὐκέτι δὲ τὸ ἀνάπαλιν. οὕτως μέντοι ὁ Καλλίμαχος (fr 35 d) 'πρὶν ἀστέρι τῶι Βερενίκης' ἐπὶ τοῦ Πλοκάμου φησίν, ὃς ἐξ ἀστέρων σύγκειται ἑπτὰ εὖ καταφανῶν (τοῦτον δὲ τὸν Πλόκαμον οὐκ οἶδεν
25 Ἄρατος, παρετήρησε δὲ Κόνων ὁ μαθηματικός). σώματα δὲ νοεῖται, ὅσα ὑπὸ μιᾶς ἕξεως ἡνωμένα κρατεῖται, οἷον λίθος ξύλον, καὶ εἴη ἂν ἕξις πνεῦμα σώματος συνεκτικόν, συνημμένα δέ, ὅσα οὐχ ὑπὸ μιᾶς ἕξεως δέδεται ὡς πλοῖον καὶ οἰκία (τὸ μὲν γὰρ ἐκ πολλῶν σανίδων, ἡ δὲ ἐκ πολλῶν λίθων σύγκειται), διε-

---

1 ζώδια M, ζω/////α V | ἐπειδὴ scripsi: ἐπεὶ δὲ V, ἐπεὶ M ‖ 3 οὔτε VM ‖ 5 ζῶα om V ‖ 7 πολυκρονίως V ‖ 8 ἔχειν V ‖ 8, 9 ζῶά ἐστι VM ‖ 9 ὅτι ante ποικ. om M ‖ 10 ὅτι ante π. om M | ζῶα VM ‖ 14 ἐν ἀρ. V ‖ 19 μάρτυρα post Πλ. add M ‖ 22 οὕτως scripsi: ὅταν VM; ὁ μέντοι Κ. coni Valckenar Call fr p. 42 ‖ 22, 3 post Κ. ἄστρα τὰ ἐπὶ τοῦ πλοκάμου τῆς βερνίκης ἀστέρι τῶι βερνίκης λέγη ὃς M | ὅτε — σύγκειται ⟨ἡμάρτηται⟩ coni O. Schneider ‖ 23 ἀστέρων scripsi: ἄκρων V, om M ‖ 24 εὖ scripsi, οὐ Valck cf Cat XII p. 98 R.: εἰ V, om M | σύγκειται post καταφανῶν M | δὲ om M ‖ 25 Ἄρατος om M ‖ 25, 6 δὲ νοεῖται V: λέγεσθαι M; λέγεται coni Pet ‖ 27 καὶ εἴη ἄν V: ἔστι δὲ M ‖ 29 ἡ δὲ — σύγκειται om V

στῶτα δέ, ὡς χορός. τῶν δὴ τοιούτων διτταὶ αἱ διαφοραί· τὰ μὲν γὰρ ἐξ ὡρισμένων σωμάτων καὶ ἀριθμῶι ληπτῶν ὡς χορός, τὰ δὲ ἐξ ἀορίστων ὡς ὄχλος. εἴη οὖν ὁ μὲν ἀστὴρ σῶμα ἡνωμένον, τὸ δὲ ἄστρον ἐκ διεστώτων καὶ ὡρισμένων· ἀριθμὸς γὰρ ἀστέρων ἐφ' ἑκάστου δείκνυται. Πίνδαρος δὲ τὸν ἀστέρα ἄστρον ὀνομάζει λέγων (Ol I 5 sq.) 'μηκέθ' ἁλίου σκόπει Ἄλλο θαλπνότερον ἐν ἁμέραι φαεννὸν ἄστρον' κατὰ τὴν συνήθειαν. 938 M. 135 P.

15. Περὶ πλανήτων.

Ign ‖Ὁ Ἄρατος (v. 10. 453, Ecl I 1) τῆι τῶν πολλῶν δόξηι κατακολουθήσας τοὺς ἀπλανεῖς ἐναρηρέναι φησὶ τῶι οὐρανῶι 'αὐτὸς γὰρ τάδε σήματ' ἐν οὐρανῶι ἐστήριξε' παρὰ τὸ 'ἐστήριξεν' ἀστέρας αὐτοὺς παρετυμολογῶν. τὸν δὲ τῶν πλανήτων λόγον παρητήσατο ὁ Ἄρατος, ὅταν λέγηι (v. 454, 5. 460—462, Ecl VIII)·

οἱ δ' ἐπιμὶξ ἄλλοι πέντ' ἀστέρες, οὐδὲν ὁμοῖοι,
ἔμπαλιν εἰδώλων δυοκαίδεκα δινεύονται...
οὐδ' ἔτι θαρσαλέως κείνων ἐγώ· ἄρκιος εἴην
ἀπλανέων τά τε κύκλα τά τ' αἰθέρι — δινεύουσιν.

παραιτεῖται δὲ διὰ πολλὰς αἰτίας, πρῶτον ὅτι φαινόμενα ἠθέλησε καὶ πᾶσι σύμφωνα δεῖξαι ἄστρα, οὗτοι δὲ πολλὴν διαφωνίαν ἔχουσι καὶ οὐδὲ πᾶσίν εἰσι φανεροί. ἐν δὲ τῶι ἐπιγραφομένωι αὐτοῦ Κανόνι (fr IV a) τὸν περὶ αὐτῶν ποιούμενος λόγον ἁρμονίαι τινὶ καὶ συμφωνίαι μουσικῆι τὰς κινήσεις αὐτῶν λέγει γεγονέναι. λεκτέον δὲ περὶ αὐτῶν.

16. Τάξις τῶν ζ' σφαιρῶν.

o Posidonio ‖Οἱ περὶ τὰ μετέωρα δεινοί φασι ζώνας τινὰς εἶναι ἑπτά, δι' ὧν φέρεσθαι τοὺς ἑπτὰ ἀστέρας, καὶ ἐν μὲν τῆι ὑψηλοτάτηι φέρεσθαι τὸν τοῦ Κρόνου, ἐν δὲ τῆι μετ' αὐτὴν τὸν τοῦ Διός, καὶ ἐν τῆι τρίτηι τὸν τοῦ Ἄρεος, ἐν τῆι τετάρτηι τὸν τοῦ ἡλίου, ἐν τῆι πέμπτηι τὸν τῆς Ἀφροδίτης, ἐν δὲ τῆι ἕκτηι τὸν τοῦ Ἑρμοῦ, ἐν δὲ τῆι ἑβδόμηι τὸν τῆς σελήνης. τινὲς δὲ ἐν τῆι τετάρτηι τὴν Ἀφροδίτην λέγουσιν, ἐν τῆι πέμπτηι δὲ τὸν

---

1 δὴ V: δὲ M ‖ 4, 5 ἐκ διεστώτων — ἄστρον om V ‖ 6 μηκέτ' ἀελίου M (ut V c. 21 fin) ‖ 8 πλανητῶν V ‖ 9 ὁ ante Ἄρ. om M ‖ 12 τ. δ. τὸν πλ. M | λόγον posteriore o in rasura V | παρητήσατο M ‖ 13 λέγη M ‖ 25 ζῶνας M ‖ 26 φέρονται οἱ ἑ. ἀστέρες M ‖ 28 ἄρεος M, ἄρεος V ‖ 29 Ἑρμοῦ pro ἡλίου V | δὲ om M ‖ 30 τοῦ ἡλίου VM (p. 43, 1 et Gemin) ‖ 31 τῆι om V

Cleomed p. 30 ‖ Gemin c. 1

Ἑρμῆν, ἐν δὲ τῇι ἕκτηι τὸν ἥλιον. ἄλλοι δὲ τέταρτον τὸν Ἑρμῆν, ἕκτην δὲ τὴν Ἀφροδίτην, μέσον δὲ τὸν ἥλιον. εἰσὶ δὲ οἳ πρῶτον τὸν ἥλιον λέγουσιν, δευτέραν δὲ τὴν σελήνην, τρίτον δὲ τὸν Κρόνον. ‖ ἡ δὲ πλείων δόξα, καθ' ἣν πρώτη ἡ σελήνη, ἐπεὶ καὶ ἀπόσπασμα τοῦ ἡλίου λέγουσιν αὐτήν, ὡς καὶ Ἐμπεδοκλῆς (v. 154 St) 'κυκλοτερὲς περὶ γαῖαν ἐλίσσεται ἀλλότριον φῶς.' ‖ περὶ δὲ τῆς ἐναρμονίου κινήσεως αὐτῶν εἶπεν, ὡς ἔφην (c. 15), Ἄρατος ἐν τῶι Κανόνι (fr. IV b) καὶ Ἐρατοσθένης ἐν τῶι Ἑρμῆι (fr XV Hill) καὶ Ὑψικλῆς καὶ Θράσυλλος καὶ Ἄδραστος Ἀφροδισιεύς. ἤρξαντο δὲ τοῦ λόγου τούτου οἱ Πυθαγορικοί· πάντα γὰρ ἁρμονίαι καὶ τάξει λέγουσι κινεῖσθαι, καθὰ καὶ ἰατροὶ τοὺς σφυγμούς, καὶ ὑγιαίνειν μέν, ὅταν εὐτακτῶσι, νοσεῖν δέ, ὅτε ἀτάκτως κινοῦνται.

Adrastus? Theo p. 139 H. (136 P.)

Ach

17. Τὰ ὀνόματα τῶν πλανήτων διαφόρως.

‖ Περὶ δὲ τῶν ὀνομάτων αὐτῶν καὶ τοῦ χρόνου ἑκάστου διαφωνία· πολλοῖς γάρ, Αἰγυπτίοις καὶ Ἕλλησι, τοῦ Κρόνου ὁ ἀστὴρ λέγεται καίτοι ἀμαυρότατος ὢν Φαίνων κατὰ τὸ εὔφημον παρ' Ἕλλησι, παρὰ δὲ Αἰγυπτίοις Νεμέσεως ἀστήρ. δεύτερος ὁ τοῦ Διὸς καθ' Ἕλληνας Φαέθων, κατὰ δὲ Αἰγυπτίους Ὀσίριδος ἀστήρ. τρίτος ὁ τοῦ Ἄρεος παρὰ μὲν Ἕλλησι Πυρόεις, παρὰ δὲ Αἰγυπτίοις Ἡρακλέους ἀστήρ. τέταρτος ὁ τοῦ Ἑρμοῦ (δεδόσθω γὰρ νῦν τέταρτον αὐτὸν εἶναι· εἴρηται γάρ c. 16, ὅτι διαφωνία πολλὴ περὶ τῶν ἀστέρων Ἑρμοῦ καὶ Ἀφροδίτης καὶ ἡλίου), ὁ τοίνυν τοῦ Ἑρμοῦ ἀστὴρ καλεῖται παρὰ μὲν Ἕλλησι Στίλβων, παρὰ δὲ Αἰγυπτίοις Ἀπόλλωνος ἀστήρ. πέμπτος ὁ τῆς Ἀφροδίτης παρὰ μὲν Ἕλλησιν Ἑωσφόρος . . . πρῶτος δὲ Ἴβυκος (fr 42 B.) εἰς ἓν συνέστειλε τὰς προσηγορίας. τέταρτος δὲ ὁ ἥλιος κατ' Αἰγυπτίους, ἕκτος δὲ καθ' Ἕλληνας. ἕβδομος δὲ ὁ τῆς σελήνης. ‖ οἱ δὲ μουσικοὶ ὑποτίθενται τὸν ζωιδιακὸν κύκλον ὡς ἐν ἁρμονίαι τάξιν ἔχειν φθόγγου τοῦ τῆς

Ign

Adrastus? Theo p. 139 H.

---

1 Ἑρμῆν ἕκτηι δὲ V | τέτατον M ‖ 3 τὸν prius om V | λέγουσιν scripsi: λέγοντες VM | δεύτερον σελ. V ‖ 4 καθ' ἣν om M | πρώτη ἡ σελήνη scripsi: πρώτην σελήνην V, πρώτην τὴν σελήνην λέγει M ‖ 9 Θρασύλλος M ‖ 10 πυθαγόρειοι M ‖ 14 περὶ τῶν ὀνομάτων τῶν πλανήτων M ‖ 15 τὰ ὀνόματα τῶν πλανήτων διαφόρως ἐκλήθησαν καὶ περὶ τοῦ χρ. M ‖ 16 πολλὴ γέγονε post διαφωνία M | Αἰγ. γὰρ κ. M ‖ 17 λέγεται post Φ. M ‖ 17, 8 Φ. λ. ἀλλὰ παρ' Ἕλλησι μὲν κ. τ. εὔφ. λέγεται οὕτω παρὰ δὲ Αἰγ. M ‖ 20 ἄρεως V ‖ 23 τούτων ἐστὶν post ἀστ. M ‖ 24 ὁ post τοίν. iterat V ‖ 26 lacunam signavit Diels p. 19² ‖ 27 ἕνα VM ‖ 29 δὲ post ἕβδ. M: om V ‖ 30 ζωδιακὸν VM

χρωματικῆς διεζευγμένου, τὸν δὲ τοῦ Κρόνου ἐπέχειν [λόγον] τῆς ἐναρμονίου φθόγγον τὸν διεζευγμένον. ὁ δὲ τοῦ Διὸς τάξιν ἔχει ἐν μουσικῇι φθόγγου τοῦ καλουμένου διατόνου διεζευγμένου. ὁ δὲ τοῦ Ἄρεος τάξιν ἔχει φθόγγου τοῦ καλουμένου παραμέσου. ὁ δὲ τοῦ Ἑρμοῦ τάξιν ἐπέχει φθόγγου παρὰ μουσικοῖς τῆς μέσης. ὁ δὲ τῆς Ἀφροδίτης τάξιν ἔχει φθόγγου ⟨τοῦ⟩ λεγομένου μέσου διατόνου. ὁ δὲ ἥλιος, ἐὰν μὴ τέταρτος ἀλλὰ ἕκτος δοθῇι, ἔσται τάξιν ἐπέχων μέσου λιχανοῦ. ἡ δὲ σελήνη ἑβδόμη οὖσα τάξιν ἐπέχει φθόγγου τοῦ λεγομένου ὑπάτης μέσης. τὸ δὲ ἀπὸ γῆς διάστημα μέχρι τῆς σελήνης θέλουσιν εἶναί τινες ἀπὸ φθόγγου τοῦ παρὰ τοῖς μουσικοῖς ὑπάτων διατόνου. 187 P.

18. Τίς ὁ καλούμενος μέγας ἐνιαυτός, καὶ ἐν πόσοις χρόνοις ἕκαστος τῶν πλανήτων ἀποκαθίσταται.

e Posidonio cf c. 16. 17. Cleomed I 8 p. 80

‖ Πάλιν ὁ πρῶτος, ὁ τοῦ Κρίνου, ἀστὴρ παραγίνεται ἀπὸ ζωιδίου ἐπὶ ζώιδιον παχυμερῶς μὲν καὶ πλατυκῶς ἔτεσι τριάκοντα, ἀπὸ δὲ σημείου ἐπὶ σημεῖον ἀποκαθίσταται ἐν ἐτῶν μυριάσι τριακονταπέντε καὶ ἔτεσιν ἑξακοσίοις τριακονταπέντε. οὗτος δέ ἐστιν ὁ καλούμενος μέγας ἐνιαυτός. ὁ δὲ τοῦ Διὸς ἀστήρ, ὁ δεύτερος, παραγίνεται ἀπὸ ζωιδίου ἐπὶ ζώιδιον πλατυκῶς καὶ παχυμερῶς ἔτεσιν δυοκαίδεκα, ἀπὸ δὲ σημείου ἐπὶ σημεῖον ἀποκαθίσταται ἐν μυριάσιν ἐτῶν δεκαεπτά καὶ ἔτεσι χϛ΄. ὁ δὲ τοῦ Ἄρεος περιέρχεται ἀπὸ ζωιδίου ἐπὶ ζώιδιον δι᾽ ἐτῶν δύο καὶ ἀπὸ σημείου ἐπὶ σημεῖον ἐν μυριάσιν ἐτῶν δυοκαίδεκα. ὁ δὲ τῆς σελήνης περιέρχεται ἀπὸ ζωιδίου ἐπὶ ζώιδιον κατὰ μῆνα ἕκαστον, ὁ δὲ ἥλιος ἐν τξϛ΄ ἡμέραις καὶ λεπτῶι, ὃς δὴ χρόνος καλεῖται ἐνιαυτὸς ἡλιακός. ὁμοίως δὲ καὶ ὁ τῆς Ἀφροδίτης καὶ ⟨ὁ⟩ τοῦ Ἑρμοῦ τῶι ἡλίωι δι᾽ ἐνιαυτοῦ ἀπὸ ζωιδίου ἐπὶ ζώιδιον παραγίνονται· σχεδὸν γὰρ ἰσοταχεῖς εἰσιν. διὸ καὶ διάφωνος αὐτῶν ἡ τάξις.

Adrastus? Theo p. 141 H.

‖ τούτων δὴ τῶν διαστημάτων τῶν [φθόγγων] ἀπὸ τῶν κατωτάτω τόπων μέχρι τοῦ ζωιδιακοῦ γίνεται διάστημα συμφωνίας τῆς παρὰ τοῖς μουσικοῖς λεγομένης διὰ πασῶν.

---

1 διεζευγμένων V ‖ 2 φθόγγον post ἐναρμ. om M | τὸν διεζευγμένον M: τῆς διεζευγμένων V | ἔχει corr Pet: ἔχειν VM ‖ 4 ἄρεως VM ‖ 6, 7 μέσου διατόνου M: μέσων διατόνων V ‖ 7 δοχῆι M ‖ 8 μέσω V ‖ 9 μέσων V ‖ 15 ζωιδίου ἐπὶ ζώιδιον VM et sic toto in capite | πλατυκῶς corr Vict: -ικῶς VM ‖ 17 χλε V ‖ 19, 20 πλατυκῶς corr Vict: -ικῶς VM ‖ 21 ἔτεσιν ἑξακοσίοις M ‖ 22 ἄρεως V ‖ 23 δύο ⟨καὶ πέντε μησῶν⟩ secundum Cleomedem ‖ 24 σελήνης corr Pet: ἀφροδίτης VM ‖ 25 λεπτῶν V ‖ 27 σὺν post Ἑ. M ‖ 30 κατωτάτων V

‖*Χαλδαῖοι δὲ περιεργότατοι γενόμενοι ἐτόλμησαν τοῦ ἡλίου* Ign
τὸν δρόμον καὶ τὰς ὥρας διορίσασθαι· τὴν γὰρ ἐν ταῖς ἰσημε-
957 M. *ρίαις ὥραν αὐτοῦ, καθ' ἣν ἴσως διέρχεται τὸν πόλον, εἰς τρια-*
κοντα ὅρους μερίζουσιν, ὥστε τὸ τριακοστὸν μέρος τῆς ὥρας τῆς
ἐν τῇι ἰσημερινῇι ἡμέραι ὅρον λέγεσθαι τοῦ δρόμου τοῦ ἡλίου.
λέγουσι δὲ πάλιν ἀνδρὸς πορείαν μήτε τρέχοντος μήτε ἠρέμα
βαδίζοντος μήτε γέροντος μήτε παιδὸς τὴν πορείαν εἶναι τοῦ
ἡλίου καὶ τριάκοντα σταδίων καθαρῶν εἶναι.

‖*ἐπειδὴ δὲ εἴπομεν* (p. 44) *καθυποβεβηκέναι τοὺς ἀστέρας τοὺς* Ach
πλάνητας τῶν ἐπάνω, τὴν ἀνωτάτω ζώνην ἔχοντος τοῦ Κρόνου,
τὴν δὲ μετὰ ταῦτα τοῦ Διός, τὴν δὲ τρίτην τοῦ Ἄρεος καὶ
καθεξῆς τῶν ἄλλων, ἴσως ἂν ζητήσειέ τις, πῶς φαμεν, εἰ οὕτω
τύχοι, Κρόνον καὶ ἥλιον ἐν Κριῶι εἶναι ἢ σελήνην καὶ Δία ἐν
Ταύρωι ἢ ἄλλων τινῶν ἀστέρων σύνοδον, ὁπότε μὴ εἰσιν ἐν τῶι
αὐτῶι ὕψει φερόμενοι. λεκτέον δέ, ὅτι ὑπ' ἀλλήλους ὄντες
τότε συνόδους ποιοῦσιν, ὅταν κατὰ κάθετον ἀλλήλων γίνωνται.
138 P. *εἰδέναι δὲ χρή, ὡς οἱ ἀστρονόμοι διδόασι ζώνας τῶν πλανή-*
των ἀστέρων, ὁ δὲ Πλάτων σφαίρας εἶναι λέγει (Tim p. 38 C)
μίαν ὑπὸ τὴν μίαν ἑκάστωι. ὁ δὲ Ἄρατος περὶ τῶν πέντε λέ-
γειν παραιτησάμενος (v. 460, Ecl VIII) *μετὰ τὴν τῶν Φαινομέ-*
νων δεῖξιν περὶ ἡλίου καὶ σελήνης λέγει (v. 733 sqq.)

τῶν δὲ ἀστέρων οἱ μὲν ἀπλανεῖς ἐναρήρασι τῶι οὐρανῶι
(cf Ar v. 453) *καί εἰσιν ἀκίνητοι κατὰ τὸν ἴδιον λόγον, συμπερι-*
φέρονται δὲ τῆι ῥύμηι τοῦ οὐρανοῦ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ
ὡσαύτως δύνοντες καὶ ἀνατέλλοντες (διὸ καὶ ἀπλανεῖς ἐκλήθη-
σαν), ἄλλοι δέ εἰσιν ἑπτὰ ἀστέρες κατωτέρω τοῦ οὐρανοῦ ἐν
τῶι αἰθέρι καὶ ἰδίως καὶ μετὰ τοῦ οὐρανοῦ κινούμενοι, οἵτινες
τῶι ἰδίαν κίνησιν ἔχειν καὶ μὴ ⟨ἐν⟩αρηρέναι τῶι οὐρανῶι, ἀλλ'
ἐν τῶι αἰθέρι φέρεσθαι οὔτε κατὰ τὰ αὐτὰ οὔτε ὡσαύτως ἀνα-
τέλλουσι (διὸ πρὸς σύγκρισιν τῶν ἀπλανῶν πλάνητες λέγονται).
οἱ δὲ Πυθαγόρειοι οὐ μόνον τοὺς πλάνητας ἰδίαν κίνησιν ἔχειν
φασίν, ἀλλὰ καὶ τοὺς ἀπλανεῖς, οὕτω μέντοι κινεῖσθαι ὡς τρύ-

---

5 in margine ζ^{η} M ‖ 7, 8 *εἶναι τοῦ ἡλίου καὶ* om V ‖ 9, 10 *τῶν ἐπάνω τοὺς πλάνητας* V ‖ 10 *τὴν ἀνωτάτω ζώνην ἔχοντος τοῦ* V: *καὶ τὴν ἀνωτάτω ζώνην ἔχειν τὸν τοῦ* M ‖ 11 *ταῦτα* V: *ταύτην* M | *τὸν* ante *τοῦ* bis VM: dolevi | *ἄρεος* V ‖ 12 *τις* om V ‖ 14 *ἄλλους τινὰς ἀστέρας σ.* M (ubi ⟨*ποιεῖν*⟩ addit post *σ.* Pet) ‖ 16 *γένωνται ἀλλήλων* M ‖ 19 *τὴν* om M ‖ 27 *αἰθέρι* M (ut l. 29 VM et Aratus v. 461): *ἀέρι* V ‖ 28 supplevi e l. 22 et Arato v. 453

πανον περιδινούμενον περὶ τὸν αὐτὸν τόπον. ἐκλείπειν δὲ ἕκαστος τότε τῶν ἀστέρων δοκεῖ, ὅταν προσγειότερος αὐτοῦ κατὰ κάθετον γενόμενος ἐπισκιάσηι τὴν αὐγὴν τοῦ ἡλίου.

19. *Περὶ ἡλίου.*

Ach ‖*Πολλοὶ τῶν ἐπιφανεστέρων περὶ ἡλίου καὶ σελήνης ἐπραγματεύσαντο, ἰδίαι δὲ καὶ περὶ τῶν πέντε. διὸ καὶ Ἄρατος ἰδίως μὲν περὶ ἡλίου καὶ σελήνης πρὸς τῶι τέλει τῆς ποιήσεως εἶπεν* (v. 733 sqq.), *ἰδίαι δὲ περὶ τῶν πέντε ἐν τῶι ἐπιγραφο-*
Plutarchus Plac p. 348—352 D. *μένωι Κανόνι* (fr IV c). ‖*τὴν δὲ οὐσίαν τοῦ ἡλίου Πλάτων περιέργως ἐκ πυρὸς εἶναί φησι* (Tim p. 39 B), *τινὲς δὲ τῶν φυσικῶν* (c. 11, cf Xenophanes p. 165 K.) *ἐξ ἀναθυμιάσεως γῆς καὶ νεφῶν αὐτὸν εἶναι. Ἀναξαγόρας μύδρον αὐτὸν εἶπε* (fr 24 Schaub), *Φιλόλαος δὲ* (p. 127 B.) *τὸ πυρῶδες καὶ διαυγὲς λαμβάνοντα ἄνωθεν ἀπὸ τοῦ αἰθερίου πυρὸς πρὸς ἡμᾶς πέμπειν τὴν αὐγὴν διά τινων ἀραιωμάτων, ὥστε κατ᾽ αὐτὸν τρισσὸν εἶναι τὸν ἥλιον, τὸ μὲν ἀπὸ τοῦ αἰθερίου πυρός, τὸ δὲ ἀπ᾽ ἐκείνου πεμπόμενον ἐπὶ τὸν ὑελοειδῆ ὑπ᾽ αὐτοῦ λεγόμενον ἥλιον, τὸ δὲ ἀπὸ τοῦ τοιούτου ἡλίου πρὸς ἡμᾶς πεμπόμενον. Ἐπίκουρος δὲ κισηροειδῆ αὐτὸν ἔφη* (p. 229 Us) *ἐκ πυρὸς διὰ τρημάτων τινῶν τὸ φῶς ἐκπέμποντα. τινὲς δέ, ὧν ἐστι καὶ Ἀναξίμανδρος, φασὶ* 960M. 189P. *πέμπειν αὐτὸν τὸ φῶς σχῆμα ἔχοντα τροχοῦ· ὥσπερ γὰρ ἐν τῶι τροχῶι κοίλη ἐστὶν ἡ πλήμνη, ἔχει δὲ ἀπ᾽ αὐτῆς ἀνατεταμένας τὰς κνημῖδας πρὸς τὴν ἔξωθεν τῆς ἁψῖδος περιφοράν, οὕτω καὶ αὐτὸν ἀπὸ κοίλου τὸ φῶς ἐκπέμποντα τὴν ἀνάτασιν τῶν ἀκτίνων ποιεῖσθαι καὶ ἔξωθεν αὐτὰς κύκλωι φωτίζειν. τινὲς δὲ ὡς ἀπὸ σάλπιγγος ἐκ κοίλου τόπου καὶ στενοῦ ἐκπέμπειν αὐτὸν τὸ φῶς ὥσπερ πρηστῆρα. σχῆμα δὲ αὐτοῦ οἱ μὲν* (Anaximenes) *δισκοειδές, Ἡράκλειτος δὲ σκαφοειδές, Στωϊκοὶ δὲ σφαι-*
Ach *ροειδὲς εἶναι λέγουσιν.* ‖*πολλοῖς δὲ περὶ τούτου πραγματεῖαι γεγόνασιν, ὥσπερ Θρασύλλωι καὶ Ἀδράστωι τῶι ἀπὸ τοῦ Περιπάτου τῶι Ἀφροδισιεῖ.*

Ign ‖*ἐκλείπει δέ, ὡς μέν τινές φασιν, ἔμπροσθεν αὐτοῦ τῆς*

---

1 *ἕκαστον* V ‖ 2 *ὅτε* V (cum coniunctivo ut saepe) M | *προσγειότερον* V ‖ 3 *ἐπισκιάσῃ* V: *ὑπεισέλθοι* M ‖ 6 *ἰδία* M ‖ 18 *κισσηροειδῆ* VM, cf c. 11 ‖ 19 *αὐτὸν ἔφη* om V | *ἐκ* M: *καὶ* V ‖ 24 *ἐκπέπτοντα* M ‖ 25 'immo idem Anaximander' Diels p. 25 sq. 348 ‖ 27 *πρηστῆρας* VM ‖ 31 *τῶι Ἀ.* V: *καὶ Ἀ.* M | *ἀφροδισεῖ* M ‖ 32 *περὶ ἐκλείψεως ἡλίου* in margine M | *ἐκλείπειν* V

σελήνης κατὰ κάθετον αὐτοῦ γιγνομένης, ὃ καὶ μᾶλλον πιθανόν· προσγειοτέρα γὰρ αὐτοῦ ἐστιν ἡ σελήνη καὶ κατωτέρα τοῦ ἡλίου· οὕτω γὰρ καὶ ὁ Ἄρατος (v. 865, 4, Ecl XVI)· 'ἱσταμένη γαίης τε καὶ ἠελίοιο — κατ' ἰθύ.' οὐκ ἐκλείπει δὲ ὁ ἥλιος, ἀλλ' ἡμῖν δοκεῖ· κατὰ κάθετον γὰρ ἡ σελήνη γενομένη τῶι ἡλίωι καὶ τῆι γῆι ἀνείργει τὰς πρὸς ἡμᾶς τοὺς ἐπὶ γῆς αὐγὰς αὐτοῦ. καὶ ἡμῖν οὕτω φαίνεται κατωτέρω σελήνης οὖσιν. οὐχ ὅλου δέ, ἀλλὰ μέρους ἔκλειψις γίνεται· οὐ γὰρ δυνατὸν ἐλάττονα οὖσαν τὴν σελήνην πολὺ ὅλον ἀποκρύπτειν τὸν ἥλιον. διὸ οὐ παρὰ πᾶσιν ἀνθρώποις ἅμα ἔκλειψιν δοκεῖν, ἀλλὰ παρ' ἑτέροις ἄλλοτε, οἷον ἐν Συήνηι καὶ Ἀλεξανδρείαι καὶ Ἐλεφαντίνηι ἅμα ἐκλείπειν· τοῦ γὰρ αὐτοῦ κλίματος δοκεῖ ταῦτα τὰ χωρία εἶναι. ‖ ἐπραγματεύσαντο δὲ πολλοὶ περὶ ἐκλείψεων ἡλίου κατὰ τὰ ἑπτὰ κλίματα, ὥσπερ Ὡρίων Ἀπολλινάριος Πτολεμαῖος Ἵππαρχος. ‖ κλίματα δὲ εἴρηται διὰ τὸ τὴν γῆν μὴ εἶναι ὁμαλήν, ἀλλ' ἔχειν οἷον ἐγκλίματά τινα ὑψηλοτέρων ὄντων καὶ ταπεινοτέρων τῶν μερῶν αὐτῆς καὶ τὰς οἰκήσεις τῶν ἐθνῶν ἄλλας ἀλλαχοῦ εἶναι. ἐνιαυτὸς δὲ ἡλίου εἴρηται, ἐπεὶ ἔχει τὰς πάσας ὥρας ἐν ἑαυτῶι· τέσσαρας κατὰ τὸν Εὐριπίδην (fr 862) 'ὀθούνεκα ἐν αὐτῶι πάντα συλλαβὼν ἔχει'. λέγεται δὲ ἐνιαυτὸς ἡ ἀπὸ ζωιδίου ἐπὶ ζώιδιον ἀποκατάστασις αὐτοῦ ἐν ἡμέραις τξε' καὶ ἐλαχίστωι μορίωι. ἀπὸ δὲ σημείου ἐπὶ σημεῖον ἀποκαθίσταται ἐν ὀκταετη-
140 P. ρίδι, εἴγε γνήσιόν ἐστι τὸ σύγγραμμα (Ἐρατοσθένης γὰρ ἀντέγραψεν δεικνύς, ὡς οὐκ εἴη Εὐδόξου), κατὰ δέ τινας ἐν ⟨ἓξ καὶ⟩ ἑβδομήκοντα ἔτεσιν (ἧς δόξης ἐστὶ καὶ Κάλλιππος), κατὰ δὲ Μέτωνα δι' ἐννεακαιδεκαετηρίδος. ταύτηι κατηκολούθησεν Ἄρατος· φησὶ γάρ (v. 752—755, Ecl XIV)·

Ach

o Posidonio
ς Gemin c. 6

---

1 *κατακάθετον* V | *ὃ* corr Wil: *ὧι* VM | *πιθανόν* V: *ὡς πιθανῶι πιστέον* M; *δοκεῖ ἀναγνωστέον* '*ὃ καὶ μᾶλλον πιθανόν*' vel '*ὧι καὶ μᾶλλον ὡς πιθανῶι πιστευτέον*' manus recens in margine codicis Monacensis 89 p. 24 (de quo cf Proleg II) ‖ 3 *Ἀρ. λέγει* M | *ἱσταμένης* M ‖ 5, 6 *τῶ ἡλίω καὶ τῆι γῆι* V: *τοῦ ἡλίου* M ‖ 7 *τῆς σ.* M ‖ 10 *ἔκλειψιν* V: *ἐκλείπειν* M | *δοκεῖ* M (ita dudum coni Pet) ‖ 12 *ἐκλείπει* M ‖ 14 *ὁ* ante *Ἀπ.* M ‖ 15 — 18 post *ὁμαλὴν* sic *μηδὲ τὰς οἰκήσεις τῶν ἐθνῶν ἀλλὰ ἔχειν. κλίματα* (*ἐγκλίματα* V²) *δὲ εἴρηται διὰ τὸ τὴν γῆν εἶναι ὁμαλὴν ὑψηλοτέρων καὶ ταπεινοτέρων μερῶν. ἐνιαυτὸς δὲ* V ‖ 18 in margine *τίς ἐνιαυτὸς ἡλίου* M ‖ 19 *ὀθ' οὕνεκ'* M | *αὐτῶι* VM ‖ 20 scripsi: *ἀ. τοῦ ζ.* V, *ἀ. τοῦ αὐτοῦ ζ.* M ‖ 20, 1 *ἐπὶ τὸ αὐτὸ ἀπ.* M ‖ 22 *ὀκτωκαιδεκαετηρίδι* VM: corr Scal, cf Aratea p. 14 ‖ 23 *ἐρατοσθένους οὗτος γὰρ ἀνέγραψεν* M ‖ 24 suppl Pet

συναγείρεται ἤδη
ἐννεακαίδεκα κύκλα φαεινοῦ ἠελίοιο,
ὅσσα τ᾽ ἀπὸ ζώνης εἰς ἔσχατον Ὠρίωνα
νὺξ ἐπιδινεῖται Κύνα τε θρασὺν Ὠρίωνος.

20. *Περὶ μεγέθους ἡλίου.*

Eudorus p. 21 D. = Cleomed I 8 p. 30

‖*Μέγεθος ἡλίου μεῖζον γῆς φασιν. καὶ οἱ μὲν ποδιαῖον, οἱ δὲ ὀκταπλασίονα, οἱ δὲ ἐννεακαιδεκαπλασίον⟨α⟩, φέρεσθαι δὲ αὐτὸν τὴν ἐναντίαν τοῖς ἀπλανέσι φορὰν κατὰ τὴν ἰδίαν κίνησιν ἀπὸ δυσμῶν ἐπ᾽ ἀνατολάς, ἄγεσθαι δὲ ὑπὸ τῆς ἀπλανοῦς ἀπὸ τῶν ἀνατολικῶν μερῶν ἐπὶ τὰ δυτικὰ κατὰ τὸν Εὐριπίδην λέγοντα* (fr 861)· 961 M.

δείξας γὰρ ἄστρων τὴν ἐναντίαν ὁδόν
δόμους τ᾽ ἔσωσα καὶ τύραννος ἱζόμην.

Ἀτρεὺς γὰρ εὗρε τῶν πλανήτων τὴν ἐναντίαν φοράν, ὥσπερ καὶ ἡλίου ἀπὸ ἀνατολῶν κυλιομένου καὶ φερομένου εἰς δυσμάς· ὥσπερ γάρ, εἰ τύχοι μύρμηξ ἐπὶ τῆς ἔξωθεν περιφερείας ἕρπων ἀπὸ δυσμῶν ἐπ᾽ ἀνατολὰς τὴν ἐναντίαν τῶι τροχῶι ποιούμενος πορείαν, συμβήσεται αὐτὸν ὑπὸ μὲν τῆς τοῦ τροχοῦ περιδινήσεως ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς ἄγεσθαι, ὑπὸ δὲ τῆς ἰδίας κινήσεως ἀπὸ δυσμῶν ἐπ᾽ ἀνατολάς, ἡμῖν δὲ δυσκατάληπτον εἶναι τὴν ἰδίαν αὐτοῦ κίνησιν, ἅτε δὴ μικρὰν οὖσαν (διὸ καὶ παρατρέχει ἡμῶν τὴν ὄψιν ἡ τοῦ μύρμηκος ὀξυτέρας οὔσης τῆς τροχοῦ), τὸν αὐτὸν τρόπον νόει καὶ ἐπὶ ἡλίου· ἔστω γὰρ τροχὸς ὁ οὐρανός, ὁ δὲ μύρμηξ ἀντὶ ἡλίου. τὴν δὲ δεῖξιν ταύτην ἐπ᾽ αὐτῆς τῆς σφαίρας ἔστιν ἰδεῖν· ἐὰν γὰρ ὑποθώμεθα πρῶτον ἀνατέλλειν Κριὸν καὶ τὸν ἥλιον ἐν τούτωι εἶναι ἐπὶ ἡμέρας λ΄ τὴν μετάβασιν αὐτοῦ ἀπὸ τοῦ Κριοῦ εὑρίσκομεν εἰς τὸν Ταῦρον γινομένην (ὃ δ᾽ ἐστὶ μετὰ τὸν Κριόν). ἀπὸ τῶν δυτικῶν ἄρα μερῶν ἐπὶ τὰ ἀνατολικά, ἀλλ᾽ οὐχὶ ἀνάπαλιν ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικὰ εὑρίσκομεν φερόμενον αὐτόν. δῆλον οὖν· κινεῖται καὶ φέρεται κατὰ τὴν ἰδίαν κίνησιν ἀπὸ τῶν δυτικῶν ἐπὶ τὰ ἀνατολικά.

---

1 *συναγείρεται* M: *συνεγείρεται* V, cf Aratea p. 18 ‖ 6 *φασί* VM ‖ 7 *οκταπλασίον*^{a} V: *-ον* M ‖ 13 *δόμους* VM (*δήμους* VM c. 1) ‖ 14 *γὰρ* om V ‖ 15 *καὶ* prius om V ‖ 16 *ζητεῖται πῶς κινεῖται ὁ ἥλιος* in margine M | *ὥσπερ γὰρ* om V | scripsi: *μύρμηξ ἐπὶ τὰ ἔξωθεν π. ἕρποι ἀπὸ* V, *μύρμηξ ἕρπων ἔξωθεν π. τινὸς ἀπὸ* M ‖ 21 *συμβαίνει* post *εἶναι* M ‖ 22 *ἡ* V | *κίνησις* post *μ.* M ‖ 23 *τοῦ* post *τῆς* M ‖ 24 *ὁ δὲ ἥλιος ἀντὶ μύρμηκος* M ‖ 29 *ἄρα* om V ‖ 30 *εὑρίσκομεν* om V ‖ 31 *ὡς* post *οὖν* M

21. *Περὶ σελήνης.*

141 P. ‖ *Τινὲς οὐδὲ ὅλως βούλονται εἶναι σελήνην. ἄλλοι δὲ αὐτὴν* Plutarchus Plac II 25 p. 26. 356 D.
ἐξ ἀναθυμιάσεως γῆς εἶναι λέγουσιν, ἕτεροι δὲ ἐκ πυρός, ἄλλοι
καὶ ἀέρος, ἄλλοι ἐκ τῶν τεσσάρων στοιχείων, ἕτεροι δὲ γῆν πε-
πυρωμένην στερέμνιον ἔχουσαν πῦρ, εἶναι δὲ ἐπ' αὐτῆς οἴκησιν
ἄλλην ποταμούς τε καὶ ὅσα ἐπὶ γῆς, καὶ τὸν λέοντα τὸν Νε-
μεαῖον ἐκεῖθεν πεσεῖν μυθολογοῦσιν. Ἐμπεδοκλῆς δὲ (v. 154 St,
cf c. 16) *ἀπόσπασμα αὐτήν φησιν ἡλίου.* ‖ *σχῆμα δὲ αὐτῆς οἳ μὲν* Plutarchus Plac II 27 p. 26. 357 D.
σφαιροειδές, οἳ δὲ δισκοειδές. κατὰ μῆνα δὲ ἐκλείπει, ὡς μὲν
Ἡράκλειτός φησιν, ὁμοίως τῶι ἡλίωι τοῦ φωτοειδοῦς [σχήματος]
ἀναστραφέντος, ἄλλοι δὲ τοῦ στομίου τοῦ τροχοειδοῦς, δι' οὗ
ἐκπέμπεται τὸ φῶς, ἀποφραχθέντος, ὡς δὲ ἄλλοι, ὅταν περὶ
τὸ κωνοειδὲς τῆς γῆς γένηται δύνουσα, ὡς δὲ οἱ πολλοί, κατὰ
διάμετρον γενομένη ἡλίωι. γίνεται δὲ κατὰ μῆνα ἕκαστον. ‖ *γέννα* e Posidonio cf Gemin c. 7
δὲ σελήνης καὶ ἀνατολὴ διαφέρει· μετὰ γὰρ τρεῖς ἢ τέσσαρας
τοῦ γεννηθῆναι ἡμέρας φαίνεται καὶ οὐχ ἅμα τῶι γεννηθῆναι.
ἀνατέλλει δὲ οὐχ ὅλον τὸ φῶς ἔχουσα περιφερές, ἀλλὰ μηνοει-
δής. μέχρι δὲ τοῦ ἡμίσεος αὐξηθεῖσα γίνεται διχότομος. ἐὰν δὲ
τὸ δίμοιρον περιφωτισθῆι, καλεῖται ἀμφίκυρτος. πληρωθεῖσα
δὲ γίνεται πληροσέληνος καὶ πανσέληνος καὶ διχόμηνις (πεντε-
καιδεκαταία γάρ ἐστιν, ὅτε πληροῦται, ὃ ἐστιν ἥμισυ μηνὸς
διχαζομένων τῶν λ' ἡμερῶν), καὶ πάλιν αὖ ἀπὸ τῆς πανσελήνου
ἄρχεται μειοῦσθαι καὶ γίνεται πρῶτον ἀμφίκυρτος, εἶτα διχό-
μηνις, εἶτα μηνοειδής.

‖ *ἄξιον δὲ ζητῆσαι, τί δήποτε ἐπὶ τοῦ φωτὸς τῆς σελήνης* Ign
964 M. *ταῦτα τὰ σχήματα γίνεται. πρὸς δὴ τοῦτο οἳ μὲν λέγουσι περὶ*
τὸν κῶνον αὐτὴν γινομένην τῆς γῆς τοῦτο πάσχειν· ὥσπερ γάρ,
εἴ τις εἰς ὄρος ἀναβαίη καὶ ἐπὶ ἄκρου αὐτοῦ σταίη, ὅλος φαί-
νεται τοῖς ἄποθεν οὖσι, κατιὼν δὲ ἐπὶ τὸ ἕτερον μέρος τοῖς
κατόπιν αὐτοῦ οὐκ ἔτι ὅλος φαίνεται, ἀλλὰ παρὰ τοὺς πόδας
ἐφάνη ἐκεῖ ἢ ἔτι μᾶλλον κατιὼν κατὰ βραχὺ (τὰ γὰρ ἀπὸ τῶν
χειρῶν μέχρις ἄνω 'κατὰ βραχύ' λέγει), ἕως οὗ ὅλος ἀφανὴς γέ-
νηται, οὕτω φησὶ καὶ τὴν σελήνην ποτὲ μὲν πλήρη φαίνεσθαι,

---

2 *οὐδ'* M ‖ 6 *ἄλλην* 'praeter terram nimirum' Diels | *ποταμοῦ* V | *νε-*
μαῖον VM ‖ 9 *ἐκλείπει δέ* V ‖ 10 *σκαφοειδοῦς σχήματος* coni Diels e Plut
Plac II 29, 3 ‖ 14 *γενομένην* V ‖ 17, 8 *μηνοειδές* V ‖ 18 *ἡμίσους* V ‖ 21 *ὡς*
ἐπὶ τὸ πληροῦνται V, *γάρ ἐστι πληρωθεῖσα* M ‖ 27 *γινομένης* V ‖ 28 *ζήτημα*
in margine M | *ἐπ'* M | *σταίηι* M | *ὅλος* M: *ὁ λόφος* V ‖ 29 *ἄπωθεν* M ‖ 30
παρὰ corr Pet: *περὶ* VM ‖ 31 *βραχὺ τὰ γὰρ* scripsi: *βραχύτατα* V, *βραχὺ* M ‖
31,2 *ἀπὸ — λέγει* om M ‖ 32 *μερῶν* VM cf p. 50,11. 54,31 ‖ 33 *φησὶ* V: *φασὶ* M

ποτὲ δὲ ἐκ μέρους περὶ τὸν κῶνον γενομένην τῆς γῆς, οὐχὶ μειουμένην αὐτήν, ἀλλ' ἡμῖν οὕτω φαινομένην. οἱ δὲ λέγοντες αὐτὴν κατόπτρωι παραπλησίαν εἶναι ἐκλείψεις λέγουσι γίνεσθαι 142 P.
αὐτῆς, αἳ τοῦ ποτε μὲν πλήρη φαίνεσθαι αὐτὴν αἴτιαι γίνονται, ποτὲ δὲ ἐνδεᾶ τοῦ φωτίζεσθαι· ὥσπερ γὰρ εἰ κάτοπτρον λαβών τις ἐθέλοι τὴν ἀπ' αὐτοῦ ἀντανάκλασιν τοῦ εἰδώλου θεάσασθαι, ἐξ ἐναντίας τοῦ προσώπου αὑτοῦ τὴν θέσιν τοῦ κατόπτρου ποιήσεται (τοῦτο γὰρ ποιήσας ὅλον τὸ πρόσωπον αὐτοῦ θεάσεται ἐν τῶι κατόπτρωι), εἰ δὲ πλαγιάσειε τὸ κάτοπτρον, πρὸς τὸν πλαγιασμὸν καὶ τὴν ἔγκλισιν τοῦ κατόπτρου ἢ τὸ δίμοιρον ἢ τὸ ἥμισυ ἢ βραχύ τι μέρος τούτου θεάσεται ἀνταναπλώμενον [τοῦ προσώπου αὐτοῦ] τοῦ κατόπτρου ἐγκλινομένου, οὕτω καὶ ἐπὶ τῆς σελήνης. ταύτηι τῆι δόξηι ἔοικεν Ἄρατος ἀκολουθεῖν· φησὶ γάρ (v. 738, Ecl XIII) 'αἰεὶ δ' ἄλλοθεν ἄλλα παρεκκλίνουσα πρόσωπα' τὸ τοῦ κατόπτρου παράδειγμα αἰνιττόμενος. προείρηται δὲ ὁ κόσμος σφαῖρας ἔχειν σχῆμα ἔξωθεν μὲν κυκλοτερῶς περικείμενον ἔχων τὸν οὐρανόν, μεσαιτάτην δὲ τὴν γῆν κέντρου καὶ σημείου τάξιν ἐπέχουσαν, μεταξὺ δὲ αὐτῆς καὶ οὐρανοῦ αἰθέρα τε αὐτὸν εἶναι καὶ ἀέρα καὶ ὕδωρ σφαιρικῶς ὑπ' ἀλλήλων ἐχόμενα.

Eudorus? cf c. 5 ‖ κόσμον δὲ τὴν τῶν ὅλων σύστασιν παρὰ τὴν διακόσμησιν καὶ εὐταξίαν ἐκάλεσαν οἱ παλαιοί, ὡς καὶ Ὅμηρος (Il II 554) 'κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας' καὶ πάλιν 'αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι' (Il III 1) τὴν εὐταξίαν λέγων. αἰθὴρ δὲ λέγεται ἀπὸ τοῦ αἴθεσθαι (πυρώδης γάρ ἐστιν) ἢ ἀπὸ τοῦ ἀεὶ θεῖν καὶ ὁρμᾶν, ἐπειδὴ ἀεὶ περιφέρεται, ἀὴρ δὲ ἀπὸ τοῦ ἄειν (ἄειν γὰρ τὸ πνεῖν), οὐρανὸς δὲ διά τί, προείρηται (c. 5).

Ign ‖ ζητοῦσι δέ τινες, εἰ πυρώδεις εἰσὶν οἱ ἀστέρες, πῶς οὐ καίειν ἡμᾶς φαίνονται. λέγομεν οὖν, ὡς εἰσι μὲν ὑπὲρ γῆς, καταυγάζονται δὲ ὑπὸ τοῦ ἡλίου καὶ ἀμαυροῦνται. ἐν γοῦν ἐκλείψεσι τοῦ ἡλίου πολλάκις ἀστέρες ὤφθησαν ἐν ἡμέραι.

Ign ‖ καὶ πάλιν ζητεῖται, εἰ ἐμπεπήγασι τῶι οὐρανῶι οἱ ἀστέρες, πῶς ὁρῶμεν ἐνίοτε νυκτὸς καὶ ἡμέρας καταφερομένους ἀστέρας. φαμὲν δέ, ὅτι οὐκ αὐτοὶ καταπίπτουσιν, ἀλλὰ φῶς τι ἐξ αὐ-

---

1 *γινομένην* M ‖ 2 *φαινόμενον* V ‖ 5 *τοῦ φωτίζεσθαι* scripsi: *τῶι φωτί* V, *φωτὸς εἶναι* M ‖ 6 *τις* om V ‖ 7, 8 *αὐτοῦ* V ‖ 12 seclusit Wil; *τοῦ προσώπου — ἐγκλ.* om M | *ἐκκλινομένου* V: correxi cf l. 10 ‖ 16 *ἔχει* V ‖ 17 *ἔχων* post *περιχ.* M: om V ‖ 18 *τοῦ* post *καὶ* M ‖ 19, 20 *τε αὐτῆς* V ‖ 20 *ἐχόμενα* M: *ὄντας* V ‖ 22 *ἄνδρας* V ‖ 23 *ἡγεμόνεσιν* V ‖ 24 *αἴθειν* M ‖ 26 *οὐρ. δὲ ὅθεν ἐκλήθη* M ‖ 30, 1 *ἐκλείψεσιν ἡλίου* M ‖ 33 *φερομένους* M

τῶν ἀπορρεῖ, καί, ὥσπερ οἱ ἄνθρακες ῥιπιζόμενοι ἢ κινούμενοι λαμπρότεροι γίνονται καὶ σπινθῆρας ἀποπέμπουσι, τὸν αὐτὸν
965 M. 142 P. τρόπον καὶ οἱ ἀστέρες ποτὲ μὲν ἀμυδροὶ ποτὲ δὲ φαιδροὶ γίνονται, ἔσθ' ὅτε δὲ καὶ φῶς ἐξ αὐτῶν ἐκπέμπουσιν. ‖ σχήματος e Posidonio? cf Gemin c. 3
τοίνυν σφαιρικοῦ περὶ τὸν κόσμον ὄντος καὶ τῆς γῆς ἐν μέσωι κέντρου τάξιν ἐπεχούσης ὁ ἀπὸ τῆς περιφερείας τῆς σφαίρας διὰ τοῦ κέντρου αὐτῆς διήκων ἐπὶ τὴν περιφέρειαν ἄξων καλεῖται, περὶ ὃν στρέφεται ἡ σφαῖρα, ἤτοι ἀφ' ἑαυτῆς ἢ ὑφ' ἑτέρου κινουμένη· ἀμφοτέραις γὰρ ταῖς δόξαις ὁ Πλάτων ἐν τῶι Πολιτικῶι κέχρηται (p. 269 C).

‖ ἰστέον δέ, ὅτι ἐξωμάλισαν ἄστρου καὶ ἀστέρος τὴν διαφορὰν οἱ ποιηταί· τοὺς γὰρ πλάνητάς ποτε μὲν ἄστρα ποτὲ δὲ ἀστέρας ὀνομάζουσιν· ὡσαύτως δὲ καὶ τὸν Σείριον ἀστέρα ὄντα ἄστρον ὀνομάζουσιν (Alcaeus fr 39). σαφὲς δὲ ποιήσει Πίνδαρος ἄστρον τὸν ἥλιον καλῶν διὰ τούτων (Ol I 3—6)· 'εἰ δ' ἄεθλα γαρύειν Ἔλδεαι, φίλον ἦτορ, Μηκέτ' ἀελίου σκόπει Ἄλλο θαλπνότερον ἐν ἁμέραι φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος.' μήποτ' οὖν πρὸς τοὺς ἀπλανεῖς ⟨διὰ τὴν⟩ τοῦ φωτὸς αὐτῶν ὑπεροχὴν ἄστρα αὐτοὺς καλοῦσιν. Eudoxus? cf c. 14

22. Περὶ κύκλων καὶ ὅτι ια'.

‖ Κύκλοι δέ εἰσιν ια', ἔξωθεν μὲν τῆς σφαίρας δύο μέγιστοι, ὅ τε ὁρίζων καὶ ὁ μεσημβρινός, λοξοὶ δὲ δύο μέγιστοι καὶ τοῖς προτέροις ἴσοι, ὁ ζωιδιακὸς καὶ ὁ γαλαξίας, κόλουροι δὲ δύο καὶ αὐτοὶ μέγιστοι, παράλληλοι δὲ πέντε, ὧν ὁ μέσος κατὰ μέγεθος ἴσος τοῖς προειρημένοις. ὥσθ' ὅ τε ὁρίζων καὶ ὁ μεσημβρινὸς ἴσοι εἰσί, διότι διὰ τοῦ κέντρου τέμνουσι τὴν σφαῖραν. Ach?

‖ ῥητέον δὲ περὶ ἑκάστου. λέγεται δὲ ὁρίζων, διότι ὁρίζει τὸ ὑπὸ γῆν καὶ ὑπὲρ γῆν ἡμισφαίριον· περὶ γὰρ τὴν σφαῖραν ἔξωθεν ὧν τάξιν ἔχει τοῦ Ὠκεανοῦ, ὃς ἔξωθεν περικλύζει τὴν γῆν, ἀφ' οὗ ἀνατέλλειν καὶ εἰς ὃν δύνειν δοκεῖ τὰ ἄστρα. ὅθεν καὶ Νεοπτόλεμος ὁ Παριανὸς ἐν τῆι Τριχθονίαι φησὶν (Meineke e Posidonio cf Gemin c. 4 Manil I 648 sqq.

---

4 αὐτῶν VM ‖ 11 ἰστέον δὲ ὅτι — 19 καλοῦσιν om M | post δὲ lacuna 1 vel 2 litt V | ὅτι ἐξωμάλισαν scripsi: κἔξω μαλιστ' ἄν V ‖ 12 πλανήτας πότε — πότε V ‖ 13 σίριον V | 16 γαρύειν libri Pindari: γαροῖεν V ‖ 18 supplevi ‖ 21 ἕνδεκα M ‖ 22 post μέγιστοι M primitus scripserat καὶ τοῖς προτέροις ἴσοι ὁ ζωδιακός, at ipse expunxit rubra tinctura ‖ 23 κόλλουροι M ‖ 25 ἴσως M | ὥσθ' ὅ τε scripsi: ὡς ὅτε VM; ὥστε coni Vict ‖ 30 ἀνατέλειν M ‖ 31 'Cyrillus' pro Neoptolemo Pariano Probus ad Verg Georg I 244 p. 42 K., Εὐφορίων (fr 108 p. 155 Mein) Anonymus I, cf Aratea p. 205 | Ἐριχθονίδι sive Ἐριχθονιάδι coni Meineke

Anal Al p. 357) *'τῶι πᾶσα περίρρυτος ἐνδέδεται χθών.' ὅθεν καὶ Ἄρατος Ὠκεανὸν αὐτὸν καλεῖ διά τε ἄλλων καὶ τούτων* (v. 537—9, Ecl XI 2)·

αὐτὰρ ὅ γ' Ὠκεανοῦ τόσσον παραμείβεται ὕδωρ,
ὅσσον ἀπ' Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα
Καρκίνον εἰς ἀνιόντα —.

εἰκὸς δὲ αὐτὸν ἐξ Ὁμήρου τὴν ἀφορμὴν ἔχειν λέγοντος (Il VIII 485, 6)·

ἐν δ' ἔπεσ' Ὠκεανῶι λαμπρὸν φάος ἠελίοιο
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν

καὶ (Od III 1 al) *'Ἥλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην.' φιλόσοφοι δὲ καὶ γεωμέτραι ὁρίζοντα αὐτὸν καλοῦσιν. οἶδε δὲ Ἄρατος αὐτὸν διορίζοντα τὰ δύο ἡμισφαίρια· φησὶ γάρ* (v. 61, 2, Ecl V 2)· *'ἠιχί περ — Μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἠελίοιο.'* 144 P. *τὸν δὲ ὁρίζοντα καὶ μεσημβρινὸν ἐντὸς εἶναι τῆς σφαίρας τῶν ὅλων νοητέον (οὐδὲν γὰρ τῶν ὄντων αὐτῆς ἐστιν ἐκτός), ὑπὲρ δὲ τοῦ παρακολουθῆσαι ἡμᾶς ἐκτὸς εἶναι λέγονται [εἰς τὸ ἐντὸς τῆς σφαίρας πέρας]. ὁ δὲ μεσημβρινὸς παρελήφθη, ἵνα τὰ ἀπὸ τῆς ἀνατολῆς μέχρι τῆς δύσεως δεικνύηι καὶ ἵνα μάθωμεν, ὅτι κατὰ τοῦτον γινόμενος ὁ ἥλιος καὶ τὰ λοιπὰ ἄστρα ὑπὲρ γῆς μεσουρανεῖ. καὶ ὁ χρόνος οὗτός ἐστι μεσημβρία, μεσημερία τις οὖσα. τοὺς δὲ λοξοὺς οἱ μὲν αἰσθητούς, οἱ δὲ πλείους τὸν γαλαξίαν μόνον εἶναι βούλονται, τοὺς δὲ λοιποὺς πάντας νοητούς.*

23. *Πόσον τὸ πλάτος τοῦ ζωιδιακοῦ.*

e Posidonio? cf Gemin c. 4 Manil I 668 sqq.

‖*Ὁ δὲ ζωιδιακὸς λοξὸς ὢν περιφέρειαν ἔχει μεγίστην διὰ τοῦ κέντρου τῆς σφαίρας τὴν περιγραφὴν ἔχων. πλάτος δὲ ἔχει* 968 M. *τῆς θέσεως τὸ ἀπὸ Αἰγόκερω μέχρι Καρκίνου διάστημα. τοῦτο τὸ πλάτος δηλῶσαι βουλόμενος Ἄρατός φησιν* (v. 537—9, Ecl XI 1)·

αὐτὰρ ὁ γ' Ὠκεανοῦ τόσσον παραμείβεται ὕδωρ,
ὅσσον ἀπ' Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα
Καρκίνον εἰς ἀνιόντα —.

δοκοῦσι δὲ δι' αὐτοῦ φέρεσθαι οἱ ἑπτὰ πλάνητες ἐπὶ τριῶν γραμμῶν. δείκνυται δὲ ἐπὶ τῆς σφαίρας, ἵνα νοῶμεν τὸ πλά-

---

1 ὧι Probus ‖ 2 *τούτων καὶ ἄλλων* VM: traieci ‖ 6 *εἰσανιόντα* M ‖ 11 *καὶ* om M ‖ 12 *καὶ* post *δὲ* alt M ‖ 13 *ὁρίζοντα* M ‖ 14 *ἀνατολαὶ* V ‖ 16—18 *ὑπὲρ — πέρας* om M ‖ 24 *ζωδιακοῦ*, et ita semper in hoc capite VM ‖ 27 *αἰγοκέρωτος* M ‖ 32 *εἰσανιόντα* M

τος τῆς πορείας τῶν πλανήτων καὶ ἡλίου καὶ σελήνης, ἐπειδὴ οἱ πέντε μὴ ἐπὶ μιᾶς γραμμῆς ποιοῦνται τὴν περιφοράν. τί οὖν δήποτε οὐ δύο κύκλοι ἀλλὰ τρεῖς ἐσημειώσαντο ἐπὶ τῆς περιφορᾶς τὸν ζωιδιακὸν κύκλον; διότι οἱ προειρημένοι πέντε ἀστέρες τὸ μεταξὺ τῶν δύο κύκλων πλάτος περιφέρονται, ὁ δὲ ἥλιος οὐ τοσοῦτον παραβαίνει ἐπὶ τὰ δεξιὰ καὶ εὐώνυμα, ὅσον οἱ πέντε, ἀλλὰ τῶν τριῶν τούτων κύκλων τῶν τὸ πλάτος τοῦ ζωιδιακοῦ δεικνύντων ἡμῖν κατὰ τὸν μέσον ὁ ἥλιος φέρεται. διὸ καὶ ἡλιακὸς ὑπὸ τῶν ταῦτα δεινῶν προσηγόρευνται καὶ ἐκλειπτικός, ἐπειδὴ ἐν αὐτῶι αἱ ἡλιακαὶ ἐκλείψεις γίνονται. τὸν δὲ προειρημένον πλατὺν κύκλον ζωιδιακὸν καλοῦμεν ἀπὸ τῶν ἐν αὐτῶι ιβ' ζωιδίων, ἃ ἐστι Κριὸς Ταῦρος Δίδυμοι Καρκίνος
145 P. Λέων Παρθένος Ζυγὸς Σκορπίος Τοξότης Αἰγόκερως Ὑδροχόος Ἰχθύες. καλεῖται δὲ καὶ εἴδωλα, ὡς καὶ Ἄρατος (v. 455, Ecl VIII 2) 'ἔμπαλιν εἰδώλοις δυοκαίδεκα δινεύονται.'

‖ ἄξιον δὲ ζητῆσαι, τί δήποτε τῆς Κασσιεπείας καὶ Ἀνδρο- Ign
μέδας καὶ τῶν ἄλλων εἰδώλων ἐξ ἀστέρων συγκειμένων τὰ ιβ' μόνον ζώιδια, τὰ δὲ λοιπὰ ἄστρα καλεῖται. μήποτε οὖν ἀπὸ τῶν πλεοναζόντων ἐν τῶι κύκλωι ζώιων ζῶια λέγεται (ἔστι γὰρ ἐν τοῖς λοιποῖς ἄστροις, ἃ μή ἐστι ζώιδια, τουτέστι ζώιων εἴδωλα), ἢ πάλιν, ὅτι οἱ γενεσιαλόγοι τὰς γενέσεις τῶν ἀνθρώπων καὶ περὶ ζωῆς καὶ θανάτου πρὸς ταῦτα σκοποῦσι καὶ τοὺς περὶ αὐτὰ τὰ ζώιδια πλάνητας ἀστέρας, ἢ ὅτι περὶ τὸν κύκλον καὶ περὶ αὐτὰ οἱ ἑπτὰ πλάνητες περιφέρονται καὶ οὐχ ὑπερβάλλονται τὸν ζωιδιακὸν κύκλον; ζῶια δέ εἰσιν οἱ ἑπτὰ πλάνητες τῶι αὐτοκίνητοι εἶναι. ἐπειδὴ δι' αὐτοῦ φέρονται οἱ ἑπτά, πλάνητες, παρὰ τὴν ἄλην καὶ πλάνην. ἔστιν ὅτε τοῦτον τὸν κύκλον ἄλησιν ὀνομάζουσιν ἡλίου, ὡς καὶ Ἄρατος (v. 319, 20, Ecl VII 3)·

καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
μεσσηγὺς κέχυται.

ἔχει δὲ οὗτος ὁ κύκλος μέγεθος μέγιστον, ἀεὶ δὲ τὸ ἥμισυ ὑπὸ γῆν ἔχει. διὸ καὶ ἐξ ὑπὲρ γῆν ἀεὶ ἐν ἡμέραι ἐστὶ καὶ ἐξ ὑπὸ γῆν ἐν νυκτί. ἐπισημαίνεται δὲ τοῦτο Ἄρατος λέγων

---

12 δυοκαίδεκα M ‖ 19 ζ. ζώιδια coni Pet ‖ 20 τουτέστι om M ‖ 22, 3 τοὺς περὶ αὐτὰ διερχομένους πλανήτας ἢ ὅτι M ‖ 24, 5 ὑπερβάλλουσι M ‖ 25 εἰσι καὶ οὗτοι οἱ M ‖ 26, 7 εἶναι· πλάνητες δὲ καλοῦνται παρὰ τ. ἄ. τὴν πλ. M ‖ 27 ἔστι δ' ὅτε M ‖ 27, 8 κ. καὶ ἄλ. M ‖ 30 cf variam lectionem versus 319 in c. 10 ‖ 33 ζώδια post ἐστὶ M ‖ 34 καὶ post τοῦτο M

(v. 555, Ecl VII 3) '*ἓξ αἰεὶ δύνουσι δυωδεκάδες κύκλοιο·*' *δυωδεκάδας γὰρ εἶπε τὰ δωδεκατημόρια τῶν ζωιδίων. μηδεὶς δὲ νῦν ὑποκρουέτω λέγων 'εἰ καθ' ἑκάστην ἡμέραν ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἴσα γίνεται ζώιδια, πῶς οὐκ ἴσαι εἰσὶν αἱ ἡμέραι ἀλλήλαις ἀεί'; ἐροῦμεν γὰρ περὶ τούτου, ὅταν περὶ ἀνατολῆς ἑκάστου ζωιδίου λέγωμεν* (c. 39).

Ign ‖ *τούτου τοῦ κύκλου τοῦ ζωιδιακοῦ τὸ μὲν βορειότερον μέρος* 969 M.
ἐφάπτεται τοῦ θερινοῦ τροπικοῦ κατὰ Καρκίνον, τὸ δὲ νοτιώτερον τοῦ χειμερινοῦ τροπικοῦ κατὰ Αἰγόκερω, τοῦ δὲ μεσαιτάτου τοῦ ἰσημερινοῦ κατὰ δύο μέρη καὶ δύο ζώιδια, κατά τε Κριὸν καὶ τὰς Χηλάς. καὶ δὴ τέμνει τὸν ἰσημερινὸν καὶ τέμνεται ὑπ' αὐτοῦ. ὅτε τοίνυν ἐπὶ τὰ βορειότερα ἀπὸ τῶν νοτιωτέρων ὑψοῦται ὁ ἥλιος, μέχρι Καρκίνου γίνεται (διὸ καὶ 146 P.
θερμὸς ἡμῖν ὑποπίπτει ἅτε πλησίον ἡμῶν ὤν) καὶ ἐπέκεινα Καρκίνου οὐχ ὑψοῦται ἀλλὰ προσιὼν τρέπεται ἐπὶ τὰ νότια, καὶ καλεῖται θερινὴ τροπὴ τὸ ἐν τῶι Καρκίνωι ὕψος τοῦ ἡλίου. βούλονται δὲ τροπὴν αὐτὸν ποιεῖσθαι οἱ μὲν περὶ τὰς ἀρχάς, οἱ δὲ περὶ ὀγδόην μοῖραν, οἱ δὲ περὶ δωδεκάτην, οἱ δὲ περὶ πεντεκαιδεκάτην τοῦ Καρκίνου. κατιὼν δὲ ἐπὶ τὰ νότια ὁ ἥλιος, ἐπὰν κατὰ τοῦ ἰσημερινοῦ γένηται, τότε ἰσημερίαν ποιεῖ. ποιεῖ δὲ τοῦτο δὶς τοῦ ἐνιαυτοῦ, ἐπειδὴ καὶ δὶς ἐφάπτεται τοῦ ἰσημερινοῦ. καὶ ἡ μέν ἐστιν ἐαρινή, ἡ δὲ μετοπωρινὴ ἰσημερία, ἐαρινὴ μὲν ἐν Κριῶι, ὅτε ἐφάπτεται τοῦ ἰσημερινοῦ κύκλου, μετοπωρινὴ δέ, ὅτε γίνεται ἐν Χηλαῖς πάλιν ἐφαπτόμενος τοῦ ἰσημερινοῦ. ἀπὸ δὲ Χηλῶν κάτεισι νοτιώτερος ἕως Αἰγόκερω. τότε δὲ ἐφάπτεται ὁ ζωιδιακὸς τοῦ χειμερινοῦ τροπικοῦ, καὶ ὁ ἥλιος πάλιν ἀπὸ τῶν ταπεινῶν ἐπὶ τὰ ὑψηλότερα τρέπεται, καὶ καλεῖται τροπὴ ἡλίου ἡ ἀπὸ ταπεινοτέρου ἐπὶ τὸ ὑψηλότερον πορεία. ποτὲ δὲ Αἰγύπτιοι ἀπὸ Καρκίνου ἐπὶ Αἰγόκερω τὸν ἥλιον κατιόντα ὁρῶντες καὶ ἐκ μακροτέρων σμικρύνοντα τὰς ἡμέρας ἐπένθουν, εὐλαβούμενοι μὴ κατὰ βραχὺ καταλίπηι αὐτοὺς ὁ ἥλιος. καὶ ἔστιν ὁ καιρὸς οὗτος τῶν καλουμένων παρ' αὐ-

---

2 δ. ζώδια V ‖ 3 νῦν ὑπονοείτω M ‖ 5 περὶ τούτου post γὰρ om V ‖ 8 κατὰ τὸν Κ. M ‖ 8, 9 νοτ. κατὰ τὸ χειμερινὸν τροπικὸν V ‖ 9 κατὰ τὸν αἰγοκέρωτα M ‖ 9, 10 τὸ δὲ μεσαίτατον κατὰ τοῦ ἰ. V ‖ 11 Χ. τέμνη δὴ τ. M ‖ 12 ἐπὶ τὰ β. post νοτ. M ‖ 14 ἐπιπίπτει M | ὧν ἐπέκεινα δὲ M ‖ 15 ἐνταῦθα post πρ. M ‖ 18 δωδεκάτην M: ιβ' V ‖ 19 πεντεκαιδεκάτην M: ιε' V ‖ 22 ἐστιν V: καλεῖται M ‖ 25 αἰγοκέρωτος M ‖ 27 τῶν om V ‖ 29 αἰγύπτιοί ποτε δὲ M | αἰγοκέρωτα M ‖ 30 sqq. in margine ζ^{η} M ‖ 32 ὁ post οὗτος V: om M | ὁ παρ' αὐτοῖς τῶν καλουμένων Ἰ. V

τοῖς Ἰσίων. ἐπεὶ δὲ πάλιν ἀναβαίνειν ἤρξατο καὶ μακροτέρας ποιεῖν τὰς ἡμέρας, τηνικαῦτα λευχειμονήσαντες ἐστεφανηφόρησαν. οὗτος ὁ κύκλος εἰ διαιρεθείη εἰς ὀκτὼ μέρη, τέσσαρα μὲν ἕξει ὑπὲρ γῆν, τὰ δὲ ἕτερα τέσσαρα ὑπὸ γῆν. ὥστε ἴσον ἔχει ὑπὸ γῆν καὶ ἴσον ὑπὲρ γῆν. τέμνει δὲ τὸν ἰσημερινὸν καὶ τέμνεται ὑπ' αὐτοῦ.

24. Περὶ τοῦ γαλαξίου.

Ὁ δὲ γαλαξίας εἴρηται μὲν (c. 22) ὡς ἐστιν ὁρατὸς καὶ μόνος ἐπὶ τῆς σφαίρας αἰσθητός, τῶν ἄλλων ὄντων νοητῶν. περὶ δὲ τούτου φησὶν Ἐρατοσθένης ἐν τῶι Καταμερισμῶι μυθικώτερον τὸν γαλαξίαν κύκλον γεγονέναι ἐκ τοῦ τῆς Ἥρας γάλακτος· τοῦ γὰρ Ἡρακλέους ἔτι βρέφους ὄντος [καὶ] τὸν μαστὸν τῆς Ἥρας ἐπισπασαμένου σφοδρότερον ἐκείνην ἀντισπάσαι, καὶ οὕτω περιχυθέντος τοῦ γάλακτος κύκλον γενέσθαι παγέντος. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ Ἑρμοῦ λέγει γεγενῆσθαι Ἐρατοσθένης (Mercurii fr II p. 6 Hill), ὡς ἄρα ὁ Ἑρμῆς τοῦ μαστοῦ τῆς Ἥρας ἐπεσπάσατο. ἄλλοι δὲ ἐκ τῆς συμβολῆς τῶν δύο ἡμισφαιρίων λέγουσιν αὐτὸν γεγονέναι. ἕτεροι δέ φασιν, ὧν ἐστι καὶ Οἰνοπίδης ὁ Χῖος, ὅτι πρότερον διὰ τούτου ἐφέρετο ὁ ἥλιος, διὰ δὲ τὰ Θυέστεια δεῖπνα ἀπεστράφη καὶ τὴν ἐναντίαν τούτωι πεποίηται περιφοράν, ἣν νῦν περιγράφει ὁ ζωιδιακός. ἔστι δὲ μυθῶδες τοῦτο καὶ ψεῦδος· τί γὰρ ἐροῦσιν οἱ ταῦτα λέγοντες περὶ τῆς σελήνης καὶ τῶν πέντε ἀστέρων; οὐ γὰρ δὴ καὶ οὗτοι διὰ τὰ Θυέστεια δεῖπνα ἀπεστράφησαν. ἄλλοι δὲ (Democritus) ἐκ μικρῶν πάνυ καὶ πεπυκνωμένων καὶ ἡμῖν δοκούντων ἡνῶσθαι διὰ τὸ διάστημα τὸ ἀπὸ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν ἀστέρων αὐτὸν εἶναί φασιν, ὡς εἴ τις ἁλάσι λεπτοῖς καὶ πολλοῖς καταπάσειέ τι. μήποτε μέντοι ἄμεινον αὐτὸν λέγειν ἐκ νεφῶν ἢ πίλημά τι ἀέρος διαυγὲς εἶναι κύκλου σχῆμα ἔχον. μέμνηται δὲ αὐτοῦ ὁ Ἄρατος δι' ὧν φησιν (v. 476, Ecl IX)· 'κεῖνο περίγληνον τροχαλόν, Γάλα μιν καλέουσι'· Γάλα γὰρ αὐτὸν ὠνόμασε διὰ τὸ

Eudorus e Posidonianis p. 229 D. et Diels Mus rhen 1881 p. 487 sqq., cf Philo 'De providentia' e versione Aucheri p. 101 (Eratosth carm rel p. 47 Hill)

28, 29 Posidonius p. 366 a 1 D. (ex Aristotelis Meteor p. 345 b 31)

---

1 δὲ om V ‖ 5 γ. καὶ τὸ ἴ. V ‖ 7 τοῦ om M | γαλαξία manus recens in Monacensi 89 p. 34 (cf p. 47, 1) ‖ 9 ταῖς σφαίραις V ‖ 10 Καταστερισμῶι coni Koppiers Hiller (Eratosthenis carminum reliquiae p. 6 sq.) alii, ἐν τῶι Ἑρμῆι Diels (ut videtur, p. 230), dubitabat Bernhardy (Eratosthenica p. 164): at cf 'Orpheus' p. 134 'Aratea' p. 381 An II ‖ 14 ἱστορία in margine M ‖ 16, 7 ἐσπάσατο M ‖ 17 λέγουσι V ‖ 18 οἰνωπίδης VM ‖ 19 κατὰ τ. VM ‖ 20 θυέστια VM ‖ 24 θυέστια V ‖ 26 αὐτῶν V ‖ 27 ἁλσὶ M | λ. τε καὶ M ‖ 29 ὁ V: καὶ M ‖ 30 περὶ γλῆνον V

μὴ δύνασθαι αὐτὸ ἐντεθῆναι εἰς ἔπος τοῦ γαλαξίου τὸ ὄνομα. λέγεται δὲ ἀπὸ τῆς χροιᾶς τοῦ γάλακτος οὕτω· λευκὸς γὰρ καὶ διαυγὴς φαίνεται. τέμνει δὲ δίχα τὴν σφαῖραν καὶ τὸν ζωιδιακὸν κύκλον καὶ ἰσημερινὸν καὶ τέμνεται ὑπ' αὐτῶν ἴσος αὐτοῖς ὤν.

25. Περὶ τῶν πέντε παραλλήλων.

e Posidonio cf Gemin c. 4 Manil I 564 sqq.

‖ Οἱ δὲ παράλληλοί εἰσι πέντε. 1. ἀρκτικός, ὃς ἐστι βορειότερος, ἐντὸς ἔχων τὰς Ἄρκτους καὶ τὸν Δράκοντα, καὶ ὁ τούτωι ἀντικείμενος νότιος ἀνταρκτικὸς καὶ θερινὸς τροπικὸς μετὰ τὸν ἀρκτικὸν καὶ χειμερινὸς τροπικὸς μετὰ τὸν ἀνταρκτικόν, μέσος δὲ τούτων πέμπτος ὁ ἰσημερινὸς τοσοῦτον ἀπέχων τοῦ θερινοῦ τροπικοῦ, ὅσον τοῦ χειμερινοῦ. ἔστι δὲ ὁ ἀρκτικὸς τῶν ἐλαχίστων καὶ περὶ τὸν βόρειον πόλον ἐντὸς ἔχων μεσαίτατον τὸν πόλον ὡσπερεὶ κέντρον αὐτοῦ, καλεῖται δὲ ἀρκτικὸς ἀπὸ τοῦ ἐντὸς ἔχειν τὰς Ἄρκτους καὶ βόρειος διὰ τὸ πρὸς βορρᾶν εἶναι ἀεί, φανερὸς δὲ διὰ τὸ ἀεὶ φαίνεσθαι καὶ μὴ δύνειν. 2. ὁ δὲ τούτωι ἀντικείμενος νότιος κατὰ τὴν θέσιν ἴσος μέν ἐστιν αὐτῶι, περιέχει δὲ τὸν νότιον πόλον. λέγεται δὲ ἀνταρκτικὸς ἤτοι ἀπὸ τοῦ ἐναντίος κεῖσθαι τῶι ἀρκτικῶι (ὁ μὲν γὰρ ἀρκτικὸς κατὰ βορρᾶν, οὗτος δὲ κατὰ νότον ἐστί, καὶ ὁ μὲν ἀρκτικὸς κατὰ τὴν σφαῖραν ὑψηλότατός ἐστιν, ὃ δὲ ταπεινότατος. διὸ ὁ μὲν ἀρκτικὸς ἀειφανής ἐστιν, οὗτος δὲ οὐ φαίνεται ἡμῖν) ἢ ὅτι ἴσος ἐστὶ τῶι ἀρκτικῶι, τῆς ἀντὶ προθέσεως τὸ ἴσον σημαινούσης ὡς ἐν τῶι 'ἀντίθεον Θεράποντα' (Il XI 322 al). καλεῖται δὲ ἀνταρκτικὸς καὶ νότιος· ἔστι δὲ ἀεὶ ἀφανής. 3. ὁ δὲ θερινὸς τροπικὸς κεῖται μεταξὺ τοῦ ἀρκτικοῦ καὶ τοῦ ἰσημερινοῦ. ἔχει δὲ ἐν ἑαυτῶι τὰς θερινὰς τροπὰς τοῦ ἡλίου· ὅτε γὰρ ὁ ἥλιος ἐν τῶι Καρκίνωι γένηται, ἐφαψάμενος αὐτοῦ τὴν θερινὴν ποιεῖ τροπήν. διὸ καὶ θερινὸς τροπικὸς κέκληται. ἔστι δὲ τοῦ μὲν ἀρκτικοῦ μείζων, τοῦ δὲ ἰσημερινοῦ βραχύτερος. εἰ δέ τις αὐτὸν διέλοι εἰς ὀκτὼ μέρη κατὰ τὸν Ἄρατον (v. 497), ἔσται μὲν αὐτοῦ πέντε μὲν ὑπὲρ γῆν, τρία δὲ ὑπὸ γῆν. φησὶ δὲ περὶ αὐτοῦ οὕτως Ἄρατος (v. 498, 9, Ecl X)

πέντε μὲν ἔνδια στρέφεται καθ' ὑπέρτερα γαίης,
τὰ τρία δ' ἐν περάτηι· θέρεος δέ οἱ ἐν τροπαὶ εἰσιν

148 P.

---

6 ε' M ‖ 9 ὁ post ν. M | post ἀνταρκτ. M καλούμενος ὁ: om V | καὶ ante θ. om M ‖ 10 κ. ὁ χ. M ‖ 13 τὸν alt om V ‖ 15 βορέαν M ‖ 16 ἐστι post δὲ prius M (unde ἔτι coni Pet) ‖ 19 ἤτοι om M ‖ 20 βορέαν M ‖ 25 ἀρκτικὸς V | ἔστι δὲ om V ‖ 28 ποιεῖ om V ‖ 34 καὶ ὑ. V ‖ 35 τὰ om V | ἀντροπαὶ M

ἀπὸ τῶν ὀκτὼ μερῶν δηλῶν τὰ πέντε ὑπὲρ γῆν ἔχειν, τὰ δὲ τρία ὑπὸ γῆν. κατὰ ταύτην τὴν θέσιν τῆς σφαίρας, ἥτις κατὰ τὸ κλίμα τοῦ Ἑλλησπόντου καὶ τῆς Μακεδονίας ἐστὶ καὶ τῆς Ἑλλάδος, ἡλίου γινομένου ἐπὶ τοῦ θερινοῦ τροπικοῦ ἡ μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ιε΄, ἡ δὲ ἐλαχίστη ὡρῶν θ΄ πανταχοῦ τοῦ
973 M. ἡμερονυκτίου κδ΄ ὡρῶν ὄντος. εἰ ὑποστησόμεθα οὖν ἐν ταῖς θεριναῖς τροπαῖς, ὥσπερ εἴπομεν (l. 5), ιε΄ ὡρῶν τὴν μεγίστην ἡμέραν εἶναι, ἀκόλουθόν ἐστι τότε βραχυτάτην καὶ ἐννέωρον εἶναι τὴν νύκτα. τοῦτο δὲ δῆλον ἔκ τε ἄλλων καὶ ἐξ ὧν Ἄρατός φησιν· εἰ γὰρ τὸ ἡμερονύκτιόν ἐστιν εἰκοσιτεσσάρων ὡρῶν, εἰς ἡ΄ δὲ μέρη τὸν θερινὸν τροπικὸν τέμνεσθαι δεῖ, ἕκαστον δὲ τμῆμα ὡρῶν εἶναι γ΄, τρὶς δὲ τὰ ἡ΄ κδ΄ — εἰ τοίνυν ἀπὸ τῶν ὀκτὼ τούτων μερῶν πέντε ἐστὶν ὑπὲρ γῆν, ἕκαστον δὲ τρισὶν ὥραις περιδινεῖται, τρὶς δὲ τὰ πέντε γίνεται ιε΄, πεντεκαίδεκα ὡρῶν γίνεται ἡ περιφορά. εἰ δὲ ὑπὸ γῆν τρία μέρη ἐστὶ τότε, ἕκαστον δὲ τῶν τριῶν τρισὶν ὥραις περιδινεῖται, τρὶς δὲ τὰ τρία ἐννέα ἐστί, δῆλον ὅτι ἔσται ἡ νὺξ ὡρῶν θ΄, ἥτις ἐλαχίστη ἐστὶν ἐν τούτῳ τῷ κλίματι.

4. ὁ δὲ χειμερινὸς τροπικὸς κεῖται μεταξὺ τοῦ ἀνταρκτικοῦ καὶ τοῦ ἰσημερινοῦ ἐναντίος τῷι θερινῷι τροπικῷι ἴσος αὐτῷι
149 P. ὑπάρχων. ἐφάπτεται δὲ αὐτοῦ ὁ ζωιδιακὸς κύκλος κατὰ Αἰγόκερω, καθ' ὃν γενόμενος ὁ ἥλιος ποιεῖται χειμερινὰς τροπάς· ἐκεῖ γὰρ γενόμενος παυσάμενος τῆς καθόδου πάλιν ἀνωτέρω ἄνεισιν. διὸ καὶ τροπὴ αὐτοῦ λέγεται ἡ ἀπὸ Αἰγόκερω ἐπὶ Καρκίνον ἄνοδος. χειμερινὸς δὲ ἐκλήθη, ὅτι ἐν αὐτῷι γενόμενος ὁ ἥλιος ἐν Αἰγόκερωι χειμῶνα ποιεῖ ἀκρότατον. ἴσος δὲ ὢν οὗτος ὁ χειμερινὸς τροπικὸς τῷι θερινῷι τροπικῷι ἐτμήθη εἰς μέρη ἡ΄ καθάπερ ἐκεῖνος. τοὐναντίον οὖν ἐκείνωι ἔξει ἀπὸ τῶν ἡ΄ μερῶν πέντε μὲν ὑπὸ γῆν, τρία δὲ ὑπὲρ γῆν, ὡς γίνεσθαι τὴν ἡμέραν τότε ἐλαχίστην, ὅτε ἐν Αἰγόκερωι γενόμενος

---

1 *δηλῶν* om V | *γῆς* M | *ἔχει* V ‖ 4 *τοῦ ἡλ.* M | *ἔνθα ἡλ.* post *Ἑλλ.* V | *γένομένου* (videtur velle *γίνομένου*) M, *γενομένου* V | *ἐπὶ* om V ‖ 6 *οὖν* om V ‖ 8 *ἀκολουθεῖν* V | *βραχυτάτην τότε* M | *ἐννέα ὡρῶν* Dieterich (unde *ἐννέωρον* scripsi): *ἐν μετέωρον* V: om M ‖ 9 *νομίζειν* ante *εἶναι* M ‖ 11 *ὀκτὼ* M | *δεῖ* om V | *δὲ* om V ‖ 12 *ὡρῶν* (deinde 2 litt rasura) *γ΄* V | *δὲ* om V | *ὀκτὼ* M | *κδ΄ καὶ εἰ ἀπὸ* (omisso *τοίννυ*) M ‖ 13 *γῆς* M ‖ 13, 4 *τριῶν ὡρῶν* (cf l. 17) V ‖ 14 *τρὶς δὲ* — 16 *περιδινεῖται* om V ‖ 16 *τρία τὰ τρία δὲ ἐννέα* V ‖ 17 *ἐννέα* M ‖ 20 *αὐτοῦ* VM ‖ 21 *δὲ* om V | *κ. τὸν αἰγοκέρωτα* M ‖ 22 *κ. ὅ* V | *ποιεῖ τὰς χ.* M | *τροπάς* om V ‖ 24 *αἰγόκερωτος* M ‖ 26 *αἰγοκέρωτι* M ‖ 28 *ὀκτὼ* M | *ὥσπερ ἐκ.* M | *οὖν* om V ‖ 29 *ὀκτὼ* M | *ὑπὸ* V² M: *ὑπὲρ* V | *ὑπὲρ* V² M: *ὑπὸ* V | *γῆς* M ‖ 30 *αἰγοκέρωτι* M

ὁ ἥλιος ἐφάπτεται τοῦ χειμερινοῦ τροπικοῦ· γενέσθαι γὰρ τὴν ἡμέραν ὡρῶν ϑ′, τὴν δὲ νύκτα ὡρῶν ιε′ κατὰ τὸν αὐτὸν λόγον τῶι ϑερινῶι τροπικῶι ⟨δῆλον⟩.

5. ὁ δὲ ἰσημερινὸς μεταξὺ τῶν πέντε παραλλήλων κείμενος μείζων ἐστὶ τῶν ἄλλων τεσσάρων, ἐπειδὴ διὰ τοῦ κέντρου τὴν περιφέρειαν ἔχει. ποιεῖ δὲ ἐν αὐτῶι ὁ ἥλιος τὰς προειρημένας δύο ἰσημερίας, ἐαρινὴν μὲν ἐν Κριῶι γενόμενος, μετοπωρινὴν δὲ ἐν Χηλαῖς. ἰσημερινὸς δὲ λέγεται, ἐπειδὴ ἐν αὐτῶι τὰς ἰσημερίας ποιεῖ ὁ ἥλιος. τμηθεὶς δὲ εἰς η′ τέσσαρα μὲν ὑπὲρ γῆν, τέσσαρα δὲ ὑπὸ γῆν ἕξει μέρη. καὶ ἔστιν ἴσος τῶι ζωιδιακῶι καὶ τῶι γαλαξίαι.

6. ἴσως δ' ἄν τις ζητήσειε, πῶς ἔφαμεν ἐν ϑεριναῖς τροπαῖς γενόμενον τὸν ἥλιον ιε′ ὡρῶν τὴν ἡμέραν ποιεῖν, ἐν δὲ χειμεριναῖς ϑ′, ὁπότε ἐν τοῖς μηχανικοῖς ὡρολογίοις καὶ ὑδρολογίοις ἀεὶ ἡ ἡμέρα ιβ′ ὡρῶν φαίνεται. λέγομεν οὖν, ὅτι, ὥσπερ πᾶς ἄνθρωπος πέντε δακτύλων ἔχει τὴν χεῖρα, παῖς τε καὶ ἀνήρ, οὐ μὴν ἴσων, ἀναλόγως καὶ ἐπὶ τῶν ἡμερῶν καὶ τῶν νυκτῶν πρὸς τὸ μέγεθος καὶ τὴν ταχυτῆτα ἔχειν φαμὲν τὰς ὥρας, καὶ μεγάλων μὲν μεγάλας, σμικρῶν δὲ σμικράς. πρὸς οὖν τὰς χειμερινὰς ἡμέρας αἱ ϑεριναὶ μεγάλαι οὖσαι ιε′ ὥρας ἰσημερινῆς ἡμέρας διάστημα ἔχουσαι εἰς ιβ′ ἀναλόγως διηιρέϑησαν. τὸ δὲ αὐτὸ καὶ ἐπὶ νυκτῶν μεγάλων καὶ μικρῶν καὶ ἡμερῶν ⟨μεγάλων καὶ⟩ μικρῶν σκόπει.

7. παράλληλοι δὲ ἐκλήϑησαν οἱ ε′ κύκλοι ἀπὸ τῶν παρὰ τοῖς γεωμέτραις παραλλήλων γραμμῶν. παράλληλοι δὲ γραμμαὶ λέγονται παρ' αὐτοῖς αἱ ἐν τῶι αὐτῶι ἐπιπέδωι οὖσαι καὶ μὴ συμπίπτουσαι ἐπὶ μηδέτερα μέρη. σαφηνείας δὲ ἕνεκα ἐκ τοῦ παρακολουϑοῦντος εἴπωμεν. φαμὲν οὖν, ὅτι παράλληλοί εἰσιν οἱ κύκλοι μεταξὺ ἀλλήλων ἀπὸ περιφερείας ἐπὶ περιφέρειαν τὸ ἴσον μὲν πλάτος ἔχοντες πανταχόϑεν, οὐ μέντοι ἴσον καὶ τὸ πλάτος τὸ μεταξὺ αὐτῶν. 976 M. 160 P.

1, 2 τροπικοῦ ἤτοι ὡρῶν ϑ′ (omissis γεν. γ. τ. ἡ.) M ‖ 2 ε καὶ δέκα V ‖ 6 ποιεῖται δὲ V ut Gemin ‖ 9 ποιεῖται V | ὀκτὼ M ‖ 10 γῆς τ. M ‖ 12 ἐν μὲν M ‖ 14 ὡρολογείοις M | ὑδρολογείος M ‖ 15 ιβ′ ὡρῶν φ. om V ‖ 17 ἴσους VM | ἐπὶ om V ‖ 18 φαμὲν om V | καὶ om M ‖ 20—26 μεγάλαι εἰσί· πρὸς δὲ τὰς νύκτας αἱ νύκτες ἐλάχισται· τὸ αὐτὸ γὰρ ἔχουσιν αἱ ἡμέραι ἐνταῦϑα, ὅπερ αἱ νύκτες ἐκεῖ, καὶ ἀνάπαλιν, ὅπερ ἐνταῦϑα αἱ νύκτες ἔχουσι, τοῦτο αἱ ἡμέραι ἐκεῖ· μέγισται γὰρ καὶ σμικραὶ κατ' ἀναλογίαν εἰσὶν ἀμφότεραι. παράλληλοι δὲ γραμμαὶ λέγονται αἱ ἐν τῶι αὐτῶι κτλ. M ‖ 21 διηιρέϑη V: corr Pet ‖ 22, 3 suppl Pet

26. *Περὶ τῆς πρὸς ἀλλήλας τῶν ζωνῶν διαστάσεως.*

‖ *Ἵνα δὲ καὶ τὰ μεταξὺ τούτων διαστήματα μάθωμεν, ἔστω* e Posidonio cf Gemin l c Manil l c
τεμνομένη ἡ σφαῖρα διὰ τοῦ κέντρου αὐτῆς, ὥστε εἰς δίχα τέμνεσθαι τοὺς παραλλήλους, καθάπερ ὑπὸ τῶν κολούρων τέμνονται, καὶ ἔστω ὁ κύκλος οὗτος μοιρῶν ξ΄. ἕκαστον οὖν ἡμισφαίριον ἀνὰ λ΄ μοιρῶν ἕξει. ἀπὸ τοίνυν τοῦ ὁρίζοντος ἐπὶ τὸν βόρειον πόλον ἕξ μοιρῶν ἔσται διάστημα τῶν τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου λ΄ μοιρῶν· τοσοῦτον γὰρ ἀπὸ τοῦ ὁρίζοντος ἐπὶ τὸν βόρειον πόλον ἐστὶ τὸ ἔξαρμα· ἀπὸ μὲν γὰρ τοῦ βορείου πόλου ἐπὶ τὴν ἄνω περιφέρειαν τοῦ ἀρκτικοῦ κύκλου κέντρου τάξιν ἔχει ὁ βόρειος πόλος, ἀπὸ δὲ τοῦ μέσου κέντρου παντὸς τοῦ κύκλου αἱ ἐκβαλλόμεναι εὐθεῖαι εἰς τὴν περιφέρειαν πᾶσαι ἴσαι ἀλλήλαις εἰσίν. τὸ δὲ ἀπὸ τοῦ ἀρκτικοῦ κύκλου διάστημα ἐπὶ τὸν θερινὸν τροπικὸν ἔσται μοιρῶν ε΄, τὸ δὲ ἀπὸ τοῦ θερινοῦ τροπικοῦ ἐπὶ τὸν ἰσημερινὸν ἔσται μοιρῶν δ΄, τὸ δὲ ἀπὸ τοῦ ἰσημερινοῦ μέχρι τοῦ χειμερινοῦ τροπικοῦ ἔσται τῶν ἴσων τεσσάρων, τὸ δὲ ἀπὸ τοῦ χειμερινοῦ τροπικοῦ μέχρι τοῦ ὁρίζοντος μοιρῶν ε΄. ἀπὸ δὲ τοῦ ὁρίζοντος ἐπὶ τὸν νότιον πόλον καὶ ἀεὶ ἀφανῆ μοῖραί εἰσι ς΄, ἀπὸ δὲ τοῦ αὐτοῦ νοτίου πόλου ἐπὶ τὴν κάτω περιφορὰν τοῦ ἀνταρκτικοῦ ἓξ εἰσιν. ἀπὸ δὲ τοῦ ἀνταρκτικοῦ ἐν τῷι κάτω ἡμισφαιρίωι μέχρι τοῦ ὁρίζοντος, καθὸ ἐφάπτεται ὁ ἀρκτικὸς κύκλος αὐτοῦ, ἀναλόγως τοῖς προειρημένοις ὑπὲρ γῆς καὶ αἱ λοιπαὶ ιη΄ μοῖραι εὑρεθήσονται. τινὲς δὲ τέμνοντες τὴν σφαῖραν διὰ τῶν πόλων ὥσπερ διὰ τῶν κολούρων τὰ μεταξὺ τῶν παραλλήλων διαστήματα κατὰ πλάτος οὐκ εἰς ξ΄ μοίρας τέμνουσιν, ἀλλ᾽ εἰς τξ΄, ἐπειδὴ καὶ ὁ ἐνιαυτὸς τξε΄ ἐστὶν ἡμερῶν, καί φασιν ρπ΄ εἶναι μοίρας τὸ ἥμισυ, τὸ ὑπὲρ γῆς ἡμισφαίριον, καὶ πάλιν ρπ΄ τὸ ὑπὸ γῆν. ὧν ἀπὸ τοῦ ὁρίζοντος μέχρι ⟨τοῦ⟩ βορείου πόλου [καὶ ἕως τῆς περιφερείας τοῦ ἀρκτικοῦ κύκλου τῆς ὑψηλοτέρας] εἰσὶ μοῖραι λη΄, ἀπὸ δὲ τοῦ

---

2 τούτων V: τῶν ζωδίων (i. e. τ. ζωνῶν) M ‖ 3 εἰς om M ‖ 4 κολλούρων V^2 | τέμνεται M ‖ 6 ἔσται M ‖ 7 τοῦ post γ. VM | γῆς M ‖ 9 ἐστὶν ἕξαμμα ἀπὸ τοῦ (omissis μὲν γὰρ) V ‖ 12 ἐκβαλόμεναι M ‖ 16 τοῦ ante χ. om V ‖ 17 δ΄ M ‖ 19 τοῦ αὐτοῦ νοτίου πόλου M: τοῦ πόλου τοῦ αὐτοῦ νοτίου V ‖ 20 καὶ αἱ λοιπαὶ ιη΄ μοῖραι traieci post γῆς l. 23 et ἓξ εἰσιν scripsi (praeeunte Pet qui μοῖραί εἰσιν ἓξ): ἀντ. καὶ (om M) αἱ λοιπαὶ ἑξῆς ιη΄ μοῖραι ἀπὸ VM | δὲ om V ‖ 21 ἐπὶ τῶι κ. M ‖ 25 κολλούρων M ‖ 28 τὸ — ἡμισφαίριον scripsi: τοῦ — ἡμισφαιρίου V, ἤτοι τὸ — ἡμισφαίριον M | τὸ M: τοῦ V | ἐξ ante ὧν M ‖ 29 μὲν ante τοῦ M | καὶ M, ἕως V

βορείου ἐπὶ τὸν ἀρκτικὸν μοῖραι ἄλλαι λή, ἀπὸ δὲ τοῦ ἀρκτικοῦ μέχρι τοῦ θερινοῦ τροπικοῦ μοῖραι εἰσι κδ΄, ἀπὸ δὲ τοῦ θερινοῦ τροπικοῦ μέχρι τοῦ ἰσημερινοῦ μοῖραι κδ΄, ἀπὸ δὲ τοῦ ἰσημερινοῦ ἕως τοῦ χειμερινοῦ τροπικοῦ μοῖραι κδ΄, ἀπὸ δὲ τοῦ χειμερινοῦ ἕως τοῦ ἀνταρκτικοῦ, τοῦ ἐφαπτομένου τοῦ ὁρίζοντος, ἄλλαι εἰσὶ μοῖραι λβ΄. αὗται δὲ ἐπὶ τὸ αὐτὸ γινόμεναι, 151 P.
ὡς εἴπομεν, ρπ΄. ὁμοίως δὲ καὶ ὑπὸ γῆν κατὰ τὸν αὐτὸν τρόπον ἴσαι ἄλλαι ρπ΄ μοῖραι. δύνανται δὲ οἱ παράλληλοι οὗτοι καὶ ὀρθοὶ καλεῖσθαι. παρελήφθησαν δὲ ὑπὲρ τοῦ εὐπαρακολούθητον ἡμῖν τὴν δεῖξιν γενέσθαι τῶν βορειοτέρων καὶ νοτιωτέρων καὶ ὥστε γνῶναι ἡμᾶς τὰς χειμερινὰς καὶ τὰς θερινὰς καὶ τὰς ἰσημερινὰς καὶ ἐαρινὰς καὶ μετοπωρινὰς τροπάς.

27. Περὶ κολούρων. 977 M.

e Posidonio cf Gemin c. 4 Manil I 603 sqq.

‖ Οἱ δὲ κόλουροί εἰσι μὲν δύο ἀπὸ βορρᾶ ἐπὶ νότον διὰ τῶν πόλων τέμνοντες τὴν σφαῖραν καὶ τοὺς ἐν αὐτῇ πάντας ἄλλους κύκλους. εἰσὶ δὲ μέγιστοι καὶ αὐτοὶ ὡς ἂν διὰ τοῦ κέντρου τῆς σφαίρας ἠγμένοι. τέμνουσι δέ, ἵνα τὰς δ΄ ὥρας τοῦ ἐνιαυτοῦ ἑκάστου ῥαιδίως καταλαμβάνωμεν· τεμνόντων γὰρ τούτων ἀλλήλους καὶ τὴν σφαῖραν συμβήσεται εἰς τέσσαρα τετμῆσθαι, ὥστε ἕκαστον τῶν τεσσάρων τμημάτων μίαν ὥραν τοῦ ἐνιαυτοῦ ἔχειν. καὶ ὃ μὲν αὐτῶν κατὰ Καρκίνον καὶ Αἰγόκερω ἔχει τὴν περιφέρειαν διὰ μὲν τοῦ ἑτέρου ἡμικυκλίου δεικνύων ἐν Καρκίνωι θέρος, διὰ δὲ τοῦ ἑτέρου ἐν Αἰγόκερωι χειμῶνα, ὃ δὲ κατὰ Κριὸν καὶ Χηλὰς τὴν περιφέρειαν ἔχει καὶ δηλοῖ τὰς ἄλλας δύο ὥρας τὰς ἰσημερινάς, τὴν μὲν ἐαρινὴν ἐν Κριῶι, τὴν δὲ μετοπωρινὴν ἐν Χηλαῖς. κόλουροι δὲ κέκληνται, διότι δοκοῦσιν ἡμῖν κεκολοῦσθαι ὥσπερ τὰς οὐρὰς διὰ τὸ ἡμῖν μὴ φαίνεσθαι αὐτῶν τὰ ἀπὸ ἀνταρκτικοῦ καὶ ἀεὶ ἀφανοῦς κύκλου καὶ δοκεῖν κεκολοῦσθαι αὐτοὺς κατὰ τοῦτο τὸ μέρος· συμβέβηκε γὰρ τὰ μὲν ἀπὸ τοῦ ἀειφανοῦς κύκλου, τουτέστι τοῦ ἀρκτικοῦ, μέρη φαίνεσθαι, ταῦτα δὲ τὰ μέρη τῶν κολούρων κύκλων, τὰ τοῦ ἀνταρκτικοῦ, ἀεὶ ἀφανῆ εἶναι.

---

2 μέχρις V ‖ 6 λ΄ V ‖ 7 γίνονται post ρπ΄ M ‖ 10 γενέσθαι τὴν δεῖξιν M ‖ 12 ἐ. τε V ‖ 13 κολλούρων V² (ut saepius) M ‖ 14 κόλλουροι M | βορέου M ‖ 17 τέσσαρας M ‖ 18 ἑκάστου om M ‖ 21 αἰγοκέρωτα M ‖ 22 ἑνὸς ἡ. M ‖ 23 αἰγοκέρωτι M ‖ 25 τὰς post ὥρας om V ‖ 26 κόλλουροι V² ‖ 27 κεκολοῦσθαι scripsi: κολλοῦσθαι VM ‖ 28 ἀπὸ ἀντ. V: ἐπὶ τοῦ ἀντ. μέρη M | καὶ ἀειφανεῖς κύκλους V, om M ‖ 29 κολλοῦσθαι M ‖ 29—31 post τὸ μέρος sic διὰ τὸ ἡμῖν μὴ φαίνεσθαι· τῶν γὰρ περιειλῆφθαι ἀπὸ τοῦ ἀειφανοῦς τουτέστι τοῦ ἀρκτικοῦ συμβέβηκε καὶ αὐτοὺς ταῦτα τὰ μ. V ‖ 31 δὲ om V | κολλούρων VM ‖ 31, 2 τὰ τοῦ ἀντ. om V

28. *Περὶ τοῦ ἄξονος.*

‖ *Διήκει δὲ ὁ ἄξων ἀπὸ τοῦ κέντρου τοῦ ἀρκτικοῦ κύκλου* cf Gemin c. 13 Priscian p. 66 B.
διὰ τοῦ κέντρου τῆς σφαίρας ἕως τοῦ κέντρου τοῦ ἀνταρκτικοῦ.
παρείληπται δέ, ἵνα εἰδῶμεν, ὅτι περὶ αὐτὸν καὶ τὰ ἄκρα αὐ-
τοῦ δινεῖται ὁ οὐρανός, ὥσπερ περὶ ἁρμάτειον ἄξονα δινοῦνται
οἱ τροχοί. τὴν δὲ ὕλην αὐτοῦ οὐκ ἐδίδαξεν ἡμᾶς Ἄρατος, ἀλλ᾽
ὡς ἐν ποιήσει μυθικώτερον ὥσπερ ὀβελίσκον αὐτὸν εἶπεν
(v. 21—23). *εἰ μὲν οὖν λέγοι τις αὐτοῦ τὴν ὕλην ἐκ πυρός, ἐλθὼν*
ἐπὶ τὴν τοῦ ὕδατος σφαῖραν σβεσθήσεται, εἰ ⟨δὲ ἐκ γῆς⟩, ὑπὸ
152 P. 10 *τῆς τοῦ πυρὸς καταφλεχθήσεται. εἰ δὲ ἐκ τῆς τῶν λοιπῶν,*
ἀέρος ἢ ὕδατος, ἀμιγὴς ἔσται τοῖς ἄλλοις καὶ ὑπὸ τῶν ἐναν-
τίων ἀφανισθήσεται. γεωμέτραι δὲ αὐτὸν ὑποτίθενται γραμ-
μήν τινα λεπτὴν διήκουσαν ἀπὸ τοῦ κέντρου τοῦ ἀρκτικοῦ κύ-
κλου μέχρι τοῦ ἀνταρκτικοῦ, καθὼς εἴρηται, οἱ δὲ φυσικοὶ
φιλόσοφοι τὸ μεταξὺ διῆκον πνεῦμα λέγουσιν ἄξονα. μέμνηται
δὲ αὐτοῦ Ἐρατοσθένης ἐν τῷι Ἑρμῆι λέγων (fr XVIII Hill)·

> *αὐτὴν μέν μιν ἔτετμε μεσήρεα παντὸς Ὀλύμπου*
> *κέντρου ἄπο σφαίρας, διὰ δ᾽ ἄξονος ἠρήρειστο*

καὶ ὁ Ἄρατος λέγων (v. 21—23, Aratea p. 41)

> *αὐτὰρ ὅ γ᾽ οὐδ᾽ ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ᾽ αὖτως*
> *ἄξων αἰὲν ἄρηρεν, ἔχει δ᾽ ἀτάλαντον ἁπάντη*
> *μεσσηγὺς γαῖαν, περὶ δ᾽ οὐρανὸς αὐτὸν ἀγινεῖ.*

ὠνόμασται δ᾽ ἄξων διὰ τὸ περὶ αὐτὸν ἄγεσθαι καὶ περιδινεῖ-
σθαι τὸν οὐρανόν. τὰ δὲ πέρατα αὐτοῦ πρὸς τοῖς κέντροις τοῦ
τε ἀρκτικοῦ καὶ τοῦ ἀνταρκτικοῦ ἐστιν. καλοῦσι δ᾽ αὐτὰ πό-
λους ἀπὸ τοῦ περιπολεῖσθαι καὶ στρέφεσθαι περὶ αὐτὰ τὸν οὐ-
ρανόν. τούτων δὲ ὃ μὲν καλεῖται βόρειος καὶ ἀεὶ φανερός, ὃ δὲ
νότιος καὶ ἀεὶ ἀφανής. μέμνηται δὲ αὐτῶν καὶ Ἄρατος (v. 24—27, Ecl III)·

> *καί μιν πειραίνουσι δύω πόλοι ἀμφὶς ἐόντες·*
> *ἀλλ᾽ ὃ μὲν οὐκ ἐπίοπτος, ὃ δ᾽ ἀντίος ἐκ βορέαο*
960 M.

---

2 *ἀρκτικοῦ* corr Pet: *ἀνταρκτικοῦ* VM | *καθ᾽ ὃν* post *κύκλου* V ‖ 4 *γνῶμεν* M ‖ 9 *ἐπὶ* M: *ὅτι* V | *εἰ ⟨δὲ ἐκ γῆς⟩ ὑπὸ* coni et suppl Wil: *ἢ ὑπὸ* VM ‖ 10 *σφαίρας* post *πυρὸς* M ‖ 14 *καθάπερ* M | *φυσικοὶ* superscripsit V ‖ 17 an *αὐτὴ* (terra)? | *παν* (i. e. *παντὶ* aut *παντὸς*) V: *παντὶ* M ‖ 18 *ἀπὸ* VM; *ἐπὶ* coni Bergk ‖ 20 *οὐκ* V | *μετανίσεται* V | *μάλ᾽ αἰεὶ* V ‖ 21 *αἰὲν* M: *διὼν* V ‖ 27 *καὶ* om M | *ὧν* post *φ.* M ‖ 28 *καὶ* prius om M | *δὲ* om M ‖ 30 *μὴν* V | *δύο* M | *πόλλοι* M

ὑψόθεν Ὠκεανοῖο· δύω δέ μιν ἀμφὶς ἔχουσιν
Ἄρκτοι ἅμα τροχόωσαι.

τηρητέον δέ, ὅτι ἀρρενικῶς λέγονται οὗτοι οἱ πόλοι. ὁ δὲ Ἀριστοφάνης ἐν τοῖς Δαιταλεῦσιν ἐπὶ ἡλιοτροπίου τέθεικε τὸ ὄνομα τοῦ πόλου καὶ θηλυκῶς·

πόλος τοῦτ' ἐστίν, ᾗι ἐν Κολωνῶι
σκοποῦσι τὰ μετέωρα ταυτὶ καὶ τὰ πλάγια ταυτί.

οἱ δὲ Πυθαγόρειοι δεξιὰ μὲν τὰ βόρεια, ἀριστερὰ δὲ τὰ νότια καλοῦσιν. Ὅμηρος δεξιὰ μὲν καλεῖ τὰ ἀνατολικά, ἀριστερὰ δὲ τὰ δυτικὰ διὰ τούτων (Il XII 239 sq.)·

εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε
εἴτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα.

ἐπὶ μὲν οὖν τῆς σφαίρας τῆς ξυλίνης ταῦτα τὰ ἄκρα τοῦ ἄξονος φαίνεται ὑπὲρ τὴν ἐπιφάνειαν τῆς σφαίρας ἐξέχοντα. χρὴ δὲ νοεῖν συναποπαύεσθαι αὐτὰ τῆι ἐπιφανείαι τοῦ οὐρανοῦ καὶ μὴ ἐξέχειν.

29. Περὶ ζωνῶν, καὶ ὅτι πέντε. 153 P.

Ach? ‖ Περὶ δὲ τῶν ζωνῶν Ἄρατος ἐν τοῖς Φαινομένοις οὐκ ἐμνήσθη, ἄλλοι δέ, ὧν καὶ Ἐρατοσθένης (fr XIX H.), ἐμνημόνευσαν. ζῶναι τοίνυν λέγονται τὰ μεταξὺ τῶν παραλλήλων κύκλων διαστήματα. εἰσὶ δὲ καὶ ἐν οὐρανῶι καὶ ἐπὶ γῆς, αἳ κατὰ κάθετόν εἰσι τῶν ἐν τῶι οὐρανῶι. πέντε δέ εἰσι πᾶσαι. ὧν δύο εἰσὶν ἀοίκητοι διὰ τὸ πάνυ κατεψῦχθαι. καὶ ἡ μὲν λέγεται νότιος, ἡ δὲ βόρειος. τῶν δὲ μεταξὺ τούτων τριῶν δύο μέν εἰσιν εὔκρατοι, μία δὲ διακεκαυμένη. τῶν δὲ εὐκράτων ἡ μέν ἐστι βορειοτέρα, ἡ δὲ νοτιωτέρα. καὶ ἔστιν ἡ βορειοτέρα ἀπὸ ἀρκτικοῦ κύκλου μέχρι θερινοῦ τροπικοῦ, ἡ δὲ ἑτέρα ἀπὸ ἀνταρκτικοῦ μέχρι χειμερινοῦ τροπικοῦ. εἰσὶ δὲ εὔκρατοι τῶι μήτε ὑπὸ ἀκράτου ψύχους μήτε ὑπὸ καύματος ἐνοχλεῖσθαι, εἶναι δ' αὐτὰς μεταξὺ τῆς τοῦ ἡλίου πορείας καὶ τῶν κατεψυγμένων ζω-

---

3—7 ὁ δὲ — πλάγια ταυτί om M (cf Aratea p. 13) ‖ 4 ἢ ἐπεὶ ἡλίου τροπίου V: correxi ‖ 6 τουτέστιν V: correxi | ᾗι 'ν Wil, Κολωνῶι ego: ἡλικολωνῶ ἐν ὦ V ‖ 7 σκοποῦσι corr Wil: σκέπτουσι V ‖ 8 δὲ ante δεξιὰ M ‖ 9 ὁ δὲ ante Ὅμ. M ‖ 11 ἐπιδεξίωσι V, ἐπὶ δεξιὰ M ‖ 12 τοί Pet: τῶ V ut videtur, τῶι M ‖ 13 μὲν οὖν om M | δὲ post σφ. VM: omisi ‖ 15 αὐτοὺς V ‖ 21 κατακάθετον ut saepius V ‖ 23, 4 βόρειος — νότιος M ‖ 26 τοῦ post ἀπὸ M ‖ 27 τοῦ post μ. M | ἡ δὲ νοτιωτέρα M ‖ 27, 8 ἀπὸ τοῦ ἀ. μ. τοῦ M ‖ 29 ἐνοχλ. καὶ τῶι εἶναι αὐτὰς M

νῶν. ἡ δὲ τούτων μέση πασῶν ἐστιν ἀπὸ τοῦ θερινοῦ τροπικοῦ μέχρι τοῦ χειμερινοῦ τροπικοῦ (τοσοῦτον γὰρ πλάτος ἔχει, ὅσον καὶ ὁ ἥλιος περιέρχεται), καλεῖται δὲ διακεκαυμένη διὰ τὸ πυρώδης εἶναι τοῦ ἡλίου δι' αὐτῆς τὴν πορείαν ποιουμένου. ταύτην δὲ οἱ μὲν ἀοίκητον, οἱ παλαιοί, τινὲς δὲ οἰκεῖσθαι λέγουσιν. μέμνηται δὲ αὐτῶν Ἐρατοσθένης ἐν τῷι Ἑρμῆι λέγων (fr XIX)·

πέντε δέ οἱ ζῶναι περιηγέες ἐσπείρηντο,
αἱ δύο μὲν γλαυκοῖο κελαινότεραι κυάνοιο,
ἡ δὲ μία ψαφαρή τε καὶ ἐκ πυρὸς οἷον ἐρυθρή.
ἣ μὲν ἔην μέσση, ἐκέκαυτο δὲ πᾶσα περὶ . .
τυπτομένη φλογμοῖσιν, ἐπεὶ ῥά ἑ Μαῖραν ὑπ' αὐτήν
κεκλιμένην ἀκτῖνες ἀειθερέες πυρόωσιν.
αἱ δὲ δύω ἑκάτερθε πόλοις περιπεπτηνῖαι
αἰεὶ φρικαλέαι, αἰεὶ δ' ὕδατι νοτέουσαι.
οὐ μὲν ὕδωρ, ἀλλ' αὐτὸς ἀπ' οὐρανόθεν κρύσταλλος
† κεῖται ἀναπέσχε, περίψυκτος δὲ τέτυκται.

---

4 *ἀεὶ* post *πορ.* M ‖ 5 *οἱ παλαιοὶ* om M | *τινὲς* V: *οἱ* M ‖ 6 *αὐτῶν* V: *τῶν ζωνῶν τούτων καὶ* M ‖ 7 *οἱ* Heraclitus Alleg L p. 107 Mehl Probi cod Bobiensis ad Verg Georg I 233 sqq.: *αἱ* VM | *περιηγέες* Heraclitus (cf Arati v. 401 *περιηγέες εἰλίσσονται*, Naeke Opusc II p. 106): *περιειλάε* V, *περιειλάδες* M, *περιαρέες* Probus | *ἐσπείρηντο* schol Ven B² ad Il XVIII 468 ex Heraclito, *πείρηνθο* Probi Bobiensis, *ἐσπείρηνται* M Heracliti codd, *σπείρηνται* V ‖ 8 *κυανότεραι* Probi Bobiensis ‖ 9 *ψαφαρά* schol Ven B² | *ἔκπυρος* schol B² ‖ 10 *μέσση* scripsi: *μέσην* V ‖ 10—12 *ἡ μὲν ἔην μεσάτη περιτυπτομένη φλογμοῖσιν· ἀκτῖνες γὰρ πᾶσαν ἀειθερέες πυρόωσιν* M (adscriptis in margine his verbis *ὅτι τινὰ παρελείφθη ὡς ἀδιάγνωστα καὶ ἐσφαλμένα. διωρθώθη δέ τινα παρ' ἐμοῦ, ὡς οἷόν τε ἦν, ὥστε σῶσαι τὴν ἔννοιαν*) ‖ 10 *πᾶσα περὶ* V | lacunam indicavi: *περὶ ⟨πρό⟩* suppl Fell, *πυρὶ ⟨πρό⟩* coni et suppl Pet ‖ 11 *τυ . . . πτομένη* (*υ* in rasura scripto) V, *τυπτομένη* (omisso praecedenti versu) Heraclitus; *τυφομένη* coni Emperius Opusc p. 306 | *ἐπεί ῥά ἑ Μαῖραν* (Sirium) corr Matranga Anecd gr p. 341: *ἐπεί ῥά ἑ* (vel omisso *ἑ*) *μοῖραν* Heracliti codd, *ἐπεί ῥά ἑ μαῦραν* schol Ven B² ex Heraclito, *ἐπιρασμοῖραν* V; *ἐπεί ῥα ἄνυροι ἐπ'* coni Bernhardy, *ἐπεί ῥα σμερδνὸν ἐπ'* Mehler ‖ 12 *κεκλιμένην* schol Ven B²: *κεκλημένοι* V (hinc *κεκλιμένοι* coni Vict), *κεκλιμέναι* Heracliti codd (et e coniectura Scal ad Manil p. 354) ‖ 13 *δύω* M: *-ο* V | supra *λο* in *πόλοις* rasura V | *περιπεπηγνῖαι* Heracliti codd ‖ 14 *ἀεὶ φρ.* V schol Ven B² | *κρυμαλέαι* Heracliti codd, *βριμαλέαι* schol Ven B² | *αἰεὶ δ'* Heraclitus: *εἶθ'* V (hinc *αἰεὶ θ'* coni Scal), *οὐ μὴν* M | *ὕδωρ* M | *νοτέουσαι* corr Lobeck (Pathol Proleg p. 100): *νοτέουσιν* V, *ἀλλ' αὐτός* M, *μογέουσαι* Heraclitus; *νοσέουσαι* coni Scal ‖ 15—16 *οὐρανόθεν γε περίψυκτος κεῖται κρύσταλλος* (cf ad l. 10—12) M ‖ 15 *μὲν* corr Scal: *μὴν* V ‖ 16 desideres fere *κεῖται τοῖς ἑκάτερθε περὶ ψῦχος δὲ τέτυκται; κεῖ γαῖαν ἀμπέσχε* (?) *π. δὲ τέτυκτο* coni Scal, *καὶ γαῖαν ἀμπέσχε περίψυχος δ' ἐτέτυκτο*

ἀλλὰ τὰ μὲν χερσαῖα καὶ ἀμβατὰ ἀνθρώποισιν.
δοιαὶ δ' ἄλλαι ἔασιν ἐναντίαι ἀλλήλαισι 154 P.
μεσσηγὺς Θέρεός τε καὶ ὑετίου κρυστάλλου,
ἄμφω εὔκρητοί τε καὶ ὄμπνιον ἀλδήσκουσαι
καρπὸν Ἐλευσίνης Δημήτερος. ἐν δέ μιν ἄνδρες
ἀντίποδες ναίουσι.

Posidonius? ταῦτα μὲν Ἐρατοσθένης. ‖ ζητήσωμεν δέ, τῶν δύο εὐκράτων ὁποτέραν ἡμεῖς οἰκοῦμεν. ὁρῶμεν οὖν· ὅταν ὁ ἥλιος ἐν Αἰγόκερωι γένηται, πόρρω ἡμῶν ἀφέστηκε, καὶ χειμών ἐστι παρ' ἡμῖν. ὅταν δὲ ἐν Καρκίνωι γένηται, ὃς ἐστι κατὰ διάμετρον τῶι Αἰγό- 10
κερωι, τότε πλησίον ἡμῶν ἐστι καὶ καῦμα πολὺ παρ' ἡμῖν. ὁ 981 M.
δὲ Καρκίνος τῶν ιβ' ζωιδίων βορειότατός ἐστιν. δῆλον οὖν, ὅτι τὴν βόρειον οἰκοῦμεν ζώνην· ἐν γὰρ Καρκίνωι γενόμενος ὁ ἥλιος ἀριστερὸς ἡμῶν ἀνατέλλει τὴν σκιὰν ἡμῶν εἰς τὰ δεξιὰ αὐτοῦ κλίνων, ὅ ἐστι σημεῖον ἐναργὲς τοῦ ἡμᾶς δεξιοὺς εἶναι τοῦ 15
ἡλίου. εἰ γοῦν τις λύχνον ἅψας ἐν μέσωι οἰκήματος θείη, ἐν δεξιᾶι δὲ αὐτοῦ σταίη, τὸ σκίασμα τοῦ ἑστῶτος οὐ πρὸς τὸν λύχνον, ἀλλ' ἐν δεξιᾶι τοῦ ἀνθρώπου τρέψεται. εἰ τοίνυν καὶ ἡμῶν αἱ σκιαὶ ἐν δεξιᾶι ἡμῶν γίνονται, δῆλον ὅτι ἀριστερὸς ἡμῶν ἐστιν ὁ ἥλιος. ἀνάπαλιν δὲ τοῖς ἐν τῆι νοτίωι ζώνηι οἰ- 20
κοῦσιν ἐν δεξιᾶι μέν ἐστιν ὁ ἥλιος, ἐν ἀριστερᾶι δὲ αὐτῶν ἡ σκιὰ πρὸς νότον ἐκπέμπεται. οὕτως οὖν ἀποδείκνυται ἡμᾶς τὴν βόρειον ζώνην τὴν εὔκρατον οἰκεῖν.

Posidonius cf Geminus c. 18 ‖ τινὲς δὲ καὶ ταῦτα περὶ τῶν ζωνῶν εἰρήκασιν. ζῶναί εἰσι τῆς γῆς ὑπὸ τοὺς παραλλήλους ὁμοίως πέντε· βόρειος, ὅλη 25
μετέωρος, ἀοίκητος, κατεψυγμένη, Κρόνου, ἐξηκοστιῶν μὲν ς', σταδίων δὲ δισμυρίων ,εσ' (τὸ γὰρ ἑξηκοστὸν σταδίων ἐστὶ ,δσ')· θερινή, πλείονα ἔχουσα τὰ ὑπὲρ τὸν ὁρίζοντα, εὔκρατος, ἐν ἧι ἐστιν ἡ καθ' ἡμᾶς οἰκουμένη, Διός, ἐξηκοστῶν ε', σταδίων δὲ

Brunck, ὃς γαῖάν τ' ἀμπέσχε περίψυχός τ' ἐτέτυκτο Hermann Orph p. 766, κεῖται ἀν' ἀμφὶ πάχνηισι περὶ ψυκτὺς δὲ τέτυκτο Bernhardy, κείνην γαῖαν ἐπέσχε περίψυκτος δὲ τέτυκτο Bergk

1 ἀνεώβατα V ‖ 3 κρυστάλλου om V ‖ 4 ἄκρητοί τε M | ἀλδήσκουσαι corr Ursinus: αὐδήσκουσαι V M; ἀλδίσκουσαι coni Scal ‖ 5 ἐλευσίνης VM (Vergil Georg I 163 *Eleusinam matrem*) ‖ 7 ζητήσω V ‖ 7, 8 ποτέραν M ‖ 8 γὰρ pro οὖν M | μὲν post ὅταν M | αἰγοκέρωτι M ‖ 10 ὁ V ‖ 10, 1 αἰγόκερωτι M ‖ 12 βορειότερος VM ‖ 14 μέρη post δ. M | αὐτοῦ V, om M ‖ 16 γοῦν V: γὰρ M | 23 τὴν om V ‖ 24—65, 13 om V (cf Berger Die geogr Fragm des Eratosthenes p. 113) ‖ 27 ,δσ' editio Mignei, cf Geminus c. 13 (Berger Geschichte der wissenschaftl Erdkunde bei den Griechen III p. 85): ,θσ' M; ,ασ' coni Vict

διομυρίων καὶ ,α· ἰσημερινή, ἴσον ἔχουσα τὸν ὑπὲρ γῆς ὁρίζοντα τῶι ὑπ᾽ αὐτήν, ἀοίκητος, διακεκαυμένη, Ἄρεος, ἐξηκοστῶν μὲν ι΄, ἐξ ἑκατέρου μέρους τοῦ ἰσημερινοῦ τεσσάρων (οὗτος γὰρ αὐτὴν ὅλην τὴν σφαῖραν τέμνει μέσην), σταδίων δὲ τριομυρίων καὶ ,χχ΄· χειμερινή, ἀνάπαλιν τῆι θερινῆι, πλεῖον ἔχουσα τὸ ὑπὸ τὸν ὁρί-
155 P. ζοντα, οἰκουμένη, εὔκρατος, Ἀφροδίτης, ἐξηκοστῶν ε΄, σταδίων δὲ διομυρίων καὶ ,α· νότιος, ὅλη ἀφανής, ἀοίκητος, κατεψυγμένη, Ἑρμοῦ, ἐξηκοστῶν μὲν ς΄, σταδίων δὲ διομυρίων ,εσ΄, ὡς εἶναι τὸ ὑπὲρ τὸν ὁρίζοντα περίμετρον τῆς γῆς ἐξηκοστῶν μὲν τριάκοντα, σταδίων δὲ μυριάδων ιβ΄ καὶ ,ς. καλοῦνται δὲ οἱ μὲν ἐπὶ τοῦ αὐτοῦ ἡμισφαιρίου βόρειοί τε καὶ νότιοι κατοικοῦντες αὐτόχθονες, οἱ δ᾽ ἐφ᾽ ἑκάτερα τῶν ἡμισφαιρίων ὑπὲρ γῆς τε καὶ ὑπὸ γῆν ἀντίποδες.

30. Περὶ τῶν ἐν ταῖς εὐκράτοις ζώναις οἰκούντων.

‖ Τῶν δὲ ἐν ταῖς δύο εὐκράτοις ζώναις οἰκούντων, ἵνα σαφέστερον διέλωμεν, οἳ μέν εἰσι περίοικοι, οἳ δὲ ἄντοικοι, οἳ δὲ ἀντίχθονες, οἳ δὲ ἀντίποδες· περίοικοι μέν, ὅσοι τὴν αὐτὴν οἴκησιν οἰκοῦσιν, οἷον οἱ τὴν βόρειον οἰκοῦντες περίοικοί εἰσιν ἀλλήλοις, καὶ πάλιν οἱ τὴν νότιον περίοικοί εἰσιν ἀλλήλοις· ἄντοικοι δὲ οἱ τὴν νότιον τοῖς τὴν βόρειον οἰκοῦσι ζώνην, καὶ ἀντοικουμένη ἐστὶν ἡ βόρειος τῆι νοτίωι καὶ ἡ νότιος τῆι βορείωι· ἀντίχθονες δὲ οἱ κατὰ διάμετρον ἐν ταῖς ὁμοίαις ζώναις οἰκοῦντες, οἷον ἐν τῆι βορείωι ἐν τῶι ὑπὲρ γῆς ἡμισφαιρίωι, ὁμοίως δὲ καὶ ἐν τῆι νοτίωι· ἀντίποδες οἱ κατὰ διάμετρον ἐν ταῖς ἐναντίαις ζώναις οἰκοῦντες, οἷον τῶν πρὸς τῶι Καρκίνωι οἰκούντων ἀντίποδές εἰσιν οἱ πρὸς τῶι Αἰγόκερωι. οἱ μὲν οὖν
981 M. περίοικοι τὴν αὐτὴν ἔχουσιν ἀεὶ νύκτα καὶ ἡμέραν καὶ τὰς ἐτησίας ὥρας, οἱ δὲ ἄντοικοι τὴν μὲν αὐτὴν ἔχουσιν ἀλλήλοις ἡμέραν καὶ νύκτα, οὐ τὰς αὐτὰς δὲ τροπάς· ἐν Καρκίνωι γὰρ γενόμενος ὁ ἥλιος ἡμῖν θέρος βορειοτέροις οὖσι ποιεῖ, τοῖς δὲ νοτιωτέροις χειμῶνα. ὅταν δὲ ἐν Αἰγόκερωι γένηται, ἡμῖν μὲν χειμῶνα βορειοτέροις οὖσι, τοῖς δὲ τὴν νότιον οἰκοῦσι θέρος ποιεῖ. καὶ πάλιν τῶν ἰσημεριῶν δισσῶν οὐσῶν ἐν μὲν Κριῶι

Eudoxus? cf Cleomedes p. 22 sq. An I c. 6

---

2 αὐτόν M ‖ 7 δὴ M ‖ 7, 8 κατεψηγμένη M: corr Vict ‖ 12 ἀντίχθονες coni Vict ‖ 15 δυσὶν M ‖ 15, 6 ἵνα σ. διέλωμεν om V ‖ 20 οἰκοῦντες post ν. M ‖ 24 τῶι ν. VM | δὲ post ἀντ. M ‖ 25 τῶν om V ‖ 25, 6 οἰκούντων om V ‖ 26 αἰγοκέρωτι M ‖ 28 ἐτησίους M ‖ 30 μὲν post ἡμῖν M ‖ 31 αἰγοκέρωτι M ‖ 32 ζώνην post οἰκ. M ‖ 33 ἰ. δύο M | κριῶι M: χηλαῖς V

ἥλιος γενόμενος ἡμῖν ἐαρινήν, τοῖς τὴν βόρειον, τοῖς δὲ ἀντοίκοις μετοπωρινὴν ἰσημερίαν ποιεῖ. ἐὰν δὲ ἐν Χηλαῖς γένηται, ἡμῖν μὲν μετοπωρινήν, τοῖς δὲ ἀντοίκοις ἐαρινὴν ἰσημερίαν ποιεῖ. ἀπὸ δὲ τῆς τοῦ Κριοῦ ἰσημερίας τῆς παρ᾽ ἡμῖν ἐαρινῆς ὁ ἥλιος ἀναβαίνων ἐν Καρκίνωι θέρος μὲν ἡμῖν ποιεῖ καὶ αὔξει τὰς ἡμέρας, τὰς δὲ νύκτας ἐλάττους ποιεῖ [καὶ τὴν ἰσημερίαν τὴν ἐν Κριῶι παρ᾽ ἡμῖν ἐαρινήν, αὐτοῖς μετοπωρινήν. καὶ] ἐν Χηλαῖς δὲ γενόμενος εἰς Αἰγόκερω καταβαίνων παρ᾽ ἡμῖν 156 P. μὲν μειοῖ τὰς ἡμέρας καὶ τὰς νύκτας αὔξει χειμῶνα ἀπεργαζόμενος, παρ᾽ ἐκείνοις δὲ αὔξει τὴν ἡμέραν καὶ τὴν νύκτα μειοῖ θέρος ποιῶν. καθόλου δὲ εἰπεῖν, ὃ ἡμῖν ποιεῖ Καρκίνος, τοῦτ᾽ ἐκείνοις Αἰγόκερως, ὃ δ᾽ ἡμῖν Αἰγόκερως, τοῦτ᾽ ἐκείνοις Καρκίνος, ὃ δ᾽ ἡμῖν Κριός, τοῦτ᾽ ἐκείνοις Χηλαί. καὶ τὸ ἀνάπαλιν. οἱ δὲ ἀντίχθονες τὰς νύκτας καὶ τὰς ἡμέρας παρηλλαγμένας ἔχουσιν· τοῖς γὰρ ὑπὲρ γῆν ἀνατέλλων ὁ ἥλιος ἀντίχθοσιν ἡμέραν ποιεῖ, τοῖς δὲ ὑπὸ γῆν νύκτα. καὶ πάλιν παρ᾽ ἡμῖν δύνων ὁ ἥλιος νύκτα ποιεῖ, παρὰ δὲ τοῖς κάτω ἀνατέλλει ἡμέραν ποιῶν. τροπὰς μέντοι καὶ ἰσημερίας τὰς αὐτὰς ἔχουσιν οἱ ἄνω βόρειοι τοῖς κάτω [βορείοις], τουτέστιν οἱ ἀντίχθονες. οἱ δὲ ἀντίποδες πάντα ἐναντία καὶ μαχόμενα ἔχουσιν· ὅτε μὲν γὰρ παρ᾽ ἡμῖν νύξ ἐστι, παρ᾽ ἐκείνοις ἡμέρα, καὶ ὅτε παρ᾽ ἐκείνοις θέρος, ἐν τῆι καθ᾽ ἡμᾶς οἰκουμένηι χειμών. καὶ καθόλου, ὅτε τοῖς ἐν ⟨τῆι⟩ νοτίωι ζώνηι ἀντοικοῦσι χειμών ἐστι καὶ ἡμέρα, τότε τοῖς ἐν τῆι βορείωι οἰκοῦσι θέρος ἐστὶ καὶ νύξ. ὥστε καὶ νύκτας καὶ ἡμέρας καὶ τροπὰς καὶ ἰσημερίας καὶ οἰκήσεις ἐναντίας οἱ ἄντοικοι ἔχουσιν.

31. Περὶ διαφορᾶς τῶν ἐν ταῖς οἰκήσεσι σκιῶν, καὶ κατὰ ποίους τόπους οἰκοῦσιν.

Posidonius cf Gemin c. 13 Strab II p. 94 sqq. Cleomed I p. 22 sq.

‖ Τῶν δὲ ἐν ταῖς οἰκήσεσιν οἱ μέν εἰσιν ἄσκιοι, οἱ δὲ βραχύσκιοι, οἱ δὲ μακρόσκιοι, οἱ δὲ ἑτερόσκιοι, οἱ δὲ ἀντίσκιοι, οἱ δὲ ἀμφίσκιοι. ἄσκιοι μὲν οἱ κατὰ κορυφὴν ὥραι ἕκτηι τὸν ἥλιον ἔχοντες· ὥσπερ γάρ, εἴ τις δαλὸν ἀνάψας ὀρθὸν στήσειε, τούτου οὐκ ἂν

---

1 γενόμενος ἥλιος M | μὲν post ἡμῖν M ‖ 2—4 ἐὰν — ἐαρινῆς om V ‖ 3 ἰσημερίας ante ὁ ἥλ. V ‖ 6 ἡ. καὶ ἐλάττους (omisso τὰς δὲ νύκτας et ποιεῖ) V ‖ 6—8 καὶ — καταβαίνων V: ἀπὸ δὲ τῆς ἐν χηλαῖς ἰσημερίας ἐπὶ τὸν αἰγοκέρωτα καταβαίνων M ‖ 9 τὰς νύκτας αὔξει χειμῶνα ἀπεργαζόμενος M: μετοπωρινὴν ἰσημερίαν ποιεῖ V ‖ 10, 1 καὶ τὴν νύκτα μειοῖ θέρος ποιῶν M: ἐαρινὴν ἰσημερίαν παρέχων V ‖ 13 τοῦτο M | καὶ τὸ ἀνάπαλιν om V ‖ 15 γῆς ἀντίχθοσιν ἀνατ. M ‖ 20 πρὸς ἡμᾶς VM ‖ 22 τοῖς ἐν scripsi: ἐν τοῖς VM ‖ 22, 3 τὴν νότιον ζώνην M ‖ 23 τότε ἐν τοῖς τὴν βόρειον M ‖ 24 δὲ post νύκτας M ‖ 26 σκιῶν om V ‖ 29 ἀντίσκιοι corr Pet: αὐτόσκιοι VM

γένοιτο σκιά, οὕτως οὐδὲ τῶν ὑπὲρ κορυφῆς ἐχόντων τὸν ἥλιον μεσουρανοῦντα γένοιτο ἄν. εἰσὶ δὲ οὗτοι οἱ ὑπὸ τὸν ἰσημερινὸν οἰκοῦντες. ἡλίου ⟨δὲ⟩ γενομένου ἐν Κριῷ ἢ ἐν Χηλαῖς τότε κατὰ κορυφῆς ἔχουσι τὸν ἥλιον, εἰ συγχωρήσαιμεν οἰκεῖσθαι τοὺς τόπους. φασὶ δὲ ἐν Συήνῃ καὶ Ἐλεφαντίνῃ ἀσκίους γίνεσθαι, ὅτε ὁ ἥλιος γίνεται ἐν Καρκίνῳ περὶ ὥραν ἕκτην· βραχύσκιοι δὲ οἱ τὸν ἥλιον ὀλίγον ἀφεστῶτα ἔχοντες· μακρόσκιοι δὲ οἱ πόρρω αὐτὸν ἔχοντες· ἑτερόσκιοι δὲ οἱ ἐν ταύτῃ τῇ οἰκουμένῃ οἰκοῦντες, ἐπειδὴ ἐπὶ τὸ ἕτερον μέρος ἡ σκιὰ ἡμῶν τρέπεται (λέγω δὲ ἐν δεξιᾷ ἐπὶ τὸ βόρειον)· ὁμοίως δὲ καὶ οἱ ἄντοικοι
983 M. *ἑτερόσκιοί εἰσιν, ἐπειδὴ καὶ τούτων ἡ σκιὰ ἐπὶ τὸ ἀριστερὸν*
157 P. *μέρος τὸ νοτιώτερον τρέπεται· ἀντίσκιοι δὲ οἱ ἐν τῷι βορείωι, ἐπειδὴ ἐναντίας τὰς σκιὰς ἔχουσιν οἱ μὲν εἰς τὰ δεξιὰ μέρη αὐτῶν, οἱ δὲ εἰς τὰ ἀριστερὰ διὰ τὸ μέσον εἶναι αὐτῶν τὸν ἥλιον· ἀμφίσκιοι δὲ γίνονται οἱ ὑπὸ τὸν ἰσημερινὸν κύκλον οἰκοῦντες· οἱ δὲ αὐτοὶ καὶ ἄσκιοι· ὅτε μὲν γὰρ ὑπὲρ κορυφῆς αὐτῶν ἐστιν ὁ ἥλιος, ὡς εἴπομεν* (p. 66, 31), *ἄσκιοί εἰσιν· ὅτε δὲ ἀφίσταται αὐτῶν ἀπὸ Κριοῦ εἰς Ταῦρον καὶ τὰ ἑξῆς ζώιδια, τὴν αὐτὴν σκιὰν ἔχουσιν ἐπὶ τὰ εὐώνυμα μέρη· ὅτε δὲ ἀπὸ ἰσημερίας τῆς ἐν Χηλαῖς ὁ ἥλιος γένηται ἐν Σκορπίωι καὶ τοῖς ἑξῆς ζωιδίοις, τότε ἡ σκιὰ αὐτῶν ἐπὶ τὰ δεξιὰ μέρη ἐκπέμπεται, ὥστε συμβαίνειν τοὺς τῇδε οἰκοῦντάς ποτε μὲν ἀσκίους γίνεσθαι, ὅταν ἐν Χηλαῖς ἢ Κριῷ ὁ ἥλιος ὢν κατὰ κορυφῆς αὐτῶν ᾖι, ποτὲ δὲ ἐν ἀριστερᾶι ἔχειν τὴν σκιάν, ὅτε ἐν Σκορπίωι καὶ τοῖς ἑξῆς ὁ ἥλιος γίνεται. τινὲς δὲ καὶ περισκίους τοὺς περὶ αὐτοὺς κύκλωι ἔχοντας τὴν σκιὰν εἶναι βούλονται.*

‖πρῶτος δὲ Παρμενίδης ὁ Ἐλεάτης τὸν περὶ τῶν ζωνῶν Ach
ἐκίνησε λόγον. περὶ δὲ τοῦ ἀριθμοῦ αὐτῶν πολλὴ διαφωνία τοῖς μετ᾽ αὐτὸν γέγονεν· οἱ μὲν γὰρ ἓξ αὐτὰς εἶπον ὡς Πολύβιος (‘De aequatore’, V p. 28 Schweigh) *καὶ Ποσειδώνιος* (p. 92 Bake) *τὴν διακεκαυμένην εἰς δύο διαιροῦντες, οἱ δὲ πέντε παρέλαβον, ὥσπερ Ἐρατοσθένης* (‘Mercurii’ fr XIX al) *καὶ ἄλλοι πολλοί, οἷς καὶ ἡμεῖς κατηκολουθήσαμεν. περὶ δὲ οἰκήσεων πάλιν καὶ τῶν ἐνοικούντων καὶ ὀνομάτων γέγονε πολλὴ ταραχὴ καὶ περὶ ἀντιχθόνων καὶ ἀντιπόδων.*

---

2 *εἰσὶ δὲ* om V | *ὑπὸ* om M ‖ 3 *οὗτοι* post *οἰκοῦντες* iterum M ‖ 4 corr Dieterich: *εἰσὶ χ. μ. οἰκ. τ. τ.* V, om M ‖ 6 *ὁ* om M ‖ 12 post *δὲ* supplet Pet ⟨*τοῖς ἐν τῶι νοτίωι*⟩ ‖ 16 *δ᾽* M ‖ 17 *ἀμφίσταται* V ‖ 24 *τῆς ἑ.* M ‖ 25 *αὐτοὺς* VM ‖ 25, 6 *ἔχοντας* post *τοὺς* M ‖ 27 *ὁ Ἐλεάτης τὸν* scripsi: *ὁ στεατής τον* V, om M ‖ 35 *καὶ* ante *περὶ* om V

32. *Περὶ μεταρσίων καὶ μετεώρων.*

Eudorus? cf Seneca NQ II 1, 1 Geminus Simplic in Phys II 2 p. 91 D.

‖*Διαφέρει δὲ μετέωρα μεταρσίων, ἤι τὰ μὲν μετέωρα ἐν οὐρανῶι καὶ αἰθέρι ἐστίν, ὡς ἥλιος καὶ τὰ λοιπὰ καὶ οὐρανὸς καὶ αἰθήρ, μετάρσια δὲ τὰ μεταξὺ τοῦ αἰθέρος καὶ τῆς γῆς, οἷον ἄνεμοι νεφέλαι ὄμβροι ἀστραπαὶ βρονταὶ κομῆται δοκίδες πώγωνες λαμπάδες ἴριδες ἅλωες διάττοντες ῥυμοὶ ῥύακες. λεκτέον δὲ περὶ μεταρσίων· περὶ γὰρ μετεώρων προείρηται* (c. 10 sqq.). *πρῶτον δὲ περὶ ἀνέμων εἴπωμεν.*

33. *Περὶ ἀνέμων, καὶ ὅτι διαφέρει αὔρα ἀναθυμιάσεως.*

Plutarchus Plac p. 874 sq. D.

cf De mundo p. 394 b

‖*Ἀναξίμανδρος τοίνυν ῥύσιν ἀέρος τὸν ἄνεμον εἶπε, τινὲς δὲ ἀναθυμίασιν ἀέρος.* ‖*ἄλλοι δὲ διαφέρειν ἄνεμον λέγουσιν* 158 P. *αὔρας· ἄνεμον γὰρ εἶναι ῥύσιν ἀέρος, αὔραν δὲ ἀναθυμίασιν γῆς. καὶ τοὺς μὲν ἐκ νεφῶν λέγουσιν εἶναι ἀνέμους καὶ καλεῖσθαι ἐκνεφίας, τοὺς δὲ ἀπὸ γῆς φερομένους ἀπογε(ι)ους, τοὺς δὲ ἀπὸ ποταμῶν ἐξυδρίας, ἀπὸ δὲ κόλπων κολπίας, ἀπὸ δὲ ὀρῶν ὀρίας ἢ ὀρεστίας καὶ παρὰ Ἀριστοτέλει ἐν τῶι Περὶ ἀνέμων* (II p. 973. Arist pseud p. 622) *καὶ παρὰ Καλλιμάχωι* (fr 39 II p. 170 Schn), *ὥστε καὶ ἀπὸ τόπων τινὰς λέγεσθαι, οἷον Καικίαν τὸν ἀπὸ Καΐκου τοῦ ποταμοῦ πνέοντα καὶ Σκείρωνα τὸν ἀπὸ τῶν Σκειρωνίδων πετρῶν. τινὲς δὲ ἀπὸ ὁρμῆς ὠνομάσθησαν, ὡς οἱ σφοδρῶς ῥέοντες καταιγίδες καὶ οἱ μετὰ παλμοῦ τινος καὶ πηδήματος θύελλαι. οἳ δὲ ἀπὸ σχήματος λέγον-* 988 M. *ται, ὥσπερ οἱ μετὰ δινήσεως στρόβιλοι καὶ οἱ κάτωθεν εἰς ὕψος φερόμενοι πρηστῆρες.* ‖*ἐπραγματεύσατο δὲ περὶ ἀνέμων* Ach *καὶ Ἐρατοσθένης* (p. 165 Bernh).

Plutarchus Plac III 7 p. 374 sq.

‖*οἱ δὲ γενικώτατοι ἄνεμοι τέσσαρές εἰσι, καὶ ὁ μὲν ἀπὸ ἀνατολῶν πνέων καλεῖται ἀπηλιώτης, ὁ δὲ ἀπὸ τοῦ ἀρκτικοῦ πόλου βορέας, ὁ δὲ ἀπὸ τοῦ ἀνταρκτικοῦ νότος, ὁ δὲ ἀπὸ δύσεως ζέφυρος· ζόφος γὰρ ἡ δύσις κατὰ τοὺς ποιητάς.*

---

2 *μετάρσια μετεώρων* M ‖ 4 *ἀέρος* M | *κ. ὑπὸ γῆς* V ‖ 5 *ομβριοι* V ‖ 6 *πωγωνίαι* M | *διάττοντες* VM ‖ 7 *δὴ* M ‖ 15 suppl Vict ‖ 16 *ἐνυδρίας* VM: corr Rose | *τοὺς δὲ ἀπὸ κ.* M | *ἐγκολπίας* 'De mundo' 394 b al ‖ 17 *γὰρ* ante *παρὰ* M ‖ 18 *καλλιμάχου* V | post *Καλλ. οὕτως ὀνομάζονται* M ‖ 19 *ὡς* V | *τινῶν φασι* post *τόπων* V ‖ 20 *κεκίαν* VM: corr Vict | *κάιος* M | *τοῦ* om M ‖ 21 *τῶν ἀ. τ.* V | *τῶν* om M ‖ 22 *οἱ* ante *σφ.* om M | *ῥέοντες* cf l. 13 | *καταιγίδες* om M ‖ 29 *ζόφος* scripsi e Plut: *ζέφος* VM

34. *Περὶ κομητῶν.*

‖*Περὶ δὲ κομητῶν καὶ δοκίδων ἐπραγματεύσαντο πολλοί,* Ach
ὥσπερ καὶ Δημήτριος. ‖*εἰσὶ δὲ οὐκ ἐν οὐρανῷ, ἀλλ' ἐν τῷι*
ἀέρι. οἱ μὲν οὖν κάτω τὸ φῶς ἔχοντες καὶ τὰς μαρμαρυγὰς cf Posidonius
κάτω νευούσας καλοῦνται κομῆται, οἱ δὲ ἄνω τὸ φῶς νενευκὸς p. 79 sqq. Bake (Seneca NQ VII 11 al)
ἔχοντες καλοῦνται λαμπάδες. ὁπότε δὲ ἐπίμηκες ἔχουσι τὸ φῶς,
καλοῦνται δοκίδες. ὁπότε δὲ ἰκματῶδες φῶς ὁρᾶται, καλεῖται
Ἶρις. ὅταν δὲ περὶ τὸν ἥλιον ἢι κύκλος (ἐνίοτε καὶ δύο καὶ
τρεῖς γίνονται, ὅθεν καὶ Ἄρατος εἶπε (v. 816, Ecl XV) *'τριέλικτον*
ἁλωήν'), ἅλως καλεῖται. ἐὰν δὲ ἀπὸ ἀστέρων ὦσις τοῦ φωτὸς
γένηται ἐπὶ τὰ κάτω, καλοῦνται ῥυμοὶ καὶ ῥύακες· ἀπὸ δὲ
τόπου εἰς τόπον μετερχόμενοι καλοῦνται ἄιττοντες καὶ διάιτ-
τοντες. γίνεται δὲ τοῦτο τῶν ἀστέρων ὑπὸ πνεύματος τινασσο-
μένων καὶ οἱονεὶ σπινθῆρας ἀφιέντων, διὸ καὶ σημεῖον ἀνέμων
εἶπεν Ἄρατος τοῦτο (v. 926). *καὶ Φάτνην δὲ νέφος πεφωτισ-*
μένον περὶ τὸν Καρκίνον φασίν, ὡς καὶ Ἄρατος (v. 892). *ἀκο-*
λούθως δὲ ταύτηι καὶ Ὄνους λέγουσι περὶ τὸν Καρκίνον ἀστέρας
εἶναι. τοὺς δὲ κομήτας καὶ τοὺς τοιούτους οἱ μὲν λέγουσιν ἐξ
159 P. *ἀστέρων συνερχομένων γίνεσθαι καὶ ἐμφωτιζομένων, οἱ δὲ ἐκ*
νεφῶν περιπεφωτισμένων, ἄλλοι δὲ ἐκ παρατρίψεως αὐτοὺς
φωτίζεσθαι λέγουσιν. οὐ φαίνονται δὲ ἀεί, ἀλλὰ γίνονται κατὰ
περιόδους χρόνων. ὅτε μὲν οὖν συγκρούονται αἱ νεφέλαι πρὸς
ἀλλήλας, βροντὰς ποιοῦσι, ῥαγεῖσαι δὲ καὶ πνεῦμα μετὰ ῥύμης
καὶ σφοδρᾶς ὁρμῆς ἀφεῖσαι κεραυνοὺς ποιοῦσι διὰ τῆς ῥύμης
ἀναπτομένου τοῦ πνεύματος. ἀστραπαὶ δὲ γίνονται ἤτοι ἐξ
αὐτῶν πάλιν τῶν νεφῶν φωτὸς ἀναπτομένου καὶ σβεννυμένου ἢ
ἐκ πυρὸς μαρμαρυγῆς ἐκπεμπομένης. ὄμβροι δὲ ἐξ ὑγρασίας
ἀναδόσεως καὶ νεφελῶν ὑγρῶν γίνονται. ταῦτα μὲν οὖν ὡς ἐν
ὀλίγωι περὶ μεταρσίων.

35. *Περὶ θέσεως.*

‖*Εἰδέναι χρὴ περὶ τῆς θέσεως τῆς σφαίρας, ὡς οὐκ ἔστι* Ach
μία ἀλλ' ὁπόσα τὰ κλίματα τῆς γῆς, πρὸς ἃ καὶ αἱ θέσεις τῆς

---

5 *νεύοντες* V | *τὸ φῶς* om V ‖ 7 *καὶ δοκίς* post *δοκίδες* V ‖ 8 ⟨*οἷον*⟩ ante *ἐνίοτε* supplet Wil | *δὲ* post *ἐνίοτε* M ‖ 11 *οἱ δὲ ἀπὸ* M ‖ 12 *ἄττοντες* et *διάττοντες* VM ‖ 19 *αὐτοὺς* post *γίν.* V ‖ 21 *γίνεσθαι* V ‖ 23 *ποιοῦσιν* M ‖ 24 *ἀφῆσαι* M ‖ 27 scripsi: *μαρμαρυγαί εἰσιν ἐκπεμπόμεναι* VM | *ὑγρᾶς ἀναδόσεως* M ‖ 30 ⟨*τῆς σφαίρας*⟩ post *θ.* supplet Pet ‖ 32 *ἀλλ' ὁπόσα* scripsi: *ἀλλὰ πρὸς* VM | *πρὸς ἃ* om M

σφαίρας γίνονται. λεκτέον δὲ περὶ ὀλίγων, καὶ τότε τῆς κατὰ τὸν Ἄρατον ἀψόμεθα. θέσις τίς ἐστι κατὰ τὸ Ἑλλησποντιακὸν καὶ τῆς Μακεδονίας κλίμα· παρὰ γὰρ Ἀντιγόνωι διατρίβων Ἄρατος, τῶι τῆς Μακεδονίας βασιλεῖ, πρὸς τὸ αὐτόθι κλίμα καὶ τὴν διδασκαλίαν τῶν φαινομένων πεποίηται. ἐὰν μὲν οὖν οἱ πόλοι πρὸς τῶι ὁρίζοντι τὴν θέσιν ἔχωσιν ὥστε ἐφάπτεσθαι τοῦ ὁρίζοντος, συμβήσεται μήτε τὸν ἀρκτικὸν μήτε τὸν ἀνταρκτικὸν ἀείφανῆ εἶναι, ἀλλ' ἑκάτερον τούτων ἡμικύκλιον ἀνατέλλειν ἀεὶ καὶ δύνειν. ἐὰν δὲ τὸν βόρειον πόλον ὑψηλότερον ποιήσωμεν τοῦ ὁρίζοντος, πρὸς τὸ γινόμενον ἔξαρμα καὶ ὕψος αὐτοῦ καὶ τὰ κλίματα τῆς γῆς ἕξει τὰ μεγέθη τῶν ἡμερῶν καὶ τῶν νυκτῶν διάφορα. δῶμεν ξ μοιρῶν κύκλον τέμνοντα τὴν σφαῖραν διὰ τῶν πόλων, ὥσπερ τοὺς κολούρους. δῆλον οὖν, ὅτι ἕκαστον τῶν ἡμισφαιρίων ἕξει ἀνὰ λ', τὸ δὲ ὑπὲρ γῆν μοίρας λ' ἀπὸ τοῦ ὁρίζοντος μέχρι τοῦ πόλου. ἐὰν οὖν μετεωρίσω τὸν βόρειον πόλον μοίρας ς', ἔσται τοῦ Ἑλλησπόντου τὸ κλίμα καὶ ἡ ἡμέρα μεγίστη ὡρῶν ιε', ἡ δὲ νὺξ ⟨ἐλαχίστη⟩ θ' χειμῶνος. ἐὰν δὲ μὴ μόνον ἓξ ἀλλ' ἐννέα ἀπὸ τοῦ ὁρίζοντος μετεωρίσω τὸν βόρειον πόλον, μακροτέρα ἔσται ἡ μεγίστη ἡμέρα παρὰ τοῖς οὕτως οἰκοῦσιν ἢ τοῖς προειρημένοις ἐν τῶι Ἑλλησπόντωι. καὶ πάλιν, ἐὰν ὑψηλότερον αὐτὸν ποιήσω καὶ πολὺ ἀπὸ τοῦ ὁρίζοντος ἀπέχοντα, μακρότεραι εὑρεθήσονται αἱ ἡμέραι, ἕως οὗ ἂν ὁ βόρειος πόλος μεσουρανίαν τὴν θέσιν σχῆι, καὶ τότε οὕτως κειμένης τῆς σφαίρας συμβήσεται ἓξ μηνῶν εἶναι τὴν ἡμέραν καὶ ἓξ μηνῶν τὴν νύκτα· μεσουρανοῦντος γὰρ τοῦ βορείου εὑρεθήσεται ὁ ζωιδιακὸς ὑπὸ τοῦ ὁρίζοντος δίχα τεμνόμενος καὶ τὸ ἥμισυ ὑπὲρ γῆν καὶ τὸ λοιπὸν ἥμισυ ὑπὸ γῆν ἀεὶ ἔχων. τούτου δὲ ὄντος δῆλον, ὅτι καὶ ἓξ ζώιδια ὑπὲρ γῆν ἔσται, ταῦτα, ἐν οἷς ὁ ἥλιος γενόμενος καὶ καθ' ἕκαστον λ' ἡμέρας ποιῶν ποιήσει τὴν ἡμέραν μηνῶν ς', τὰ δὲ ἄλλα ς'

989 M. 160 P.

4, 5 *καὶ τὴν διδασκαλίαν* om V ‖ 10 *πρὸς τοῦτο* post *αὐτοῦ* V ‖ 12 *δῶκεν* M ‖ 13 *κολλούρους* M ‖ 14 *τριάκοντα* M | *τὸ* corr Pet: *τῶν* VM | *δὴ ὑ.* coni Pet | *γῆς* M | *μ* V (ut fere semper) ‖ 15 *οὖν* om V ‖ 16—18 scripsi e V et supplevi e M: *κλίμα ἔχον τὴν μὲν ἡμέραν τὴν μεγίστην ὡρῶν ιε' τὴν δὲ νύκτα τὴν ἐλαχίστην ὡρῶν θ'* M ‖ 18 *μόνον* post *ἓξ* iterum V | *ὁρίζωντος* M ‖ 21, 2 *π. αὐτοῦ τοῦ* M ‖ 22 *ἡμέραι* corr Pet: *ὧραι* VM ‖ 23 *οὗ ἄν* scripsi: *οὗ* V, *ἄν* M | *μεσουρανίαν* scripsi: *-νῶν* V, *-ήσηι* (ante *πόλος*) M | *σχῆι* vel *ἔχηι* V ‖ 26 *πόλου* post *βορ.* M | *εἰς* ante *δ.* delevi | *δύο* M ‖ 27 *μὲν* ante *ἥμ.* M | *γῆς τὸ δὲ λοιπὸν* M ‖ 28 *οὕτως* ante *ὄντος* M | *δῆλ. ὡς* M | *ζώδια* VM ‖ 29 *γῆς* M | *δηλονότι* post *ταῦτα* M ‖ 30 *μ. ἓξ* M | *δ'* M

ζώιδια ἀεὶ ἀφανῆ καὶ ὑπὸ γῆν ἔσται, ἐν οἷς ὁ ἥλιος γινόμενος ποιήσει τὴν νύκτα μηνῶν ς′ διὰ τὸ μὴ ἀνατέλλειν ἐν τοῖς ς′ τούτοις γινόμενον αὐτόν. ταῦτα δὲ ἡμῖν εἰλήφθω τῆς ἀνωμαλίας τῶν ἡμερῶν καὶ νυκτῶν χάριν. χρὴ δὲ εἰδέναι, ὅτι λόγωι καὶ θεωρίαι ταῦτα κατ' ἀκολουθίαν ἐκ τῶν φανερῶν ἐδείχθη ἀφανῆ ὄντα· οὐ γὰρ ἔχομεν ἀπὸ ἐμπειρίας ἓξ μηνῶν τὴν ἡμέραν καὶ τὴν νύκτα ἓξ μηνῶν δεῖξαι. τινὲς δὲ ἱστοροῦσιν ἡ ἡμερῶν ἔκτασιν μιᾶς ἡμέρας, ἄλλοι δὲ π′ ἡμερῶν. εἰσὶ δὲ οὗτοι οἱ ὑπὲρ Θούλην τὴν νῆσον λεγόμενοι εἶναι. ἡ μὲν οὖν κατὰ τὰ κλίματα διαφορὰ τῶν ἡμερῶν τε καὶ νυκτῶν παραδείγματος χάριν τοῦτον τὸν τρόπον ἡμῖν εἴρηται.

‖ ἡ δὲ κατὰ τὰ Φαινόμενα Ἀράτου τῆς σφαίρας θέσις ὀφείλει Ach
ἔχειν τὸν ἀρκτικὸν κύκλον τοῦ ὁρίζοντος ἐφαπτόμενον τῆς τε τοῦ Δράκοντος κεφαλῆς ἐφαπτομένης τοῦ ἀρκτικοῦ κύκλου, αὐτοῦ δὲ τοῦ ἀρκτικοῦ ἐφαπτομένου τοῦ ὁρίζοντος καὶ ὥσπερ ξύοντος. διὸ καὶ Ἄρατός φησιν (v. 61, 2, Ecl V)·

κείνη που κεφαλὴ τῆι νίσσεται, ἧιχί περ ἄκραι
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἠελίοιο.

τὸν γὰρ ὁρίζοντα μεταξὺ τοῦ ὑπὲρ γῆν καὶ ⟨τοῦ⟩ ὑπὸ γῆν ἡμισφαιρίου εἶναι συμβέβηκεν. τινὲς δὲ οὐκ ἐπὶ τοῦ ὁρίζοντος ἀκούουσιν ἀλλ' ἐπὶ τοῦ μεσημβρινοῦ τὸ ὑπὸ τοῦ Ἀράτου λεχθέν, διότι τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου τεμνομένου ὑπὸ τοῦ μεσημβρινοῦ τὸ μέν ἐστι πρὸς τῆι ἀνατολῆι, τὸ δὲ πρὸς τῆι δύσει. ἐμοὶ δὲ οὐ πάνυ τι δοκεῖ τοῦτο λέγειν Ἄρατος, εἰ μὴ ἄρα τις οὕτω λέγοι τὴν κεφαλὴν τοῦ Δράκοντος πορεύεσθαι (v. 61, 2, ib.)

ἧιχί περ ἄκραι
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἠελίοιο,

καθ' ὃ τοῦ ὁρίζοντος ἐφαπτομένη ἡ κεφαλὴ τοῦ Δράκοντός ἐστι καὶ πρὸς τῶι μεσημβρινῶι, καθ' ὃ συμβολὴ γίνεται τοῦ μεσημβρινοῦ καὶ τοῦ ὁρίζοντος καὶ τέμνουσιν ἀλλήλους. καὶ διὰ

---

1 *γενόμενος* M ‖ 2 *μ.* ἓξ M | ἓξ M ‖ 4 *τε καὶ ν.* M ‖ 6 *μηνῶν* om V ‖ 7 ἓξ *μηνῶν* V: *τοσούτων* M | *ὀκτὼ* M ‖ 9, 10 *εἰ μὲν — διάφοροι νύκτες καὶ ἡμέραι παραδ.* V ‖ 12 supra *ρ* vocis *ἀράτου* superscriptum videtur *ο* ‖ 13 cf c. 22. 26 al | *τήν τε* M ‖ 14 *κεφαλῆς* scripsi: *τῆς κεφαλῆς* V, *κεφαλὴν* M | *ἐφαπτομένην* M ‖ 14—16 *αὐτοῦ δὲ — ξ.* om M ‖ 16 *ξύοντος* scripsi (cf v. 650): *ξέειν αὐτόν* V | *φησί* VM ‖ 18 *ἀνατολαί* V ‖ 21, 2 *ἐπὶ — τεμνομένου* om V ‖ 22 *γῆς* M ‖ 24 *π. τοι* M ‖ 28 *ἀνατολαί* V ‖ 29 *καθὸ* VM | *ἐστιν* post *ἐφαπτ.* M ‖ 30 *μεσημβρηνῶι* M | *καθο* M, *καθὰ* V ‖ 30, 1 *μεσυμβρηνοῦ* M

τούτου περὶ Κηφέως λέγων τὸν αὐτὸν ἐνέφηνεν ἡμῖν ὁ Ἄρατος (v. 182)· *τούτου γὰρ τὰ ἀπὸ τῆς ζώνης ἕως τῶν ποδῶν ἐντός* 161 P.
ἐστι τοῦ ἀρκτικοῦ. ἐπεὶ δὲ ὁ ἀρκτικὸς κύκλος οὐδέποτε κατα-
δύεται, ἡ δὲ ζώνη τοῦ Κηφέως ἐν τῇ περιφερείαι ἐστὶ τοῦ
ἀρκτικοῦ κύκλου, τὸν ὁρίζοντα διὰ τῆς ζώνης αὐτοῦ ἐμφαίνει
(v. 649—652, Ecl V)·

ὃ δὲ ζώνηι τότε Κηφεύς
γαῖαν ἐπιξύει, τὰ μὲν ἐς κεφαλὴν μάλα πάντα
βάπτων Ὠκεανοῖο, τὰ δ' οὐ θέμις, ἀλλὰ τά γ' αὐτόν
Ἄρκτοι κωλύουσι, πόδας καὶ γοῦνα καὶ ἰξύν.

Ἄρκτους δ' εἶπε νῦν τὸν ἀρκτικὸν κύκλον. τὰ μὲν οὖν τῆς θέ- 992 M.
σεως ταῦτα.

Ach ‖*τὸν δὲ ἐξηγούμενον ἐν δεξιᾶι χρὴ τὸν βόρειον πόλον ἔχειν*
καὶ ἐν ἀριστερᾶι τὸν νότιον, ἐπειδὴ αἱ Ἄρκτοι ἐπὶ ἀνατολῶν
ἐν δεξιᾶι κεῖνται, ἐν ἀριστερᾶι δὲ ὁ νότος. τινὲς δὲ τῶν ἐξ-
ηγουμένων βούλονται ἔμπροσθεν μὲν τὰς Ἄρκτους, ὀπίσω δὲ
τὸν νότον, δεξιὰ⟨ς⟩ δὲ τὰς ἀνατολάς, ἀριστερὰ⟨ν⟩ δὲ τὴν δύσιν
ἔχειν, ἴσως ἀπὸ τῶν Ὁμηρικῶν ἐπῶν κινηθέντες (Il XII 239 sq.)

εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε
εἴτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα

οὐκ εἰδότες, ὡς ὁ ποιητὴς πρὸς τὴν τῶν τόπων ἐκείνων θέσιν
δεξιὰ μὲν τὰ ἀνατολικά, ἀριστερὰ δὲ τὰ δυτικὰ εἶπεν. ἡ δὲ
τοῦ κόσμου θέσις, καθὰ προεῖπον (l. 13), *δεξιὰς ἔχει τὰς Ἄρκτους,*
καὶ οὕτως τιθέναι χρὴ τὴν σφαῖραν τὸν ἐξηγούμενον.

36. *Περὶ κινήσεως.*

Ach ‖*Χρὴ τὸν ἐξηγούμενον ἐπὶ τὰ ἐναντία περιδινεῖν τὴν σφαῖ-*
ραν· εἰ γάρ τις ἀπὸ τῶν ἐναντίων ἐφ' ἑαυτὸν περιδινήσει τὴν
σφαῖραν, αἱ Ἄρκτοι ἐν ἀριστερᾶι ἔσονται τῶν ἀνατολῶν, ὁ δὲ
νότος ἐν δεξιᾶι. ὅπερ ἀδύνατον. ὅτι δέ, ὡς εἶπον, χρὴ τὴν
σφαῖραν κινεῖν, διδάξει ἡμᾶς αὐτὸς Ἄρατος (Ecl IV), *ποτὲ μὲν*
περὶ τῶν Ἄρκτων λέγων (v. 29, 30)

---

1 *τούτου* scripsi: *τοῦτο* VM | *λόγου* V ‖ 3 *δὴ* V ‖ 7 *ἡ* V | *ζώνη* VM ‖ 8 *γαῖαν* M: *τε* V | *ἐπὶ ξύι* V | *ἐν κεφαλῆι* V ‖ 9 *ἀλλ' ἀτὰρ αὐτοί* V, *ἀλλὰ τά γ' αὐταί* M ‖ 10 *ἄρκτου* V ‖ 11 correxi: *ἀρίστους δειπενύλιον τὸν ἀρκτικὸν κύκλον* V, om M ‖ 15 *κεῖνται* V in margine ‖ 17 supplevi | *δὲ* ante *τὴν* om V | 19 *δεξίωσι* V, *δεξιὰ* sequente lacuna 4 litt M ‖ 20 *τῶι γε* M ‖ 21 *τῶν* om V ‖ 26 *περὶ τὰ* V ‖ 28 *ἐν* om M | *ἀριστεραὶ* V, *-ὰ* M ‖ 29 *ἐν δεξιὰ* M

αἰεὶ δὲ κατωμάδιαι φορέονται
ἔμπαλιν εἰς ὤμους τετραμμέναι
ποτὲ δὲ ἐπὶ τοῦ Ὀφιούχου λέγων (v. 577, 8)
τὸν δὲ καὶ εἰς ὤμους κατάγει μογερὸν Ὀφιοῦχον
162 P. 5 *Καρκίνος ἐκ γονάτων, κατάγει δ' Ὄφιν αὐχένος ἐγγύς.*
καὶ πάλιν (v. 594, 5)·
ἀντέλλει δ' Ὕδρης κεφαλὴ χαροπός τε Λαγωός
καὶ Προκύων προτεροί τε Κυνὸς πόδες αἰθομένοιο.
καὶ πάλιν (v. 625, 6)·
ἥμισυ δὲ Στεφάνοιο καὶ αὐτὴν ἔσχατον οὐρήν
Κενταύρου φορέουσιν ἀνερχόμεναι ἔτι Χηλαί.
καὶ περὶ τοῦ Κήτους (v. 632, 3)·
καὶ τὸ μὲν εἰς λοφιὴν τετραμμένον ἄχρι παρ' αὐτήν
δύνει, ἀτὰρ Κηφεὺς κεφαλῇι καὶ χειρὶ καὶ ὤμοις.
καὶ πάλιν (v. 693—695)·
Ἵππος δ' Ὑδροχόοιο νέον περιτελλομένοιο
ποσσί τε καὶ κεφαλῇι ἀνελίσσεται· ἀντία δ' Ἵππου
ἐξ οὐρῆς Κένταυρον ἐφέλκεται ἑσπερίη Νύξ.
ταῦτα μὲν ὡς ἐν βραχεῖ περὶ κινήσεως.

37. *Περὶ ἄστρων δύσεώς τε καὶ ἀνατολῆς.*

993 M. *Τῶν ἄστρων τὰ μέν ἐστιν ἀειφανῆ, τὰ δέ ποτε μὲν φαινόμενα, ποτὲ δὲ ἀφανῆ γινόμενα. ἀειφανῆ μὲν οὖν ἐστι τὰ ἐντὸς τοῦ ἀρκτικοῦ κύκλου· οὐδέποτε γὰρ καταδύεται ταῦτα, ἐπειδὴ μηδὲ ὁ περιέχων αὐτὰ κύκλος, ἀλλ' ἔστιν ἀεὶ ἐν τῶι ὑπὲρ γῆς ἡμισφαιρίωι ἀειφανὴς μετὰ καὶ τῶν ἐν αὐτῶι ἄστρων, ἀφανῆ δὲ τὰ ἐντὸς τοῦ ἀνταρκτικοῦ κύκλου, ἐπειδὴ καὶ αὐτὸς ἀεὶ ἀφανής ἐστιν. τῶν δὲ λοιπῶν ἄστρων τὰ μέν ποτε μὲν ἀνατέλλει, ποτὲ δὲ δύνει, τὰ δὲ τῆς αὐτῆς νυκτὸς καὶ ἀνατέλλει καὶ δύνει. οἷον ἔστω ὁ ἥλιος ἐν Κριῶι· τούτου ἀνατέλλοντος προανατέλλει Ἵππος· ἐν Χηλαῖς δὲ ὄντος τοῦ ἡλίου καὶ ἀνατέλλοντος δέδυκεν ἤδη Ἵππος· ὥστε ποτὲ μὲν φαίνεται ἀνατέλλων Ἵππος, ποτὲ δὲ δύνων. ὁμοίως δὲ καὶ τὰ ἄλλα ἄστρα ἀπὸ θερινοῦ τροπικοῦ μέχρι τοῦ χειμερινοῦ· τὰ γὰρ ἐν τῶι* Ach?

---

2 ἔμπαλιν εἰς M: καὶ ἐς V ‖ 7 τε om V ‖ 8 πόδες κυνὸς M ‖ 11 φορίουσιν V ‖ 13 τὰ V | ἐς M ‖ 14 ὤμωι M ‖ 16 ὑδροχόο V ‖ 16, 7 περιτελλ. — κεφαλῆι om V ‖ 21 ἃ μὲν V | τὰ δὲ π. μὲν φ. M: καὶ τὰ μὲν π. φ. V ‖ 24 γῆν V ‖ 28 ἐπὶ ante τῆς M ‖ 31 φαίνει V | ὁ Ἵ. M ‖ 33—p. 74, 1 μέχρι τοῦ θερινοῦ ἀνταρκτικοῦ πρὸς τ. ν. V

ἀνταρκτικῶι τῶι πρὸς τῶι νότωι ὄντα βράδιον ἀνατέλλοντα δύνει ταχέως διὰ τὸ πλεῖον εἶναι μέρος τῆς σφαίρας ὑπὸ γῆν πρὸς τῶι νότωι. ἀνάπαλιν δὲ τὰ βορειότερα καὶ μεταξὺ ἀρκτικοῦ κύκλου καὶ ἰσημερινοῦ ταχέως ἀνατέλλοντα βραδέως δύνει διὰ τὸ πλεῖον ἔχειν μέρος ὑπὲρ γῆς τῆς σφαίρας πρὸς τῶι βορρᾶι. συμβήσεται οὖν τινα τῶν ἐνταῦθα κειμένων ἄστρων τῆς αὐτῆς 163 P. νυκτὸς ἀνατέλλειν καὶ δύνειν, ἃ καλεῖται ἀμφιφανῆ. παραδείγματος δὲ χάριν παρειλήφθω ὁ Ἐνγόνασι καὶ ἔστω ὁ ἥλιος ἐν Τοξότηι καὶ ἀνατελλέτω ἐν αὐτῶι· πάλιν δυέτω δύνοντος ἡλίου· ἑσπέρα ἐστὶ καὶ νύξ· ὁ δὲ Ἐνγόνασιν οὐδέπω δέδυκεν, ἀλλ' ἐπιμείνας ἐν τῶι ὑπὲρ γῆς ἡμισφαιρίωι πρὸς τῆι δύσει δύνων ὕστερον τῆς αὐτῆς νυκτὸς προλαμβάνει τὴν τοῦ ἡλίου ἀνατολὴν καὶ τοῦ Τοξότου προανατέλλων αὐτῶν καὶ ὕστερον αὐτῶν δύνων. δηλοῖ γοῦν τοῦτο Ἄρατος λέγων (v. 616—618, Ecl. XII)·

ὄντινα τοῦτον ἄιστον ὑπουρανίων εἰδώλων
ἀμφότερον δύνοντα καὶ ἐξ ἑτέρης ἀνιόντα
πολλάκις αὐτονυχεὶ θηεύμεθα.

38. Ὅτι δύσεις διτταὶ καὶ ἀνατολαί.

Ach? ‖ Δύσις δὲ ἄστρων ἐστὶ διττὴ καὶ ἀνατολή, καὶ ἡ μὲν ἑώια λέγεται, ἡ δὲ ἑσπερία, ἑώια μὲν ἀνατολή, ὅταν συνανατέλληι τῶι ἡλίωι ἄστρα καὶ μὴ μετ' αὐτόν, ἑσπερία δέ, ὅταν δύνοντος ἡλίου ἀνατέλληι τινὰ τῶν ἄστρων. δύσις δὲ ἑώια ἐστίν, ὅταν ἡλίου ἀνατέλλοντος δύνηι τὰ ἄστρα τάδε ἢ τάδε, ἑσπερία δέ, ὅταν συγκαταδύηι αὐτῶι.

39. Ὅτι διαφέρει ἀνατολὴ ἐπιτολῆς.

o Posidonio? cf Arius Didym p. 466 D. ‖ Διαφέρει δὲ ἀνατολὴ ἐπιτολῆς· ἀνατολὴ μὲν γάρ ἐστιν ἡ ἅμα τῶι ἡλίωι ὑπὲρ τὸν ὁρίζοντα ἀναφορά, ἐπιτολὴ δέ, ὅταν πρὸ ἡλίου ὑπὸ τὴν ἕω ἀνατείληι ἄστρον, εἶτα ἐπ' αὐτῶι ὁ ἥλιος

Ach ἐπιτείληι. ‖ δεῖ δὲ εἰδέναι, ὅτι πάσης ὥρας περιφερομένης καὶ περιδινουμένης τῆς σφαίρας ἀνάγκη ἐστὶ καὶ τὰ ἄστρα παντὶ

---

1 *νότον* (omisso articulo) M ‖ 3 *βόρεια τα μετ.* M ‖ 5 *γῆν* V | *τὴν σφαῖραν* M | *τὰ* ante *πρὸς* V | *βορέα* M ‖ 6 *ὑπὸ* ante *τῆς* M ‖ 9 *ἀνατελλέτω* scripsi: *-ει* VM; *-ηι* coni Pet ‖ 11 *γῆν* V ‖ 12 *δύνας* V | *ἐπὶ* ante *τῆς* (cf l. 6) M ‖ 13,4 *καὶ τὸ ὕ. αὐτ. δύνας* V ‖ 16 *ὑπ' οὐρανίων* V, *ἐπ' οὐρανίων* M ‖ 17 *ἀμφοτέρων* V | *ἑτέρας* V ‖ 18 *αὐτονυχὶ* V ‖ 22 *ὡς* post *ἡλίωι* del Pet | *αὐτοῦ* M ‖ 26 *ὅτι* om M ‖ 29 *ἑώιαν ἀ.* V |

καιρῷ, καὶ ἐν ἡμέραι καὶ ἐν νυκτί, εἶναι ἐν οὐρανῷ συμπεριδινούμενα, μὴ φαίνεσθαι δὲ ἐν ἡμέραι τῇ ὑπερβολῇ τῆς λαμπρότητος τοῦ ἡλίου καλυπτόμενα. ἀνατολὴν δὲ οὐ λεκτέον ἄστρου, ἐὰν δευτέραι ὧραι ἢ τρίτηι ἀναφέρηται ὑπὲρ γῆς, ἀλλὰ
996 M. 5 τότε μόνον, ὅτε ἅμα ἡλίωι ἀνατέλλει. ὁμοίως δὲ καὶ δύσιν, ὅτε σὺν αὐτῷι δύνει.

‖ 40. ἐπὶ δὲ πᾶσι χρὴ εἰδέναι, ὅτι οὔτε Κηφεὺς οὔτε Κασσιέπεια οὔτε Ἀνδρομέδα ἐστὶν ἐν οὐρανῷ· γελοῖον γὰρ ὑπονοεῖν πρὸ τούτων ἀκαταστέριστον τὸν οὐρανόν (ἀεὶ γὰρ ἦσαν Ach?
10 ἀστέρες καὶ πρὸ Περσέως καὶ Ὡρίωνος). διὸ καὶ ἐν διαφό-
164 P. ροις ἔθνεσι διάφορα καὶ τὰ ὀνόματα τῶν ἀστέρων ἔστιν εὑρεῖν. ἐν γοῦν τῇι τῶν Αἰγυπτίων σφαίραι οὔτε ὁ Δράκων ἐστὶ νομιζόμενος ἢ ὀνομαζόμενος οὔτε Ἄρκτοι οὔτε Κηφεύς, ἀλλ' ἕτερα σχήματα εἰδώλων καὶ ὀνόματα τεθειμένα. οὕτω δὲ καὶ ἐν τῇι
15 τῶν Χαλδαίων. Ἕλληνες δὲ ταῦτα τὰ ὀνόματα ἔθεντο τοῖς ἄστροις ἀπὸ ἐπισήμων ἡρώων πρὸς τὸ εὐκατάληπτα εἶναι καὶ εὔγνωστα· ἀνώνυμα γὰρ ὄντα πολλὴν παρεῖχε ταραχὴν τοῖς περὶ ταῦτα σπουδάζουσιν. περὶ πολλοῦ δὲ μάλιστα τούτων τὴν γνῶσιν ἐποιοῦντο εἰδέναι οἱ περὶ γεωργίαν καὶ ναυτιλίαν τὸν βίον ἔχον-
20 τες· ἐκ γὰρ τῶν ἀνατολῶν καὶ δύσεων αὐτῶν τὸν καιρὸν τοῦ πλοῦ καὶ τοῦ τρυγητοῦ ἐσημειοῦντο.

ΤΩΝ ΑΡΑΤΟΥ ΦΑΙΝΟΜΕΝΩΝ ΠΡΟΣ ΕΙΣΑΓΩΓΗΝ ΕΚ ΤΩΝ ΑΧΙΛΛΕΩΣ ΠΕΡΙ ΤΟΥ ΠΑΝΤΟΣ.

---

4 *γῆν* V ‖ 6 *δύνει* om V ‖ 6,7 discrevi coniuncta ‖ 7 *πάσῃ* V ‖ 11 *ἄστρων* M ‖ 17 correxi cf Aratus v. 373—385: *εὐώνυμα* VM | *ταραχὴν* superscripsit V ‖ 20 *τῶν* ante *δ.* iterum M ‖ 22,3 V: *τέλος τῶν ἀχιλλέως πρὸς εἰσαγωγὴν εἰς τὰ ἀράτου φαινόμενα* M (cf inscriptionem c. 1).

2

COMMENTARII FRAGMENTUM

I ΓΕΝΟΣ ΑΡΑΤΟΥ ΚΑΙ ΒΙΟΣ

Asclepiades ‖ 1. *Ἄρατος ὁ ποιητὴς πατρὸς μὲν ἦν Ἀθηνοδώρου, μητρὸς* 1153 M. 268 P
δὲ Λητοφίλας, ἀδελφοὺς δὲ ἔσχε τρεῖς, Μύριν καὶ Καλλώνδαν καὶ Ἀθηνόδωρον ὁμώνυμον τῶι πατρί. μέμνηται δ' αὐτοῦ τῶν ἀδελφῶν ἐν ταῖς εἰς αὐτὸν ἀναφερομέναις Ἐπιστολαῖς. Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς ἐν τῶι ια΄ Περὶ γραμματικῶν Ταρσέα φησὶν αὐτὸν γεγονέναι ἀλλ' οὐ Σολέα, Καλλιμάχου πολυΐστορος ἀνδρὸς καὶ ἀξιοπίστου Σολέα λέγοντος αὐτὸν γεγονέναι διὰ τούτων (Epigr XXVII)

ἀλλ' ὀκνέω, μὴ τὸ μελιχρότατον
τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο

καὶ τῶν ἄλλων σχεδὸν πάντων.

Ach ‖ 2. *οἱ δὲ Σόλοι πόλις ἐπιφανεστάτη τῆς Κιλικίας, ἀφ' ἧς πολλοὶ κἀγαθοὶ γεγόνασιν ἄνδρες. καλεῖται δὲ νῦν Πομπηϊούπολις. εἰσὶ δὲ καὶ ἕτεροι Σόλοι τῆς Κύπρου. ἀλλ' οἱ μὲν Κύπριοι Σόλιοι καλοῦνται, οἱ δὲ Κιλίκιοι Σολεῖς, ὡς καὶ διὰ τοῦ προκειμένου Καλλιμαχείου παραδείγματος δῆλον. οὐδὲν δὲ θαυμαστόν, εἰ ἀπὸ τοῦ αὐτοῦ ὀνόματος διάφορα τῶν πολιτῶν*
Apollodorus Comm Hom, cf Strab X p. 457 *τὰ ὀνόματα· ‖καὶ γὰρ Σάις πόλις ἐστὶν ἐν Θράικηι καὶ ἑτέρα ταύτηι ὁμώνυμος ἐν Αἰγύπτωι. ἀλλ' ἀπὸ μὲν τῆς ἐν Αἰγύπτωι* 1156 M.
οἱ πολῖται Σαΐται καλοῦνται, οἱ δὲ τῆς Θράικης Σάιοι, ὡς καὶ Ἀρχίλοχός φησιν (fr 6 B.)

Achilles huius fragmenti scriptor dicitur in subscriptione sub finem adnotata (Aratea p. 16, Proleg II).

2 *Καλιόνδαν* V: corr Bergk (e Suida qui *Καλώνδας*) cf vitam graecam et latinam apud An II ‖ 9 *μελιχρότατον* infra p. 78, 28 et Anth Pal IX 507: *μὲν κράτος* V; *μὴ τοῦ μὲν Ἄρατος* coni Scal

ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνωι,
ἔντος ἀμώμητον, κάλλιπον οὐκ ἐθέλων.

269 P. *καὶ πάλιν Ἀθῆναι μέν εἰσι τῆς Ἀττικῆς, εἰσὶ δὲ καὶ τῆς Εὐ-*
5 *βοίας Ἀθῆναι αἱ Διάδες (μέμνηται ἐν Γλαύκωι ποντίωι Αἰσχύ-*
λος [fr 31 N.] 'κἄπειτ' Ἀθήνας Διάδας παρεκπερῶν'), ἀλλ' ἀπὸ
τῶν ἐν τῆι Ἀττικῆι οἱ πολῖται Ἀθηναῖοι, ἀπὸ δὲ τῶν ἐν Εὐ-
βοίαι Ἀθηνῆται λέγονται, ὥσπερ Ἐρατοσθένης φησὶν ἐν τῶι
πρώτωι Γεωγραφουμένων (p. 352 Berger). *οὕτως οὖν καὶ ἀπὸ*
τῶν ἐν Κιλικίαι Σόλων οἱ πολῖται Σολεῖς, ἀπὸ δὲ τῶν ἐν Κύ-
10 *πρωι Σόλιοι. μέμνηται δὲ τούτων Σόλων ἐν ταῖς Ἐλεγείαις ταῖς*
πρὸς Κυπράνορα τὸν βασιλέα, ὃς συμβουλευθεὶς ὑπὸ Σόλωνος
κτίσαι τὴν πόλιν χάριν τοῦ ἀνδρὸς Σόλους ὠνόμασεν ἀμοιβὴν
ταύτην νέμων τῆς συμβουλῆς αὐτῶι. λέγει δὲ ὁ Σόλων οὕτως
(fr 19 B.)·

15 *νῦν δὲ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων*
τήνδε πόλιν ναίοις καὶ γένος ὑμέτερον·
αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῆι κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος.

3. ‖ *γέγονε δὲ ὁ Ἄρατος κατὰ Ἀντίγονον τὸν τῆς Μακεδονίας* Ign
20 *βασιλέα, ὃς ἐπεκαλεῖτο Γονατᾶς. ἦν δὲ υἱὸς Δημητρίου τοῦ*
Πολιορκητοῦ καὶ γυναῖκα εἶχε Φίλαν τὴν Σελεύκου καὶ Στρατονίκης
θυγατέρα. πάνυ δὲ φιλόλογος γενόμενος καὶ περὶ ποιητικὴν
ἐσπουδακὼς περὶ πολλοῦ ἐποιήσατο πολλοὺς μὲν καὶ ἄλλους
τῶν πεπαιδευμένων ἔχειν παρ' αὐτῶι καὶ δὴ καὶ τὸν Ἄρατον. ὃς
25 *παρὰ τῶι βασιλεῖ γενόμενος καὶ εὐδοκιμήσας ἔν τε τῆι ἄλληι πολυ-*
μαθείαι καὶ ⟨τῆι⟩ ποιητικῆι προετράπη ὑπ' αὐτοῦ τὰ Φαινόμενα
γράψαι, τοῦ βασιλέως Εὐδόξου ἐπιγραφόμενον βιβλίον 'Κάτοπτρον'
δόντος αὐτῶι καὶ ἀξιώσαντος τὰ ἐν αὐτῶι καταλογάδην λεχθέντα
περὶ τῶν φαινομένων μετρικὰ εἶναι καὶ ἅμα εἰπόντος, ὡς 'εὐδο-
30 *ξότερον ποιεῖς τὸν Εὔδοξον ἐντείνας τὰ παρ' αὐτῶι κείμενα*

---

1 *τὴν* Strabo X p. 457 ‖ 2 *ἔντος* corr Brunck al: *ἐντὸς* V ‖ 4 correxi (praeeunte Pet qui *Ἀθῆναι αἱ Διάδες ὧν μ.*, cf Steph Byz al): *ἀθηναίων δαΐδαις μ.* V; *Διάδες Ἀθῆναι ὧν μ.* coni Scal ‖ 5 *Διάδας* corr Valckenaer (Diatribe p. 149): *δαΐδας* V | *παρεκπερῶν* corr Scal: *παρ' ἐκ περσῶν* V; *παρεκπεσών* coni Valckenaer ‖ 7 *Ἀθηνῖται* coni Holsten ‖ 8 *τρίτωι* coni Bernhardy (Eratosthenica p. 85) ‖ 11 *Φιλόκυπρον* Plut (Sol c. 26, cf Herod V 113) ‖ 15 *Σολίοισι* Plut: *-ίηισι* V ‖ 16 *ναίοις* Plut: *δύοις* V ‖ 22 *πάνυ* scripsi: *ἦν* V; *φιλόλογος δὲ* (ejecto *ἦν*) coni Meineke ‖ 24 *αὐτῶι* V ‖ 27 *Κάτοπτρον* corr Scal: *-ου* V ‖ 29 *μετρικὰ εἶναι* scripsi: *μέτρωι εἶναι* V; *μ. ἐκθεῖναι* coni Scal, *ἔμμετρα εἶναι* Pet, *μ. ἐντεῖναι* Westermann (Biogr gr min p. 53) ‖ 30 *ποιήσεις* coni Scal | *ἐντείνας* corr Westerm: *ἐκτείνας* V; *ἐκθεὶς* coni Scal

μέτρωι'. γέγονε δὲ Ἀντίγονος κατὰ τὴν ρκε' Ὀλυμπιάδα, καθ' ὃν χρόνον ἤκμασεν ὁ Ἄρατος καὶ Ἀλέξανδρος ὁ Αἰτωλός. μέμνηται δὲ τοῦ Κατόπτρου Εὐδόξου καὶ Ἀντιγόνου ⟨καὶ⟩ Ἀλεξάνδρου τοῦ Αἰτωλοῦ καὶ ὡς ἠξιώθη ὑπὸ τοῦ βασιλέως γράψαι ἐν ταῖς ἰδίαις Ἐπιστολαῖς Ἄρατος.

4. *λέγεται δὲ ἐσχολακέναι Διονυσίωι τῶι Ἡρακλειώτηι. καὶ τὴν Ὀδύσσειαν δὲ διώρθωσε, καὶ καλεῖταί τις διόρθωσις οὕτως Ἀράτειος ὡς Ἀριστάρχειος καὶ Ἀριστοφάνειος. τινὲς δὲ αὐτὸν εἰς Συρίαν ἐληλυθέναι φασὶ καὶ γεγονέναι παρ' Ἀντιόχωι καὶ* 270 P.
ἀξιῶσθαι ὑπ' αὐτοῦ ὥστε τὴν Ἰλιάδα διορθώσασθαι διὰ τὸ ὑπὸ πολλῶν λελυμάνθαι. οἱ δὲ λέγοντες Νίκανδρον τὸν Κολοφώνιον μετὰ Ἀράτου Ἀντιγόνωι συγκεχρονικέναι καὶ Ἄρατον μὴ εἶναι ἐπιστήμονα τῶν οὐρανίων μήτε Νίκανδρον τῶν ἰατρικῶν (λέγουσι γάρ, ὡς ἄρα ὁ Ἀντίγονος Ἀράτωι μὲν ὄντι ἰατρῶι ἐπέταξε τὰ Φαινόμενα γράψαι, Νικάνδρωι δὲ ἀστρολόγωι ὑπάρχοντι τὰ Θηριακὰ καὶ τὰ Ἀλεξιφάρμακα, ὅθεν καὶ ἑκάτερον 1157 M.
αὐτῶν ἐσφάλθαι κατολισθαίνοντα ἐπὶ τὰ ἴδια τῆς τέχνης) ψεύδονται· ἀγνοοῦσι γάρ, ὡς οὐ συνήκμασε τῶι Ἀράτωι Νίκανδρος, ἀλλ' ἔστιν αὐτοῦ πολὺ νεώτερος· Ἀντίγονος γάρ, ὧι συνεγένετο Ἄρατος, κατὰ τὸν πρῶτον καὶ δεύτερον γέγονε Πτολεμαῖον, Νίκανδρος δὲ κατὰ τὸν πέμπτον. μέμνηται γοῦν αὐτοῦ καὶ Καλλίμαχος ὡς πρεσβυτέρου οὐ μόνον ἐν τοῖς Ἐπιγράμμασιν (XXVII), *ἀλλὰ καὶ ἐν τοῖς πρὸς Πραξιφάνην* (fr 100 g), *πάνυ ἐπαινῶν αὐτὸν ὡς πολυμαθῆ καὶ ἄριστον ποιητήν.*

5. *γέγονε δὲ ὁ Ἄρατος ζηλωτὴς Ἡσιόδου, ὡς καὶ Καλλίμαχος παρεσημήνατο τοῦτο διὰ τοῦ εἰς αὐτὸν ἐπιγράμματος* (XXVII) *οὕτως·*

Ἡσιόδου τόδ' ἄεισμα καὶ ὁ τρόπος. οὐ τὸν ἀοιδὸν
ἔσχατον, ἀλλ' ὀκνέω μὴ τὸ μελιχρότατον
τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο. χαίρετε λεπταὶ
ῥήσιες Ἀρήτου † σύγγονος ἀγρυπνίης.

6. *ἔγραψε δὲ καὶ ἄλλα [ποιήματα]· Περί τε Ὁμήρου καὶ Ἰλιάδος [οὐ μόνον τὰ Φαινόμενα] καὶ Ὀστολογίαν καὶ Ἰατρικὰς δυνάμεις καὶ Εἰς Πᾶνα ὕμνον καὶ Εἰς Μύριν τὸν ἀδελφὸν ἐπικήδειον καὶ*

---

3 suppl Scal Pet ‖ 10 *καὶ* pro *ὥστε* coni Westerm ‖ 12 *Ἀράτου* corr Pet: *ἄρατον* V ‖ 28 *τόδ'* V Anth Pal (unde *τό τ'* corr Blomfield) | *ἀοιδῶν* coni Scal | *ὀκνέω μὴ τὸ* Anth: *ὀκαισωμητο* V ‖ 31 *ῥήσιες* Anth: *-εις* V | *σύντονος* Anth; *σύγγονοι* coni Scal (Aratea p. 311 sqq.), *σύμβολον* Ruhnken (Kaibel Hermes XIX p. 120) | *ἀργυπνίη* Anth ‖ 32, 3 seclusi (Aratea p. 247) ‖ 33 *ὀστολογίαν* V (sic; erravi ib p. 216)

Διοσημίας καὶ Ἐπιθυτικὸν καὶ Κατὰ λεπτὸν ἄλλα. ἐπιτετευγμένως δὲ αὐτῶι ἐγράφη τὰ Φαινόμενα, ὡς παρευδοκιμηθῆναι πάντας ὑπ' Ἀράτου (καὶ γὰρ Εὔδοξος ὁ Κνίδιος ἔγραψε Φαινόμενα καὶ Λᾶσος ὁ Μάγνης, οὐχὶ ὁ Ἑρμιονεὺς ἀλλ' ὁμώνυμος ἄλλος Λάσωι τῶι Ἑρμιονεῖ, καὶ Ἕρμιππος καὶ Ἡγησιάναξ καὶ Ἀριστοφάνης ὁ Βυζάντιος καὶ ἄλλοι πολλοί), ὡς καὶ Πτολεμαῖος μέμνηται ὁ βασιλεὺς Ἰδιοφυέσιν οὕτως·

πάνθ' Ἡγησιάναξ τε καὶ Ἕρμιππος ⟨τὰ⟩ κατ' αἴθρην
τείρεα καὶ πολλοὶ ταῦτα τὰ φαινόμενα
P. 10 *βίβλοις ἐγκατέθεντο, † ἀπὸ σκοποῦ δ' ἀφάμαρτον.*
ἀλλ' ὅ γε λεπτολόγος σκῆπτρον Ἄρατος ἔχει.

7. καὶ ἄλλοι δὲ πολλοὶ γεγόνασιν Ἄρατοι ἄνδρες ἐλλόγιμοι, ἱστοριογράφοι, ὥσπερ ὁ Κνίδιος, οὗ φέρονται Αἰγυπτιακὰ ἱστορικὰ συγγράμματα, καὶ τρίτος ἐπισημότατος Σικυώνιος, οὗ ἐστιν ἡ Πολύβιβλος ἱστορία ὑπὲρ τὰ λ' βιβλία ἔχουσα. τὰς δὲ Ἀράτου Ἐπιστολάς, ὧν ἀνωτέρω ἐμνήσθημεν (§ 1. 3), πάντων σχεδὸν συμφωνούντων τὰς εἰς αὐτὸν ἀναφερομένας αὐτοῦ εἶναι καὶ ὁμολογούντων γνησίας αὐτὰς μόνος Ἀπολλωνίδης ὁ Κηφεὺς ἐν τῶι ὀγδόωι Περὶ κατεψευσμένης ἱστορίας οὐκ εἶναι αὐτὰς Ἀράτου φησίν, ἀλλὰ Σαβιρίου Πόλλωνος. τοῦ δὲ αὐτοῦ τούτου φησὶν εἶναι ἐπιγεγραμμένας ⟨τὰς⟩ Εὐριπίδου Ἐπιστολάς.

---

1 *διοσημείας* V | *ἐπιθυτικὸν* corr Hemsterhuys (e Suida s. v. *Ἄρατος*, cf Aratea p. 247): *σκυθικὸν* V ‖ 6 *ὡς* scripsi: *ὧν* V ‖ 6, 7 testimonium breviando corruptum puto ob Antigoni Mirabil XIX p. 6 Keller (ut Aratea p. 385 sq.); scriptum videtur tale quid olim fuisse *ὡς καὶ Ἀρχέλαος Ἰδιοφυέσιν ἃ προσφωνεῖ Πτολεμαίωι τῶι βασιλεῖ*; adhibentur enim Archelai epigrammata in his litteris, cf interpretem latinum (An II) ad v. 338. 449; *β. ἰδίως καὶ φησιν* coni Pet ‖ 8 suppl Scal Pet ‖ 10 *ἀποσκόπιοι δ'* coni Scal Pet, *σκοποῦ δ' ἀπὸ πάντες ἄμαρτον* 'alii' apud Westerm, *ἐπίσκοποι οὐδ' ἀφ.* Kaibel p. 123 ‖ 11 *ἀλλ' ὅ γε* corr ego Kaibel: *ἀλλὰ τό τε* V; *ἀλλὰ τὸ* coni Scal Pet, *ἀλλά γε* Ursinus | *λεπτολόγος* corr Ursinus (cf Callim Ep XXVII 3): *-ου* V | *σκῆπτρον* corr Scal: *σκήπτου* V ‖ 18 *Νικαεὺς* coni Bentley (Phalar p. 574 Ribb, at cf Marcks Symbola ad epistologr gr p. 6) ‖ 20 *Σαβιδίου* coni Bentley, *Ἀσινίου* Bergk, *Σαβινίου* vel *Γαβινίου* vel *Ῥαβιρίου* 'alii' (cf Westerm in ed) | *Πολλ⟨ί⟩ωνος* supplent Scal Bentley.

II ΠΕΡΙ ΕΞΗΓΗΣΕΩΣ.

Ign ‖ 1. *Τὴν δὲ τῶν Φαινομένων ἐξήγησιν πρῶτον μὲν ἑστώσης τῆς σφαίρας, μετὰ δὲ ταῦτα κινουμένης ἐποιήσατο Ἄρατος. διὸ συμβέβηκε πάσας τὰς σφαίρας ἐν ἁμαρτίαι ὑπὸ τῶν ζωγράφων γράφεσθαι· ἑστῶτα γὰρ καὶ ἀκίνητα γράφοντες αὐτὰ σφάλλονται πολλὰ ἐν τῇι κινήσει ἐν τοῖς συνανατέλλουσι καὶ ἀντιδύνουσιν ἄστροις.*

Ign ∽ An II 1, 4 p. 108 ‖ 2. *ποιούμενος δὲ τὴν ἀρχὴν ἑστώσης τῆς σφαίρας περὶ ἄξονος καὶ πόλων καὶ τῶν ἐντὸς τοῦ ἀρκτικοῦ κύκλου ἄστρων τὸν λόγον ποιεῖται (λέγω δὲ Ἄρκτων καὶ Δράκοντος καὶ τῶν ἀπὸ τῆς ζώνης μέχρι ποδῶν τοῦ Κηφέως), εἶτα περὶ τῶν μεταξὺ τοῦ ἀρκτικοῦ καὶ ζωιδιακοῦ εἶναι νομιζομένων. λέγει δὲ περὶ τῶν μεταξὺ τοῦ ἀρκτικοῦ καὶ ζωιδιακοῦ καὶ ἀνταρκτικοῦ οὕτως* (v. 319 sq., Ecl VII 2)· 1160 M.

καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
μεσσηγὺς κέχυται, τὰ δὲ νειόθεν ἄρχεται ἄλλα.

κινουμένης δὲ τῆς σφαίρας τῶν ἄστρων καὶ συνανατελλόντων καὶ ἀντιδυνόντων πεποίηται ⟨ἀρχὴν⟩ ἀπὸ Καρκίνου ἀνατέλλοντος καὶ μεσουρανοῦντος Κριοῦ καὶ Αἰγόκερω δύνοντος. ἀρξάμενος μέντοι ἀπὸ Καρκίνου ἀνατέλλοντος καὶ προθεὶς τὰ συνανατέλλοντα αὐτῶι ἄστρα καὶ τὰ ἀντιδύνοντα ἐν τοῖς ἑξῆς οὐκ ἐτήρησε ταύτην τὴν τάξιν, ἀλλὰ διαφόρως ποτὲ μὲν τὰ ἀντιδύνοντα πρῶτα λέγει, ὕστερον δὲ τὰ συνανατέλλοντα, ἐπὶ δέ τινων ἀνάπαλιν, πρῶτα μὲν τὰ συνανατέλλοντα, ὕστερον δὲ τὰ ἀντιδύνοντα. 272 P.

Ign ∽ An II 3 et 6 ‖ 3. *ἐλύμηναν δὲ πολλοὶ τοῦτο τὸ ποίημα ζωγράφοι καὶ ἀστρονόμοι καὶ γραμματικοὶ καὶ γεωμέτραι, ἕκαστος αὐτῶν πρὸς τὸ βούλημα τὸ ἴδιον γραφὰς καὶ ἐξηγήσεις ἰδίας ποιούμενοι. φέρεται δὴ τὰ Φαινόμενα ὑπὸ μέν τινων ἀπροοιμίαστα* (v. 19) *'οἳ μὲν ὁμῶς πολέες τε καὶ ἄλλυδις ἄλλοι ἐόντες', ὑπὸ δέ τινων διάφορα*

---

4 *σφάλλονται* scripsi: *σφάλματα* V ‖ 7 *ποιούμενος* scripsi: *-οῦσι* V ‖ 16 *ἄστρων* scripsi: *ἀνατολῶν* V ‖ 17 supplevi (praeeunte Pet qui idem post *σφαίρας*) ‖ 19 *προθεὶς* scripsi: *προσέτι* V

⟨ἔχοντα⟩ προοίμια, ἀρχὴν ἔχοντα ‘ἀμφί μοι ἠελίοιο περικλειτοῖό τε μήνης Ἔσπετέ μοι Μοῦσαι’, τινὰ δὲ τῶν ἀντιγράφων ‘Ἀγκλείδη, ξείνων ἱερὸν θάλος, εἰ δ’ ἄγε σύ⟨ν⟩ μοι Οὐρανίην ψαύσειας ἔπι τρίβον’, ἔνια δὲ ‘Ἀντίγονε, ξείνων ἱερὸν θάλος.’ τὸ μὲν οὖν ἀπροοιμίαστον φέρεσθαι τὸ ποίημα παντελῶς ἐστιν ἀπρεπὲς καὶ ἀνάξιον τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ τῆς τηλικαύτης ὑποθέσεως (ἄναρχον γὰρ καὶ ἀκέφαλον ἔσται τὸ ποίημα), τὸ δὲ ἀπὸ τοῦ ‘Ἀγκλείδη’ καὶ τῶν ἑξῆς ἄρχεσθαι πρὸς τῶι διὰ κακοζηλίαν ἐκφυγεῖν ταῦτα τὰ ἔπη τὸν Ἀράτειον χαρακτῆρα ἔτι καὶ ἐναντίωμα ἔχει τὸ οἴεσθαι ἑβδομηκονταετηρίδα εἶναι, ἐν ᾗι ἀποκαθίσταται ὁ ἥλιος ἀπὸ σημείου ἐπὶ σημεῖον· ἔχει γὰρ τὸ κατεψευσμένον προοίμιον οὕτως ‘ἔπταχα σὺν δεκάδεσ⟨σ⟩ι περιπλομένων ἐνιαυτῶν’ τοῦ Ἀράτου ἐννεακαιδεκαετηρίδα εἰδότος ἀποκαταστατικὴν τοῦ ἡλίου διὰ τούτων (v. 752—755, Aratea p. 17)

τὰ γὰρ συναγείρεται ἤδη
ἐννεακαίδεκα κύκλα φαεινοῦ ἠελίοιο,
ὅ⟨σ⟩σα τ’ ἀπὸ ζώνης εἰς ἔσχατον Ὠρίωνα
Νὺξ ἐπιδινεῖται Κύνα τε θρασὺν Ὠρίωνος.

ὥστε, εἰ προσδεχθείημεν τὸ προοίμιον, ἐν αὐτῶι μὲν ἑβδομηκον-
1161 M. ταετηρίδα ἔσται λέγων ὁ ποιητής, ἐν δὲ τοῖς ἑξῆς ἐννεακαιδεκαετηρίδα, αὐτὸς ἑαυτῶι ἐναντιούμενος· ὅπερ ἄτοπον. ἄμεινον οὖν τὸ διὰ τῶν πλείστων ἀντιγράφων φερόμενον προσίεσθαι, οὗ ἡ
273 P. ἀρχή (v. 1) ‘ἐκ Διὸς ἀρχώμε⟨σ⟩θα. τὸν οὐδέποτ’ ἄνδρες ἐῶμεν’· ἁρμόττον γὰρ ἂν εἴη ἀπ’ αὐτοῦ τὴν ἀρχὴν ποιήσασθαι τὸν περὶ τῶν οὐρανίων ἐξηγούμενον. πρέπει δὲ καὶ ποιηταῖς μάλιστα αὕτη ἡ ἀρχή, ἐπεὶ καὶ ἐν τοῖς συμποσίοις τρεῖς κρατῆρας ἐκίρνων, καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου, τὸν δὲ δεύτερον Διοσκούρων καὶ ἡρώων, τὸν δὲ τρίτον Διὸς Σωτῆρος. διὸ καὶ ὁ Θεόκριτος (XVII 1) ‘ἐκ Διὸς ἀρχώμε⟨σ⟩θα’ φησὶ ‘καὶ ἐς Δία λήγετε Μοῦσαι’, ὁ δὲ Ὀρφεὺς πάντα καιρὸν ἀνατίθησι Διὶ λέγων (p. 457. 460 Herm, fr 46, 2 Ab) ‘Ζεὺς ἀρχή, Ζεὺς μέσ⟨σ⟩α, Διὸς δ’ ἐκ πάντα τέτυκται.’ ὅθεν ἀκολούθως καὶ τῶι ἔθει τῶι παλαιῶι καὶ τῆι ὑποκειμένηι ὑποθέσει ἀπὸ Διὸς πεποίηται τὴν ἀρχήν.

---

2 ἔπετε V ‖ 3 suppl Meineke ego; notum hoc prooemium scholio ad v. 733 et Anonymo II 3 et 6, servatum ab interprete latino (cf infra) ‖ 10 ἑβδομηκονταεξαετηρίδα coni Scal ‖ 16 *συναείδεται* (ex Arati codd) coni Scal ‖ 17 *κύκλα* corr Vict: *-ου* V ‖ 18 suppl Vict ‖ 22 *καὶ* ante *αὐτὸς* del Wil ‖ 31 *Μοῖσαι* Theocriti codd

∽ schol graeca ‖1. *ἐγκαλοῦσι δὲ αὐτῶι τὴν ἐκ πρόθεσιν ἀντὶ τῆς ἀπό παρειληφότι· ἔδει γὰρ (φασίν) εἰπεῖν ἀπὸ Διός. ἀγνοοῦσι δέ, ὅτι καὶ Πίνδαρος κατεχρήσατο τῶι ἔθει τούτωι λέγων* (Nem II 1—3) *'ὅθεν περ καὶ Ὁμηρίδαι Ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ Ἄρχονται, Διὸς ἐκ προοιμίου' καὶ Ἀλκμὰν* (fr 2 B.) *'ἐγὼ δ' ἀείσομαι ἐκ Διὸς ἀρχομένα', ἄλλως τε καὶ τὸ ἀπό δύσφημόν ἐστιν, ὡς εἴ τις λέγοι 'ἄποθεν.'*

∽ schol A P Germ p. 55 sqq. Br. interpretem lat schol graeca ‖*Δία δὲ οἱ μὲν τὸν οὐρανόν, οἱ δὲ τὸν αἰθέρα, οἱ δὲ τὸν ἥλιον, οἱ δὲ τὸν μυθικὸν ἐξεδέξαντο. οἱ μὲν οὖν τὸν οὐρανὸν λέγοντες παρατίθενται τὸν ποιητὴν λέγοντα* (Il XIX 357) *'ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτόωνται', τουτέστιν ἐξ οὐρανοῦ, καὶ Ἄρατον αὐτὸν ἐν τοῖς ἑξῆς* (v. 224) *λέγοντα περὶ τοῦ Ἵππου 'ἐν Διὸς εἰλεῖται' ὅ ἐστιν ἐν τῶι οὐρανῶι, οἱ δὲ Δία τὸν αἰθέρα παραλαβόντες παρατίθενται Εὐριπίδην λέγοντα* (fr 941 N.)·

ὁρᾶις τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

καὶ ἴσως Ζῆνα ⟨ἄν⟩ τις αὐτὸν καλοίη διὰ τὸ πυρώδη εἶναι τὸν αἰθέρα, ἀπὸ μὲν τοῦ αἴθεσθαι αἰθέρα, ἀπὸ δὲ τοῦ ζῆν ἢ παρὰ τὴν ζέσιν Ζῆνα. οἱ δὲ Δία τὸν ἥλιον νοήσαντες λέγουσιν, ὅτι 2m P. *καὶ Σοφοκλῆς Δία τὸν ἥλιον καλεῖ λέγων* (fr 1017 N.)

Ἥλι', οἰκτίροις ἐμέ,
⟨ὃν⟩ οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν
πατέρα ⟨τε⟩ πάντων

καὶ ἔννοιαν τῆς δόξης ταύτης φασὶν ἔχειν τὸν ποιητήν, ὅταν λέγηι (Il XIII 837) *'ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς' καὶ τὸ 'ἠέλιός θ', ὃς πάντ' ἐφορᾶις καὶ πάντ' ἐπ-* 1164 M.

---

1 *ἐγκαλοῦσι* Wil: *ἐπικαλοῦσι* V ‖ 3 *ἔθει* V (ut coni Haupt); *σχήματι* olim ego (cf Lesbonax ed Rud Mueller Gryphiae 1891 p. 36), *τῶι ἐκ οὕτως* Wil ‖ 4 *πολλὰ* V ‖ 5 *ἐκ Διὸς ἐκ* V ‖ 5, 6 corr Valckenaer: *δὲ ἀεί σοι με* V; *δὲ ἀείσομι* (sic) coni Scal ‖ 6 *ἀρχομένα* corr Bergk: *-όμενα* V; *-όμενος* coni Scal | *τε* scripsi: *δὲ* V ‖ 7 *λέγοι* corr Scal: *λέγει* V | *ἄποθεν* coni Scal ‖ 11 *ἐκποτέονται* Homeri codd ‖ 13 *εἰλεῖται* V ‖ 16 *τὸν ὑ.* schol Ven B* ad Il XIV 200 p. 51, 15 al (item coni Scal): *τόνδ' ὑ.* V ‖ 17 *περιεξέχοντα* V (cf schol Il l c *ἐπήγαγε, κατὰ τί ἄπειρον εἴρηκεν, ὅτι κατὰ τὸ τὴν γῆν ἔχειν πέριξ ὑγραῖσιν ἀγκάλαις* al) ‖ 18 *τοῦτο* V ‖ 20 *ζεῖν* coni Pet | *ᾗ* scripsi: *καὶ* V ‖ 21 *ζέσιν* corr Pet (cf Etymologica al): *ζήτησιν* V ‖ 23 *ἠελίοιο κτείρειε ἐμέ* V: corr M. Schmidt Bergk Nauck; *ἠέλιος οἰκτείρει' ἐμέ* coni Scal ‖ 24 suppl Pet ‖ 25 suppl Wagner; *⟨καὶ⟩ πατέρ' ἁπάντων* suppl et coni Pet

ακούεις᾽ (Il III 277), *παρό ἐστι* ᾽*πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας*᾽ (Hesiod Opp 267). *οἱ δὲ Δία τὸν ἀέρα ἀκούσαντες φέρουσι μάρτυν Φιλήμονα τὸν κωμικόν· φησὶ γάρ* (fr 91 K.)·

ὃν οὐδὲ εἷς λέληθεν ⟨οὐδὲ ἓν ποιῶν,
οὔτε⟩ κακὸν οὐδέ γ᾽ ἐσθλόν, οὗτός εἰμ᾽ ἐγώ
Ἀήρ, ὃν ἄν τις ὀνομάσειε καὶ Δία.

διὸ καὶ τὸν Ἄρατον ἐπάγειν (v. 2, 3) ᾽*μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί, Πᾶσαι δ᾽ ἀνθρώπων ἀγοραί*᾽· *πάντη γὰρ Διὸς κεχρήμεθα· σπῶντες γὰρ τὸν ἀέρα ἀναπνέομεν. ἀλλὰ μὴν καὶ ἐν τῶι βίωι φαμὲν τὸν Δία ὕειν καὶ διοσημίας καλοῦμεν καὶ νεφεληγερέτην παρὰ τοῖς ποιηταῖς εὑρίσκομεν. ταῦτα δὲ καὶ τὰ τοιαῦτα πάντα ἐν τῶι ἀέρι. οἱ δὲ Δία τὸν μυθικὸν τὸν Κρόνου παῖδα νοοῦσιν. ἡμῖν δὲ δοκεῖ τριχῶς ὑπὸ τοῦ Ἀράτου προφέρεσθαι, μυθικῶς μέν, ὡς ὅταν λέγηι* (v. 31, 2)·

εἰ ἐτεὸν δή,
Κρήτηθεν κεῖναί γε Διὸς μεγάλου ἰότητι.

1—4 schol habet etiam C ‖ 1 *μεσταὶ δὲ* pro lemmate A, *πᾶσαι* C ‖ 2 *καὶ δι' ἣν* C | *ἡμῖν* ACAld: *ἡμῶν* M | *ἀπαντᾶι* om C | *τουτὶ* AC ‖ 3 *δύο συντιθέμενα δηλοῖ ὀν. τὸ τοῦ* C ‖ 5—10 habet etiam C lemmate *ἄλλως δέ* (delet Wilam) praefixo post l. 24 ‖ 5 *καὶ* om M ‖ 7 *ἂν* om A ‖ 7, 8 *αὐτὸν ἂν καλέσοιμεν πατέρα καὶ δημιουργόν* C ‖ 8 *ἐπιγραφόμενοι* A | *δὲ καὶ* A ‖ 9 *ὡς* post *ἐπισπ.* A | *δι' αὐτοῦ* C | *ζῶμεν ὄντος ζωτικοῦ κ.* A ‖ 10 *πνοῆς* A ‖ 11 schol discrevi a l. 4, cf adn | *ἐπὶ* corr Wilam: *παρὰ* C ‖ 12 scripsi: *ὑπεδέξαντο* C; *ἐδέξαντο* coni Wilam ‖ 13, 4 videtur licentia poetica in proxime antecedentibus fuisse commemorata, nisi forte *ταύτης* vitiosum ‖ 14 'Euripidem Med 825 dicere videtur' Wilam ‖ 14, 5 uncos posuit Wilam ‖ 17 habet etiam C | *ὃ δ' ἤπιος (ἀνθρώποισιν* C*)* AC | *ἄγαν ἁρμ. τὸ ἐπιθ. τῶι πατρὶ τὸ ἤπιος ἀποδέδωκεν* A | *πατρὸς* om C ‖ 17, 8 disiunxi ‖ 18, 9 habet etiam C ‖ 18 *δεξιὰ σημαίνει τὰ αἴσια λέγει* A ‖ 18, 9 *δὲ καὶ τὰ αἴσια καὶ συμφ. καὶ δ. οἰωνοὺς λ. τ. αἰσίους φαινομένους* C | 19 *τοὺς οἰωνοὺς λ. τ.* M ‖ 20 *δεξιὰ — καλά* om A | *καλὰ καὶ συμφέροντα* (sic sine lemmate) C ‖ 21 habet etiam C | *λέγει* om C | *το κατὰ γεωργίαν* AC ‖ 22 *νοεῖ* scripsi: *νοεῖν* C

7. ⟨*λέγει δὲ ἀντὶ τοῦ σημαίνει. καὶ Ὅμηρος* (Il II 49) *Ζηνὶ φάος ἐρέουσα καὶ ἄλλοις ἀθανάτοισιν* C⟩.

βῶλος ἀρίστη: οὐκ ἀροστή, ὡς Ἀσκληπιάδης (cf Aratea p. 33)· *οὐ γὰρ δύναται μακέλλῃ βῶλος ἀροῦσθαι, ἀλλὰ σκάπτεσθαι.* § *τὸ δὲ γυρῶσαι* (9) *ἢ φυτεῦσαι ἢ βόθρον ὀρύξαι, ἐν ᾧι τὰ φυτὰ κατατίθεται. ὁ δὲ Ζεὺς σημαίνει τὰς ὥρας τῆς γεωργίας καὶ τοῦ σπόρου· λέγει γὰρ* (7) *ἀντὶ τοῦ σημαίνει. Ζηνὶ φόως ἐρέουσα καὶ ἄλλοις ἀθανάτοισιν* (Il II 49).

8. *μακέλησι: μάκελλα ἡ μονόθεν κέλλουσα, ὅ ἐστι τέμνουσα, δίκελλα δὲ ἡ διχόθεν.*

9. ⟨*τὸ γυρῶσαι ἀντὶ τοῦ φυτεῦσαι ἢ βόθρον ὀρύξαι, ἐν ᾧι τὰ φυτὰ κατατίθεται· οὗτος γὰρ σημαίνει τὰς ὥρας τῆς γεωργίας καὶ τοῦ σπόρου* C⟩.

καὶ φυτὰ γυρῶσαι: καλῶς περισκάψαι, ⟨*εὖ γεωργῆσαι*⟩ (*τὰ γὰρ φυτὰ λαμβάνει κύκλωι τὴν γῆν περὶ τὴν ἐπιφάνειαν πρὸς τὸ μὴ ψύχεσθαι· ἡ γὰρ θερμασία αὐτοῖς συμβάλλεται*), *ἢ σωρεῖσαι, τουτέστι κύκλωι τῶν φυτῶν τὴν γῆν σωρεῦσαι.* ✓ Ach p. 84

10. *αὐτὸς γὰρ τά γε σήματα: αὐτὸς γὰρ τῶν ὡρῶν σημεῖα ἐποιήσατο τοὺς ἀστέρας. θέλει* ((δὲ)) *τὰς ἀνατολὰς αὐτῶν καὶ τὰς δύσεις δηλῶσαι, οἷον Πληιάδων ἑώιαν ἐπιτολὴν ἀρχὴν θέρους γενέσθαι, δύσιν δὲ ἑώιαν ἀρχὴν χειμῶνος.* § *κακῶς δὲ οἱ γράφοντες 'σηματά' τὴν τελευταίαν ὀξύνουσιν, ἵν' ᾖι τὰ δηλούμενα· θέλει γὰρ τοὺς ἀστέρας σημεῖα λέγειν τῶν καιρῶν.* § *καλῶς δὲ τοὺς ἀστέρας σημεῖα εἶπεν· καὶ γὰρ ὁ ποιητὴς τὸν κομήτην ἀστέρα σημεῖον εἶναι πολέμου λέγει 'ἢ ναύτῃσι τέρας* ⟨*ἠὲ στρατῶι*⟩' (Il IV 76) C⟩. § *τὸ δὲ ἐσκέψατο* (11) *ἀντὶ τοῦ*

1—2 scripta post l. 13 C ‖ 1 *σημαίνει* scripsi: *σημαινομένου* C ‖ 3 *ὅτε β. ἀ.* pro lemmate A | *βῶλος οὐκ ἀροτή* AAld ‖ 4 *δύναιτο* M | *μακέλη* A, *μακέλλαις* Ald | *ἀρόσθαι* A ‖ 5 *καὶ φυτ.* A ‖ 6 *οὗτος γὰρ σημαίνει* A ‖ 7, 8 *λέγει δὲ ..... Ζηνὶ* M ‖ 8 *καὶ ἄλλ. ἀθ.* om M ‖ 9, 10 om A ‖ 14—17 habet etiam C ‖ 14 *κ. φ.* et *καλῶς* om C | supplevi e C ‖ 15 *κατὰ* C ‖ 16 *θερμότης* C | *αὐτῆς* C | *συμβ. αὐτοῖς* A ‖ 17 *ἢ σωρεῦσαι* scripsi e C (qui *ἔστι δὲ καὶ σωρεῦσαι τουτέστιν κτλ.*): *ἢ γυρῶσαι* AMAld | *τὴν γῆν τῶν φυτῶν* C ‖ 18—23 habet etiam C ‖ 18 *αὐτὸς — αὐτὸς γὰρ* om C | *σήματα* om A | *γὰρ* om M | *ὁρῶν* C ‖ 19 *τὰ σημ.* C | *ἐθέλει* A ‖ 19, 20 *αὐτὸν* C ‖ 20 *φύσεις* M | *δηλοῦν* C | *οἷον* om C | *πλειάδος* C | *ἑώιαν* om A ‖ 20, 1 *ἑώια ἐπιτολὴ θέρους δύσεις δὲ ἑώια ἀρχὴ θέρους* C ‖ 21 *ἀρχῆι* M | *δύσιν* Ald ζ: *δύσεως* AM | *ἀρχὴ* A, *ἀρχῆ* M | *καλῶς* A ‖ 24—26 habet etiam C partim evanida ‖ 24 *καλῶς σημεῖα εἴρηκε τὰ ἄστρα καὶ* — 25 *τέρας* omisso *λέγει* (post l. 21 cf adn) C ‖ 26 *ἢ στρατόν* C ‖ 26 — p. 338, 2 habet etiam C partim evanida ‖ 26 *τὸ δὲ* om C

ἐφρόντισεν, ((ὥστε)) ἑκάστου μέρους ἐνιαυτοῦ σημεῖον εἶναι, οἷον Πλειάδας ἀρότου καὶ ἀμήτου (Hesiod Opp 383, 4), Κύνα θέρους.

τά γε σήματα: τὸ ἑξῆς· αὐτὸς γὰρ τά γε σήματα, ἤτοι τὰ ἄστρα σημεῖα, ἐστήριξεν. § ἐσκέψατο δὲ (11) ἀντὶ τοῦ ἐθεώρησεν ἐνόησεν ἔγνω ποιῆσαι.

Ach p. 84 10. ἐστήριξεν: ὅτι ἀκίνητοί εἰσιν οὗτοι οἱ ἀπλανεῖς καθ' αὑτούς, συμπεριάγονται δὲ τῇι τῶν ὅλων ῥύμηι.

Ach p. 41 sq. 11. ἄστρον δέ ἐστι ⟨τὸ⟩ κινούμενον, ἤδη δὲ καὶ τὸ ἐκ πλείστων ἀστέρων σύστημα, οἷον Καρκίνος καὶ Λέων, ἡ ἐπιτολὴ δέ τινος ἀστέρος νεωτερίζουσά τι τῶν περιγείων [ἄστρων], οἷον Ἀρκτούρου ἐπιτολὴ ἢ Κυνός. λέγεται δὲ καὶ ὁ ἥλιος ἄστρον ἰδίως παρὰ Πινδάρωι (fr 107 B.) 'ἄστρον ὑπέρτατον' ⟨καὶ (('φαεννὸν ἄστρον' Ol I 6)). σώματα δὲ καὶ οἱ διαίττοντες C⟩. νῦν δὲ ὁ Ἄρατος τοὺς ἀστέρας ἄστρα εἴρηκεν.

⟨τί διαφέρει ἀστὴρ ἄστρου; ἄστρον μέν ἐστιν ὁλότης καὶ συναγωγὴ ἀστέρων, ὡς ὁ Κριὸς καὶ ὁ Ὠρίων, ἀστὴρ δὲ ὁ εἷς, ὡς ἡ καρδία τοῦ Λέοντος C⟩.

12. οἵ κε μάλιστα: τὸ ἑξῆς· οἵ κε μάλιστα τετυγμένα τῶν Ὡρῶν σημαίνοιεν ἀνθράσιν.

*τοῖς ἀνθρώποις. οἷον ὡρισμένα, ἀπαράλλακτα.

13. ἔμπεδα: τοὺς οἰκείους χρόνους.

⟨ὅφρ' ἔμπεδα: ἡ διάνοιά ἐστι τοιαύτη C⟩· ὁ τὰ πάντα δημιουργῶν θεὸς παρορμᾶι τοὺς ὄχλους πρὸς ἀντίληψιν τῶν εἰς τὸν βίον ἐπιτηδείων σημαίνων τοὺς οἰκείους χρόνους ἐκ τῶν ἐτησίων ὡρῶν, ἔαρος θέρους φθινοπώρου χειμῶνος.

14. τῶι μὲν ἀεὶ πρῶτόν τε: καὶ Πλάτων ἐν Νόμοις (IV 715 E) 'ὁ μὲν θεὸς ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα πάντων

---

1 ὥστε om C | ἑκάστου AMAld: ἐκ τοῦ C | σημεῖα A ‖ 2 πληιάδας (α alt in rasura) A, πλειάδος C | ἀ. τοῦ κν (cetera evanida) C ‖ 3—5 om M ‖ 4 σημείω AAld ‖ 6, 7 habet etiam C ‖ 6 οἷον ἀκίνητοι ἀπλανεῖς C ceteris usque ad ῥύμηι omissis ‖ 8 ἤδη δὲ ante καὶ C: om AMAld ‖ 9 οἷος M | Λ. καὶ libri | δὲ om C ‖ 10 ἄστρων om C | ἄστρον λέγεται οἷον Ald, cf Ach I p. 39 ‖ 11 καὶ om A ‖ 11, 2 ἄ. ὡς C ‖ 12 π. τῶι Π. C ‖ 12, 3 supplevi evanida in C uncis (( )) inclusa ‖ 13 διαίττοντες scripsi: διαιτῶντες C ‖ 13, 4 ὁ δὲ Ἄρ. νῦν ἀστέρας εἴρηκεν C ‖ 21 ἔμπεδα — χρόνους om AAld ‖ 22—25 habet etiam C ‖ 22 καὶ ἐσκέψατο pro lemmate A ‖ 23 post θεὸς verba ἡ δὲ (γὰρ A) διάνοια τοιαύτη ἐστίν AM: omisi, cf C in textu | ὁ θεὸς (post παρορμᾶι) M: om AC | καὶ (i. e. κατ') ἀντ. C ‖ 23, 4 τῶν κατὰ τ. β. C ‖ 24 τοὺς οἰκείους χρόνους AC: om M | ἔκ τε τ. C ‖ 26 μιν A | πρῶτόν τε om A ‖ 27 ἡμῶν post θ. add M | τε om M

ἔχων εὐθείαι περαίνει κατὰ φύσιν πορευόμενος'. ἴσως δὲ καὶ ἀπὸ τῶν σπονδῶν, τῶι τὴν μὲν πρώτην σπονδὴν εἶναι τῶν θεῶν τῶν Ὀλυμπίων, δευτέραν δὲ ἡρώων καὶ τρίτην Διὸς σωτῆρος. Ὅμηρος δὲ (Il IX 97) ἐπὶ τοῦ βασιλέως 'ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι'.

πρῶτόν τε καὶ ὕστατον: ἀντὶ τοῦ διὰ παντὸς χρόνου καὶ καθ' ἑκάστην ὥραν.

15. χαῖρε πάτερ: ἐπὶ τοῦ Διὸς ἄμφω ⟨τὼ⟩ 'χαῖρε', ἐπεὶ αὐτὸς εἶ καὶ ἡ προτέρα γενεά. οἱ μὲν 'προτέραν γενεάν' τοὺς Τιτᾶνάς φασιν, οὓς καλεῖσθαι τὸ νῦν οὐδένα λόγον ἔχει καταταρταρωθέντας ὑπὸ τοῦ Διός, ἄλλοι τοὺς ἀδελφοὺς τοῦ Διός· πρότερον γὰρ γεγόνασι καθ' Ἡσίοδον (Theog 468). προτέραν δὲ ἡμῶν γενεάν, τοὺς πρώτους καὶ πρὸ ἡμῶν ἀστρονόμους. βέλτιον δὲ καὶ τοὺς ἥρωας τοὺς προτέρους ἡμῶν νοεῖσθαι, ὧν καὶ τὰ πολλὰ τῶν ἄστρων ἐπώνυμα, οἷον Περσεὺς Ὡρίων. ⌐ Ach p. 85

16. προτέρη γενεή: τινὲς τοὺς περὶ Ὀφίωνα καὶ Εὐρυνόμην καὶ Οὐρανὸν ⟨καὶ⟩ Κρόνον· ἀπὸ γὰρ τῶν πρώτων βασιλευσάντων πεποίηται τὴν κλῆσιν. τινὲς δὲ τοὺς ἥρωας, οὓς Ἡσίοδος 'προτέρη γενεὴ κατ' ἀπείρονα γαῖαν' (Opp 160). ἄλλοι τὸ χρύσειον γένος, ἐπεὶ δικαιότερον ἐγένετο. οἱ δὲ ἀκριβέστεροί φασι τὴν τῶν μαθηματικῶν καὶ ποιητῶν, παρ' ὧν ἔλαβε καὶ τὴν τῶν Φαινομένων πραγματείαν.

17. μειλίχιαι μάλα πᾶσαι: μειλίχιαι αἱ Μοῦσαι, ὅτι πρὸς πάντας καὶ καθόλου εὐμενεῖς.

⟨τοὺς γὰρ λόγων εἱλουμένους πράιους ποιοῦντες φύσει διαλεγομένους C⟩.

18. τεκμήρατε: πιστώσασθε, ἀπὸ τοῦ τεκμηρίου, καὶ εἰς τέλος ἀγάγετε· τὸ γὰρ τέκμωρ τέλος. ἄλλοι δὲ δείξατε. ⌐ Ach p. 85

---

1 πορευόμενος etiam 'De mundo' liber pseudaristotelicus p. 401 b 26: περιπορευόμενος Platonis codd | καὶ om A ‖ 2 τῶν alt om A ‖ 6 τε om A | 7 καὶ om AAld | sequitur schol de Iove (VI I 10) in A, cf p. 332, 1—11 ‖ 8 πάτερ om A ‖ 10 τὰ νῦν AAld | ἤδη ante κατατ. AAld ‖ 11 ἄλλοι — Διός om A | 12, 3 καὶ προτέραν ἑαυτοῦ (ἢ πρ. γὰρ Ald) φησιν ὁ ποιητὴς γενεὰν AAld | ἡμῶν

13 αὐτοῦ A, αὐτοῦ Ald ‖ 14 κ. τοὺς ἀστέρας νοεῖσθαι ὧν καὶ A ‖ 19 γαίην C ‖ 23 μειλ. — πᾶσαι om A ‖ 25, 6 τοὺς γὰρ λόγων ἐπιμελουμένους πράιως ποιοῦσιν αἱ Μοῦσαι διαλέγεσθαι tentavi Aratea p. 39 ‖ 27 ἀντὶ τοῦ πιστ. A Ald ‖ 28 ἄγεται A, ἀγάγεται Ald | τέκμαρ M | τέκμωρ γὰρ τὸ τέλος καὶ τέκμαρ Ald | σημαίνει post τέλος A

19. *οἳ μὲν ὁμῶς: λέγει, ὅτι οἱ ἀπλανεῖς ὁμοίως αὐτοῖς ἕλκονται, οὐ μὴν κινοῦνται· στηρίζονται γὰρ καὶ ἀναποδίζουσιν.* § *οὐρανῶι δὲ ἕλκονται ἀντὶ τοῦ σὺν τῶι οὐρανῶι φέρονται.*

ἄλλως. οἳ μὲν ὁμῶς: οἱ ἀπλανεῖς πάντες ὡς πρὸς αἴσθησιν ἐπὶ μιᾶς ὑποκείμενοι ἐπιφανείας ὁμοίως συμπεριάγονται παντὶ μέρει τοῦ οὐρανοῦ ὁμοιοταχῶς μέν, οὐ μὴν ἰσοταχῶς· ὁμοιοταχεῖς μὲν γάρ εἰσιν ἀστέρες οἱ τὰς ὁμοίας περιφερείας ἐν ἴσωι ἔχοντες χρόνωι καὶ διανύοντες, ἰσοταχεῖς δὲ οἱ τὰς ἴσας περιφερείας ἐν ἴσωι χρόνωι κινούμενοι, καθότι κινηθήσονται οἱ ἐπὶ τοῦ ἰσημερινοῦ τοῖς περὶ τοὺς πόλους κειμένοις ⟨ὁμοιοταχῶς⟩. § *Ὁμηρικὰ δὲ τὰ ἔπη καὶ λαμπρὰ ἡ προσεχὴς τοῖ ποιήματος ἀρχή.* § *περισπαστέον δὲ τὸ ὁμῶς, ἵν' ᾖι ὁμοίως δὲ τῆς ἡμέρας'. ἀκουστέον τὸ νυχθημέρως.*

καὶ ἄλλυδις ἄλλοι ἐόντες: πολλοὶ τῶν γραμματικῶν ἀντὶ τοῦ ἐόντες ((ἰ))όν((τες ἔ))γραψαν καί φασι πάντας τοὺς ἀστέρας πορεύεσθαι. § *ἔστι δὲ ὁ λόγος Ἀράτωι περὶ τῶν φαινομένων καὶ ἀπλανῶν ἀστέρων, οὐ τῶν πλανητῶν τῶν ἑπτά· οἱ γὰρ ἀπλανεῖς ἀεὶ ἐπὶ τοῦ αὐτοῦ ἑστήκασι καὶ μόνον συγκαταφέρονται καὶ ἀναφέρονται τῶι οὐρανῶι καὶ ὑπὸ τοῦ οὐρανοῦ ἕλκονται καὶ ἀναφέρονται πᾶσαν ἡμέραν. καὶ ἐπειδὴ ταῦτα οὐκ ἤρκει, προσέθηκε τὸ συνεχές, κατὰ πᾶσαν ὥραν καὶ ἡμέραν. μᾶλλον δὲ ὁ οὐρανὸς ἀδιαλείπτως κινεῖται, καθά φασιν οἱ ποιηταί. καὶ οἱ φυσικοὶ μηδὲν εἶναι ὀξύτερον εἰς κίνησιν οὐρανοῦ· σκόπησαι γάρ, ὅτι ἀπὸ τοῦ ἑνὸς πέρατος τοῦ ἀνατολικοῦ ἐν ιβ' ὥραις εἰς τὸ ἄλλο δυτικὸν ἔρχεται πέρας. ἡ δὲ τοῦ οὐρανοῦ κίνησις γίνεται ἔκ τινων ἀναθυμιάσεων κατὰ τοὺς φυσικούς, αἵτινες ἀναθυμιάσεις ῥυθμῶι τινι αὐτὸν κινοῦσιν.*

ἄλλως: οἱ μὲν δὴ ἀστέρες πολλοὶ ὄντες καὶ κατ' ἄλλους ἄλλως τόπους κατεστηριγμένοι συμπεριφέρονται τῶι οὐρανῶι

---

1 *αὐτοῖς* AM, om Ald ‖ 5—14 schol bis et ad v. 19 et post v. 25 A (A¹ A²) | 5 *εἰς τὸ αὐτό. τὸ οἳ μὲν ὁμοῦ* pro lemmate A¹, lemma om A² | *ὅμως* M | *οἱ* om A¹ | *φησί* post *ἀπλ.* A² ‖ 6 *ὑπὸ μιᾶ κείμενοι ἐπιφανεία* A² ‖ 8 *ὁμοιοταχῶς* M | *μὲν* om A² | *γάρ* om A¹ ‖ 10 *κ. κινοῦνται* A² ‖ 11 *οἱ* om A¹ | *τῶν — κειμένων* A ‖ 12, 3 *Ὁμ. — ποιήματος ἀρχή* om A¹, habet A² ‖ 12 *τὰ ἐπιχειρήματα καὶ λ.* A² | *λαμπρῶς* M | *ἡ προσεχῶς* M ‖ 12, 3 *τοῦ π. ἀρχή* A², *ἀρχὴ τοῦ π.* M ‖ 13 *δὴ* A ‖ 15 *καὶ ἄλλυδις* pro lemmate A, *ἄλλοι ἐόντες* M: coniunxi ‖ 16 *φασί* om M ‖ 17, 8 *Ἀράτωι δὲ περὶ τῶν φ. — ἀ. ἐστιν ὁ λόγος* A ‖ 24 *οἱ* om M | *εἶναι* om M | *ὀξύτερον* post *οὐρ.* A ‖ 25 *σκοπῆσαι* M, evanidum in A | *τ. πρώτου πέρατος* A

καθ' ἑκάστην ἡμέραν. ὁ δὲ νοούμενος ἄξων οὐδὲ κατ' ὀλίγον κινεῖται, μένει δὲ ἀσάλευτος ἔχων τὴν γῆν μέσην καὶ ἰσόρροπον. περὶ δὲ τὸν ἄξονα ὑπὸ τῆς ἑαυτοῦ δίνης ὁ οὐρανὸς κινεῖται. τῶν δὲ περὶ τὸν οὐρανὸν οἱ περὶ τῶι ἄξονι περατοποιοῦντες πόλοι δύο, ὁ μὲν εἰς ἀφανὴς διὰ παντὸς ὑπὸ τῆς γῆς, ⟨ὁ⟩ καλούμενος νότιος, ὃ δὲ ἀειφανής, ὑπὲρ τὸν ὁρίζοντα διὰ παντὸς ὁρώμενος, ὁ καλούμενος βόρειος. ἐξ ἑκατέρου μέρους τοῦ βορείου πόλου Ἄρκτοι κατεστηριγμέναι τὴν ἴσην πορείαν ποιοῦνται.

20. οὐρανῶι ἕλκονται: τί ἐστιν οὐρανός; ὁ περιέχων τὰ ἄλλα πάντα πλὴν αὐτοῦ. ✓ p. 332, 12

τί ἐστιν ἄξων; διάμετρος τοῦ κόσμου εὐθεῖα διὰ τῶν πόλων ἐπιζευγνυμένη, μέσην μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο πόλους πέρατα. καὶ περὶ ταύτην μένουσα⟨ν⟩ ἡ σφαῖρα στρέφεται. ✓ p. 316, 7 sq. 331, 4

22. ἄξων αἰὲν ἄρηρεν: τὸν ἄξονα συμβέβηκε νοεῖσθαι εὐθεῖάν τινα καὶ ἀσάλευτον γραμμὴν ἀπὸ τοῦ βορείου πόλου μέχρι τοῦ νοτίου καὶ διὰ μέσης πεφυκυῖαν τῆς γῆς, ἣι συμβέβηκε κέντρον εἶναι τοῦ κόσμου, τῆι ἰδίαι φύσει, καθ' ἣν ἀμετακίνητός ἐστι καὶ ἀσάλευτον αὐτὴν περιέχει τὴν θέσιν. τὰ δὲ πέρατα τοῦ οὐρανοῦ, ἃ δὴ παρὰ τοῖς ἄκροις τοῦ ἄξονος ἐξ ἑκατέρων τῶν μερῶν νοοῦνται, πόλοι ταῦτα καλοῦνται.

ἀτάλαντον ἀπάντη: διήκων γὰρ διὰ παντὸς τοῦ οὐρανοῦ εἰκότως τὴν γῆν αὐτοῦ οὖσαν κέντρον περιέχει καὶ διαπείρει αὐτήν. μέσην οὖν τὴν γῆν διαπείρει. τὰ πλευρὰ τοίνυν τὰ παρ' ἑκάτερα τοῦ ἄξονος ⟨ἴσα⟩. § ἴσην αὐτὴν ἔχει καὶ ὑπ' αὐτοῦ ταλαντευομένην· ἴσην γὰρ αὐτὴν ἐξ ἑκατέρου μέρους ποιεῖ αὐτὸς μέσος ὢν καὶ εἰς δύο αὐτὴν διαιρῶν.

ἀτάλαντον ἀπάντη: ἴσην καὶ ὁμοίαν· καὶ αὐτὴ γὰρ σφαιροειδὴς καὶ ὁ οὐρανός. Ἡσίοδος (Theog 124, 5)·

γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῆι
οὐρανὸν ἀστερόεντα.

§ ἢ ἀτάλαντον ἴσην κατὰ διάστημα ὡς πρὸς τὰ δύο ἡμι-

---

1 ἡμέραν om A ‖ 2—8 μένει δὲ — ποιοῦνται om A ‖ 3 κινεῖται ὁ οὐρ. A ‖ 10, 1 αὐτοῦ τί (inserto δέ) ἐστιν coniuncta M ‖ 13 πόλλους A | ταῦτα A ‖ 14 ἄρηρεν om A ‖ 14—16 τ. ἄ. συνμάτον γραμμὴν ἀ. τ. β. π. μ. τ. νοτίου διὰ μ. A ‖ 16 ἣν libri ‖ 18 καὶ om A | περιέχων A ‖ 20 ταῦτα om A ‖ 22 αὐτοῦ οὖσαν om A ‖ 23 δὲ τ. A | post διαπείρει add M ὥσπερ: om A | τοῦ παρ' A ‖ 24 post ἄξ. τῆς γῆς A ‖ 26 ὢν scripsi: ἰὼν AMAld | τέμνει (pro διαιρῶν) A, -ων Ald ‖ 28 ἡσίοδος M ‖ 31 τὴν ἴ. A | τὸ δ. A

σφαίρια· ὅσον γὰρ ἀπὸ τοῦ ὑπὲρ αὐτὴν τὸ ὕψος [ἡμισφαιρίου], τοσοῦτον ἐπὶ τὸ ὑπὸ γῆν μῆκος ἄλλο [ἡμισφαίριον]· αὐτὴ γὰρ ἐν μέσωι τῶν δύο ἡμισφαιρίων κεῖται.

23. *οὐρανὸν — ἀγινεῖ*: πολλὴ καὶ διάφορος ἐνταῦθα ζήτησις περὶ τὴν γραφὴν ἐγένετο τοῖς μαθηματικοῖς καὶ γραμματικοῖς· οἱ μὲν γὰρ γραμματικοὶ ἀγνοήσαντες εἶπον ‘περιάγει οὖν ὁ οὐρανὸς τὸν ἄξονα’. ἔστι δὲ τοῦτο τῶν ἀτοπωτάτων· εἰ γὰρ ἀκίνητον αὐτὸν ἀπεδώκαμεν καὶ αὐτοῦ τοῦ Ἀράτου ἀντικρὺς εἰπόντος ‘ἀλλὰ μάλ’ αὖτως ἄξων αἰὲν ἄρηρε’ (v. 21, 2), πῶς οὗτοι περιάγεσθαι αὐτόν φασιν; ἀλλ’ οἱ μὲν μαθηματικοὶ τὸ *αυτόν* δασύνουσιν, ἵν’ ᾖι ‘ἑαυτόν’, ὁ δὲ λόγος ‘περὶ δὲ τὸν ἄξονα ἄγει καὶ στρέφει ὁ οὐρανὸς ἑαυτόν’, δύναται δὲ καὶ οὕτως ψιλουμένου τοῦ *αυτόν*, ἵν’ ᾖι ὡς πρὸς τὰ προειρημένα ‘περὶ δὲ τὸν ἄξονα αὐτὸν πάντα τὰ ἄστρα ὁ οὐρανὸς ἀγινεῖ καὶ περιφέρει’.

ἄλλως. αὐτόν: περιάγει, ((φησίν)), ὁ ἄξων τὸν οὐρανόν. οὐχ οὕτω δὲ ἔχει· ὁ γὰρ οὐρανὸς ἀφ’ ἑαυτοῦ στρέφεται. ὥσπερ δὲ λέγομεν, ὅτι ὁ χρόνος πάντα φέρει καὶ τοὺς ὁδοιπόρους ἡ ὁδός (ex gr Callim epigr 28), οὕτως ὁ ἄξων τὸν οὐρανὸν φέρει.

24. *καί μιν πειραίνουσιν —*: ἀντὶ τοῦ περατοῦσιν· τὰ γὰρ τοῦ ἄξονος πέρατα ⟨οἱ⟩ δύο εἰσὶ πόλοι, οὓς καὶ αὐτὸς ἐπάγει. § τοῦ δὲ ἄξονος τὰ πέρατα πόλοι εἰσὶν εἰρημένοι· περὶ γὰρ αὐτοὺς πολεῖται ὁ οὐρανὸς καὶ στρέφεται. γραμμὴ δέ ἐστιν εὐθεῖα ἡ ἀπὸ σημείου ἀρξαμένη, ὡς τὸ ὑποκείμενον· ἀπὸ γάρ τινος ἀρχῆς ἐποιήσαμεν τὴν γραμμὴν καὶ εἴς τι τέλος ἐλήξαμεν. ἡ δὲ εὐθεῖα γραμμὴ τοῦ ἄξονος τοὺς δύο πόλους ἔχει τοὺς ἀπὸ σημείου εἰς σημεῖον.

25. *ἀλλ’ ὃ μὲν οὐκ ἐπίοπτος*: οὐκ ἐσαφήνισε, ποῖον λέγει, ἀλλὰ διὰ τοῦ ἐπιφερομένου ἐσήμανε τὸ ποῖον λέγει, δηλονότι τὸν νότιον. § ζητητέον δέ, τί δήποτε τὴν ἀρχὴν ἐθέλων

---

1 ὑπὲρ Ald ς: περὶ AM | αὐτὸν A ‖ 4 περὶ δ’ οὐρανός AAld ‖ 5 τοῖς om M ‖ 6 γὰρ om A | οὖν om MAld ‖ 10 αὐτοὶ π. libri ‖ 11 τὸ ante ἑ. M ‖ 11—13 περὶ δὲ — προειρημένα om A ‖ 14 ὡς τὸ προειρημένον post ἀγινεῖ add M ‖ 16 lemma om A, ἄλλως om Ald ‖ 16, 7 mutat Ald ‖ 20 περατοῦσι M ‖ 21 supplevi ‖ 23 γ. αὐτὸν ὁ οὐρ. στρέφει A ‖ 24 σημασίας A | ἐστι post ὡς A ‖ 24—27 figuram adscripserat in ima pagina (Vitruv p. 214, 4. 215, 7. 110, 21 R.) ‖ 25 τινὸς ἀρχὴν ἐποιήσαμεν τὴν ἀρχὴν γραμμὴν A, τινὸς ἀρχῆς ποιησάμενοι τὴν ἀρχὴν τῆς γραμμῆς Ald ‖ 26 δὲ A: μὲν M, οὖν Ald ‖ 28 ὁποῖον A ‖ 29 ἐδήλωσε A

ποιήσασθαι πρῶτον τοῦ νοτίου ἐμνήσθη. καί φαμεν, ὅτι ἤμελλε διατρῖψαι ἐν τῶι βορείωι πόλωι. καὶ διὰ τοῦτο τὸν νότιον προέταξε τοῦ βορείου.

26. *ὑψόθεν ὠκεανοῖο*: *ἀντὶ τοῦ ὠκεανοῦ. ὑψηλότερος γάρ ἐστι καὶ ἀειφανής, οὐδέποτε δυόμενος. καὶ Ὅμηρος περὶ τῆς Ἄρκτου, ἣ ἐστιν ἐν τούτωι, 'οἵη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο'* (Il XVIII 489. Od V 275)· *μόνη γὰρ οὐ δύεται τῶν ἄλλων δυομένων ⟨ἢ ὅλων⟩ ἢ ἀπὸ μέρους τινός, ὡς ὁ Κηφεὺς ἀπὸ ἄκρας κεφαλῆς* (Aratus v. 650).

ἄλλως: *ὠκεανὸν λέγει ὁ Ἄρατος τὸν ὁρίζοντα ποιητικῶς. ἔστι δὲ ὁ ὁρίζων, μεθ' ὃν οὐδὲν ἔτι ἐστίν, ἐπειδὴ ἡ ἐκτὸς θάλασσα καὶ μεγάλη ὠκεανὸς καλεῖται, παρόσον ὠκέως ῥεῖ· κύκλωι μὲν γὰρ τὴν καθ' ἡμᾶς περίκειται οἰκουμένην, ἐξ αὐτοῦ δὲ καὶ εἰς αὐτὸν αἵ τε δύσεις καὶ ἀνατολαὶ γίνονται, καθάπερ καὶ Ὅμηρος πολλαχοῦ εἴρηκεν. παρηκολούθηκε δὲ αὐτῶι εἰπόντι ὠκεανὸν τὸν ὁρίζοντα· δημιουργῶι γὰρ τῶι Ἡφαίστωι χρησάμενος τῆς Ἀχιλλέως ἀσπίδος ταύτην ὑπέθετο κόσμου μίμημα, ὅπου δὴ τελευταῖον τὸν ὠκεανὸν ἐποίησεν* (Il XVIII 607). *ὁ δὲ Ἡρόδοτος οὐ παραδέχεται τὸν ὠκεανόν, τὸ σύμπαν λέγων τι πλάσμα εἶναι ποιητικόν, Ἀτλαντικὸν δὲ αὐτὸ πέλαγος ⟨λέγει⟩* (II 53. IV 8).

δύω δέ μιν ἀμφὶς ἔχουσιν: *τὸν βόρειον πόλον.*

27. *Ἄρκτοι ἅμα τροχόωσι*: *ἀντὶ τοῦ 'ἅμα τρέχουσιν'· διὰ τοῦτο γὰρ Ἅμαξαι ὠνομάσθησαν· δίτται γάρ εἰσιν, ὧν τὴν μὲν μείζονα Ναύπλιος εὗρε, τὴν δὲ ἐλάττονα Θαλῆς ὁ σοφός. § λέγει δὲ τὴν ἐλάττονα κυνὸς εἰκόνα εἶναι, ἥτις ἦν Καλλιστοῦς, ὅτε*

---

1 *νότου* A | *ἔμελλε* AAld ‖ 3 sequitur schol alterum ad v. 19 hic repetitum. cf p. 340, 5 sqq. ‖ 4 *ὑψ. ἐκ βορέαο* pro lemmate M | *ἀντὶ τ. ὠκ.* om AAld ‖ 6 *ἥτις ἐστὶν* A ‖ 9 *κόσμου* ante *κεφ.* A ‖ 10 *ἄλλως* om A | *ποιητικὸς* A ‖ 11 *ἔστι δὲ* traieci: *δέ ἐστι* AM; *ὁρίζων μὲν γάρ ἐστι* Ald | *ἔτι* om A | *ἡ* om A ‖ 12, 3 *κ. δὲ τὴν* Ald ‖ 13 *δὲ* om M ‖ 14 *αἱ τὰς δ.* A | *καθάπερ καὶ* om A ‖ 16 *ὠκεανὸν* Ald: om AM ‖ 17 *ταύτην* scripsi: *ἣν* M; *τὴν τοῦ Ἀχ. ἀσπίδα ἦν* A, *τὴν τοῦ Ἀχ. ἀσπίδα ποιεῖ ἦν* Ald ‖ 18 *ὅπου δὴ* om A ‖ 19, 20 *δὲ λέγει πλ.* AAld ‖ 20 *καλεῖ* add post *πέλ.* Ald ‖ 22 *δύο* A | *ἔχουσιν* cf ed | *δηλονότι* post *π.* A ‖ 23 *περὶ τὸν βόρειον πόλον Ἄρκτοι ἅμα τροχόωσιν* ante *ἀντί* post lemma A ‖ 24 *γὰρ τοῦτο* A ‖ 25 *πρώτην* (pro *μείζ.*) A | *τὴν δὲ δευτέραν τὴν ἐλάσσονα* A | *θαλάσσης ὁ σ.* A ‖ 26 *λέγει* scil aut is quem exscribo aut certus quidam scriptor, cuius nomen excidit (possis de 'Hesiodi' Astronomia [fr 15] cogitare, cf alterum ad v. 27 scholium p. 344, 10 sqq.) | *εἰκόνα κυνὸς* A | *ὅτι* post *Κ.* A, *ἥτις* Ald, om M

συγκυνηγὸς ἦν τῇι Ἀρτέμιδι, ἀποθανούσης δὲ αὐτῆς ἀπέθανεν. § *τὸ δὲ ὄνομα* (36) *ἔχει διὰ τὸ οὐρὰν κυνὸς ἔχειν.*

ἅμα τροχόωσιν: ἀλλήλαις ἐπιφέρονται.

τὸ δὴ καλέονται Ἅμαξαι: καὶ γὰρ ἐπιεικῶς ἐν ταῖς ὁδοῖς ἀκολουθοῦσιν ἀλλήλαις αἱ ἅμαξαι ἴσωι τάχει τῶν βοῶν χρωμένων ἐν τῇι πορείαι. διαγράφεται δὲ ἐν ἑκατέραι πλινθίον τι καὶ ὁ ῥυμός, οἱ μὲν τέσσαρες ἐν τῶι σώματι πλινθίον, ῥυμὸς δὲ ἡ οὐρά. Ὅμηρος Ἄρκτον κυρίως, Ἅμαξαν δὲ κατ' ἐπίκλησιν (Il XVIII 487. Od V 273).

Περὶ Ἄρκτων. τὴν μίαν τούτων τὴν μεγάλην, ἣν μετ'
Cat p. 181 b sq. *ὀλίγον ὀνομάζει Ἑλίκην* (37), *Ἡσίοδός φησι* (fr 15) *Λυκάονος θυγατέρα εἶναι καὶ ἐν Ἀρκαδίαι κατοικοῦσαν ἑλέσθαι μετὰ Ἀρτέμιδος τὴν περὶ τὰς θήρας ἀγωγὴν ἐν τοῖς ὄρεσι ποιεῖσθαι, φθαρεῖσαν δὲ ὑπὸ Διὸς ἐμμεῖναι ἐν τοῖς πρότερον κλέπτουσαν τῇι Ἀρτέμιδι τὸ σύμπτωμα. ἤδη δὲ ἐπίτοκον οὖσαν ὀφθῆναι ὑπ' αὐτῆς λουομένην. ἐφ' ὧι ὀργισθεῖσαν τὴν Ἄρτεμιν θηριῶσαι αὐτήν. καὶ οὕτω τεκεῖν ἄρκτον οὖσαν τὸν κληθέντα Ἀρκάδα. οὖσαν δὲ ἐν τῶι ὄρει θηρευθῆναι ὑπὸ αἰπόλων τινῶν καὶ παραδοθῆναι Λυκάονι μετὰ τοῦ βρέφους. μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ Λυκαῖον, ὅ ἐστι τοῖ Διὸς λεγόμενον ἄβατον, ἀγνοήσασαν τὸν νόμον. ὑπὸ ⟨δὲ⟩ τοῦ ἰδίου υἱοῦ διωκομένην καὶ αὐτὴν τῶν Ἀρκάδων ἀναιρεῖσθαι μελλόντων διὰ τὸν εἰρημένον νόμον ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτῆς ἐξείλετο, καὶ ἐν τοῖς ἄστροις αὐτὴν ἔθηκεν. Ἄρκτον δὲ αὐτὴν ὠνόμασε διὰ τὸ σύμπτωμα.*

ib *ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς ἑπτὰ ἀμυδρούς, ἐφ' ἑκατέρων τῶν νώτων δύο, ἐπὶ ταῖς ὠμοπλάταις α', ἐπὶ τοῖς ἐμ-*

---

1 *συναπέθανε καὶ ἡ κύων* Ald ‖ 2 scil *ἡ Κυνόσουρα* | *κυνὸς οὐρὰν* Ald | 3 *ἁματροχόωσιν* M, om AAld | *ἐπιφέονται* AAld ‖ 4 lemma om M ‖ 5 *ἰσοταχεῖ* (sic) A ‖ 6 *γὰρ* M | *ἑκατέρῳ* A ‖ 7 *οἱ μὲν — πλινθίον* om A ‖ 8 *Ὅμηρος* M: *ὁ μὲν* AAld | *ἄρκτι* A, *ἄρκτον* Ald ‖ 10—13 habet C fabulae initium *τὴν μείζονα Ἄρκτον Ἡσίοδος εἴρηκε Λυκάονος εἶναι θυγατέρα, ἐν Ἀρκαδίαι δὲ κατοικοῦσαν ἑλέσθαι μετὰ Ἀρτέμιδος τὴν θήραν ἐν τοῖς ὄρεσι* ‖ 10 *περὶ ἄρκτων* AM (in margine): *ἄρκτοι* M in textu, utrumque om Ald ‖ 11 *δὲ* post *Ἡσίοδος* M: om AC ‖ 13—15 *ποιεῖσθαι φθαρεῖσαν δὲ ὑπὸ Διὸς καὶ ἤδη μέλλουσαν τεκεῖν ὀφθῆναι* AAld ‖ 14 *λέγουσαν* M: corr Wilam, cf Cat p. 181 b 8 | 20 *λυγκαῖον* AMAld ‖ 21 supplevi ‖ 24 *δὲ* om A ‖ 24, 5 *σύμπτωμα* A Ald Cat: *πτῶμα* M, ruinam interpres lat ‖ 27 *νώτων δύο* M, *νώτων* $\overline{\xi}$ (ἑξ Ald) *δύο* A Ald; verum est *ὤτων* (cf Cat p. 182 b 23), at vitium iam schol in Germ AP innotuit (Robert p. 54 adn) ‖ 27 — p. 345, 1 *τοῖς — ποσὶν* AAld: *τοὺς — πόδας* M

προσθεν ποσὶ δύο, ἐπ᾽ ἄκρων τῆς ῥάχεως ἕνα λαμπρόν, ἐπὶ δὲ τοῦ ὀπισθίου σκέλους δύο, ἐπ᾽ ἄκρων τῶν ποδῶν β΄, ἐπὶ τῆς κέρκου τρεῖς. οἱ πάντες κδ΄.

οὐ χρὴ δὲ ἐν τῶι οὐρανῶι τινας οἴεσθαι ἄρκτους καὶ ἁμάξας, ἀλλὰ πέντε αἰτίας εὐλόγως τῆς ἀστροθεσίας τίθενται· ἢ γὰρ καθ᾽ ὁμοίωσιν τοὔνομα τῶι ἄστρωι, ὥσπερ ὁ Σκορπίος, ἢ κατὰ πάθος, ὡς ὁ Κύων (δοκοῦσι γὰρ ἐπὶ τῆι ἀνατολῆι τοῦ Κυνὸς λυττᾶν οἱ χερσαῖοι κύνες ὡς ἐπὶ πλεῖστον), ἢ μυθικῶς, ὡς ἡ μεταβληθεῖσα Καλλιστὼ εἰς ἄρκτον, ἢ κατὰ τιμήν, ὡς οἱ Διόσκουροι οἱ Δίδυμοι, ἢ διορισμοῦ καὶ διδασκαλίας χάριν, ὡς τὰ πολλὰ τῶν ζωιδίων. αἱ τοίνυν Ἄρκτοι Ἅμαξαι μὲν καθ᾽ ὁμοιότητα, Ἄρκτοι δὲ μυθικῶς.

τὸ δὴ καλέονται Ἅμαξαι: διὰ τοῦτο (φησί), διὰ τὸ τρέχειν ὡς ἅμαξαι, ταύτην τὴν ὀνομασίαν ἔσχον, ἢ διὰ τὸ ἔχειν σχῆμα ἁμάξης τῶν τεσσάρων ἀστέρων ἀντὶ τροχῶν παραλαμβανομένων, τῶν δὲ τριῶν τῆς οὐρᾶς ἀντὶ ῥυμοῦ.

ἄλλως: Ἅμαξαι διὰ τὸ ἅμα ἐν τῶι ἄξονι καὶ τῆι τούτου ἀρχῆι εἶναι, ἢ ὅπερ ἐπὶ τῆς μιᾶς λέγεται τοῦτο ἐπὶ τῶν δύο εἴληφεν· κυρίως γὰρ ἡ Ἑλίκη Ἅμαξα λέγεται· οἱ γὰρ ἑπτὰ αὐτῆς ἀστέρες ἁμάξης τύπον ἔχουσιν, ⟨ὧν⟩ οἱ μὲν ἐπὶ τοῦ πλινθίου τέσσαρες (πλινθίον δὲ λέγεται παρὰ τοῖς γεωμέτραις πᾶν τετράγωνον) ⟨τοὺς τροχούς⟩, οἱ δὲ τρεῖς ἐπὶ μῆκος τὸν ῥυμὸν πληροῦσιν. δείξομεν δὲ καὶ παρ᾽ Ὁμήρωι τὸ ἐπὶ τῶν δύο λεγόμενον (Od VIII 229) ᾽δουρὶ δ᾽ ἀκοντίζω, ὅσον οὐκ ἄλλος τις ὀιστῶι᾽· τὸ γὰρ ἀκοντίζειν ἴδιον μόνον ἐπὶ δόρατος, ὃ δὲ καὶ ἐπὶ τοῦ ὀιστοῦ αὐτὸ ἔθηκεν.

28. αἳ δ᾽ ἤτοι κεφαλάς: ἐπὶ τὰς ἀλλήλων ἰξύας τὰς κεφαλὰς ἔχουσι τετραμμένας, οὐκ ἐπὶ τὰς αὑτῶν, ὡς Ἀριστα-

---

1 ἄκρων AAld: ἄκρον M | δὲ om AAld ‖ 3 τρεῖς om AAld ‖ 4–11 brevius Par δεῖ γιγνώσκειν, ὡς κατὰ πέντε αἰτίας ἡ ἀστροθεσία γέγονεν, ἢ καθ᾽ ὁμοίωσιν, ὥσπερ ὁ Σκορπίος, ἢ κατὰ πάθος, ὡς ὁ Κύων, ἢ μυθικῶς, ὡς — τιμήν et cetera usque ad ζωιδίων, quae non enotabo, vide ad l. 10 ‖ 5 ἅς post αἰτίας M: om AAld | εὐλόγως AAld: om M | τίθ. τῆς ἀστρ. AAld ‖ 8 ὡς ἐπὶ πλ. om AAld | πλεῖστον ς: πλήθους M ‖ 10 οἱ Par: om AMAld | δίδοιμοι Par ‖ 11 ζωδίων AMAld ut semper ‖ 13 Ἅμαξαι om AAld ‖ 14 ἅμαξαι superscripto ἢ ἅμα A | ἔχουσιν AAld ‖ 17 ἄλλως om A ‖ 20 αὐτῆς om AAld | τόπον A ‖ 22 μῆκος AAld: μήκους M ‖ 23 δείξωμεν A | τὸ ἐφ᾽ ἑνὸς λεγόμενον καὶ ἐπὶ τῶν δύο ληφθὲν Ald ‖ 24 ἀκόντιζεν AAld ‖ 25 ἐ. τοῦ ὀ. Ald | καὶ MAld: β̄ A ‖ 27 δή τοι AAld | ἀλλήλων superscripto τῶν ἀγχίκιλων A, cf ad p. 346, 3

χος ὁ γραμματικὸς ὠιήθη (cf Aratea p. 201) τὰς κεφαλὰς αὐτῶν πρὸς τὴν ἰδίαν ἰξὺν ἀποστρέφεσθαι παρὰ τὸ φαινόμενον· ὁρῶσι γὰρ εἰς τοὔμπροσθεν καὶ οὐκ εἰσὶν ἀλλήλαις ἀντεστραμμέναι. ἡ δὲ ἰξὺς λέγεται καὶ ἄκνηστις, ἣν οὐκ ἔστι ξύσαι οὐδὲ ῥάιδιον κνῆσαι.

30. ἔμπαλιν: χωρίς, εἰς τοὐπίσω. ὃ καὶ ἐπιφέρει λέγων εἰς ὤμους τετραμμέναι (30).

30, 1. εἰ ἐτεὸν δή, Κρήτηθεν κεῖναί γε: ὁ Ἄρατος τὸ ποίημα τὸ ἑαυτοῦ ⟨ἐν⟩ τοῖς ποιητικοῖς μᾶλλον εἶναι θελήσας, ἀλλ' οὐχὶ μόνον φυσικώτατον, ὅπερ ἴδιον ποιητοῦ, τοῦτο μεταχειρίζεται, λέγω δὴ τὸν μῦθον, κατὰ καιρὸν μέντοι, οὐκ ἀπιθάνως· καὶ ὡς μὲν ποιητὴς παρεισάγει, ὡς δὲ περὶ φυσικῶν διαλεγόμενος οὐ πάνυ τῶι μύθωι συντρέχειν δοκεῖ. ἐπήγαγε γοῦν τὸ εἰ ἐτεὸν δή, ὅπερ ἐστὶ δισταγμοῦ, ἤτοι τοῦ ἀμφιβάλλοντος. ὁ δὲ μῦθος βούλεται ταύτας ἀνατετραφηκέναι τὸν Δία ἐν Κρήτηι, ὅτε τὴν πυρρίχην, ἥ ἐστιν ἔνοπλιος ὄρχησις, γενέσθαι λέγεται, ἣν ὀρχούμενοι οἱ Κορύβαντες ἐπὶ ὅλον ἐνιαυτὸν τὸν Δία ἔθρεψαν, λαθόντες τὸν Κρόνον.

33. Δίκτωι: ἀκρωτήριον τῆς Κρήτης πλησίον τῆς Ἴδης τοῦ Κρητικοῦ ὄρους, ἔνθα ἐστὶν Ἄλσειον Διὸς τέμενος. ⟨ἐκλήθη δὲ οὗτος⟩ παρὰ τὸ περικείμενον ἄλσος.

σχεδὸν Ἰδαίοιο: τινὲς γράφουσι σχεδὸν Αἰγαίοιο παρ' Ἡσιόδου (Theog 484) λαβόντες, φάσκοντες τραφῆναι τὸν Δία Αἰγαίωι ἐν ὄρει πεπυκασμένωι ὑλήεντι. εἰ δὲ μηδέν ἐστιν ὄρος ἐν Κρήτηι Αἰγαῖον, ἄμεινον διαστέλλειν τῆι ἀναγνώσει ὃ μιν — ὅτε αὐτόν — κουρίζοντα Δίκτωι ἐν εὐώδει

---

2 ἐπιστρέφεσθαι AAld | περὶ A ‖ 3 τὸ ἔμπροσθεν A | ἀγχίκλαις superscripto ἢ ἀλλήλαις A, πρὸς ἑαυτὰς Ald | ἀντεστραμμέναι scripsi (Aratea l c): ἀνατετραμμέναι AMAld ‖ 4 ἔξεστι AAld | ῥάιδιον scripsi: ῥᾶιον AM Ald ‖ 6, 7 schol om AAld ‖ 8 ἐκεῖναί γε M, om AAld ‖ 9 θελήσας εἶναι A Ald | τὸ ἑαυτοῦ ποίημα καὶ ποιητικόν πως θελ. εἶναι ἀλλ' — 10 φυσικὸν Ald ‖ 10 ἐστὶ post ἴδιον Ald ‖ 10, 1 ἴδ. τοῦτο τῆς τοῦ ποιητοῦ μεταχειρίσεως λέγων A, ἴδ. ἐ. ποιητοῦ τὸν μῦθον λέγω κατὰ καιρὸν καὶ οὐκ ἀπιθάνως μεταχειρίζεται καὶ ὡς μὲν Ald ‖ 11 λέγων M, cf Ald | μέντοι om A ‖ 13 γ' οὖν M, οὖν AAld ‖ 14 δισταγμοῦ ἤτοι om M ‖ 15 τὸν Δία M, evanidum in A, om Ald ‖ 16 ἔνοπλος AAld ‖ 16, 7 γενέσθαι λέγεται om M ‖ 18 λανθάνοντες Ald ‖ 19 Δίκτον post lemma AAld ‖ 20 scripsi: ἀλσείου AMAld ‖ 21 scripsi: περὶ τὸ περικ. AM, παρὰ τὸ παρακ. Ald ‖ 21 ἢ ἄλσος superscripsit ad ἄλσος A, om M, perfecit corruptelam Ald παρ. ἐκεῖ ὄρος ἄλσις ‖ 22 Ἰδαίοιο om AAld | αἰγείοιο M ‖ 24 ἐν αἰγαίῳ ὄρει AAld

καὶ ἀφ' ἑτέρας ἀρχῆς ⟨ἄρχεσθαι⟩ ὄρεος σχεδὸν Ἰδαίοιο ἄντρωι ἐγκατέθεντο (34) καὶ νοεῖν, ὅτι ἐγεννήθη μὲν ἐν τῆι Δίκτηι, μετεκομίσθη δὲ ἐπὶ τὸ ἄντρον τῆς Ἴδης. Ζηνόδοτος δὲ ὁ Μαλλώτης (Aratea p. 163) δίκτον ἤκουσε τὸ καλούμενον δίκταμνον, καὶ διὰ τοῦτο καὶ εὐῶδες τοῦτο εἰρῆσθαι. § δοκεῖ δὲ πρὸς εὐτοκίαν συμβάλλεσθαι αὐτό. ὦι καὶ τὴν Εἰλείθυιαν στέφουσι, καί που ἐπ' αὐτῆς Εὐφορίων (fr 79 Mein) ‘στεψαμένη θαλεροῖσι συνήντετο δικτάμνοισι’. § καὶ ταῖς αἰξὶ δὲ προσφιλὴς ἡ βοτάνη· βέλει γὰρ τρωθεῖσαι καὶ ὀρύττουσαι αὐτὴν ἀποβάλλονται τὸ βέλος. § Κούρητες καὶ Κορύβαντες καὶ Ἰδαῖοι Δάκτυλοι οἱ αὐτοί εἰσι, περὶ ὧν καὶ Ἀπολλώνιος (Arg I 1129 sqq.).

Apollodorus Atheniensis (schol Eurip Hipp 78)

Alexander Myndius (Plut De soll anim c. 20, Ael V H I c. 10, schol Verg Aen XII 412; cf Aratea p. 264)

Ἰδαίοιο: ζητοῦσι δέ, τίνος χάριν τὸ Δίκτον εἶναί φησι πλησίον τοῦ Ἰδαίου ὄρους (ἔστι γὰρ πολὺ τὸ διάστημα), ἀλλ' ἐὰν στίξωμεν εἰς τὸ εὐώδει, οὐδὲν ζητηθήσεται. καὶ τὸ ὄρ⟨ε⟩ος σχεδὸν Ἰδαίοιο συναπτέον εἰς τὸ ἄντρον ἐν ὧι κατέθεντο.

ἔδει δὲ εἰπεῖν ‘Δίκτη’, ἀλλ' οἱ ποιηταὶ εἰώθασι τὰ γένη ἐναλλάσσειν. ὡς χώρα χῶρος ὠνὴ ὦνος, οὕτως οὖν Δίκτη Δίκτος. κατὰ τροπὴν οὖν τοῦ σ̄ εἰς δ̄ γίνεται. λέγεται δὲ καὶ οὕτως παρὰ τὸ ἐκεῖσε τὸν Δία τεχθῆναι.

εὐώδει δὲ διὰ τὴν ἐκεῖσε λεγομένην φύεσθαι βοτάνην τὴν δίκταμνον καλουμένην.

⟨περὶ Δίκτου. Δίκτη ἦν, καὶ εἶπεν αὐτὸ Δίκτος· ἔθος γὰρ παρεναλ⟨λ⟩άσσειν τὰ γένη, ὡς παρ' Ὁμήρωι χολὴ χόλος. οὕτως δὲ ὀνομάζεται διὰ τὸ δίκταμ⟨ν⟩ον γίνεσθαι ἐν ἐκείνωι τῶι ὄρει. προσφιλὴς δὲ αὕτη ἡ βοτάνη ταῖς αἰξίν· βέλει γὰρ τρωθεῖσαι καὶ ὀρύττουσαι αὐτὴν ἀποβάλλονται τὸ βέλος Par⟩.

35. Δικταῖοι Κούρητες: οἱ Κούρητες ἐκάλουν τὴν μὲν

---

1 εἶτα (omisso καὶ) ἀφ' AAld ‖ 2 καὶ δὴ νοητέον ὅτι AAld ‖ 3. 4 ὁ μακεδὼν A ς ‖ 5 καὶ ante διὰ om M ‖ 6 αὐτῶ̀ A | ὦι om A; συμβ. διὸ καὶ τ. Εἰλ. τούτωι Ald ‖ 7 φησὶν post Εὐφ. AAld ‖ 8 δὴ AAld | ἡ βάτος A ‖ 9 καὶ om Ald, dein ὀρύττουσιν αὐτὴν καὶ | αὗται M | ἀποβάλλουσι AAld ‖ 10 κούρητες δὲ κ. AAld | κορυβάντιοι A ‖ 11 ἀπόλλ̄ AM, om περὶ — Ἀπ. et sequentia usque ad 15 immutat Ald ‖ 12 lemma om A | δέ τινες τίνος A | τὸ δίκτον εἶναί φησι A: τὴν δίκτην φασὶν εἶναι M ‖ 13 ὄρους A | γ. καταπολὺ A ‖ 14 πλησίον (post ὄρ.) A ‖ 15 ἄντρωι Ald | ἐν ὧι κατέθεντο om Ald ‖ 18 οὖν om A | γίνεται om MAld | κατὰ — γίνεται non intellego | καὶ om Ald, λέγεται δὲ καὶ οὕτως om M ‖ 19 παρὰ AM: περὶ Ald | τὸν Δία ἐκεῖσε A ‖ 20 ἐ. φυομένην β. A ‖ 20, 1 τὴν καλ. δίκταμνον A

μικρὰν Κυνόσουραν διὰ τὴν τῆς οὐρᾶς ὁμοιότητα, τὴν δὲ ἑτέραν Ἑλίκην διὰ τὸ ἑλίσσεσθαι καὶ ἑλικώδη πως τὴν οὐρὰν ἔχειν καὶ διὰ τὸ ἕλκεσθαι ὑπὸ οὐρανοῦ. § κατ' ἐξοχὴν ὠνομάσθη πάντων, ὡς ὁ λέων θὴρ κατ' ἐξοχὴν πάντων.

37. τὴν δ' ἑτέρην Ἑλίκην: τὴν μείζονα Ἄρκτον Ἑλίκην παρὰ τὰς ἕλικας καὶ συστροφὰς αὐτῆς· μείζους γὰρ ἔχει τὰς περιφορὰς τῆς Κυνοσούρας, ἅτε καὶ μείζων οὖσα κατὰ τὸ μέγεθος· ἡ μὲν γὰρ Κυνόσουρα περὶ τὸν πόλον ἐστίν, ἡ δὲ περὶ τὸν ὅλον βόρειον κύκλον. τινὲς δὲ λέγουσιν καὶ ἑλίκωπας ἐνταῦθα τοὺς Ἕλληνας ὀνομασθῆναι, ὅτι πρὸς τὴν Ἑλίκην ἔχουσι τοὺς ὤπας πλέοντες, ποῦ δέον τὰς ναῦς ἀγαγεῖν.

39. τῇ δ' ἄρα Φοίνικες: τῇ Κυνοσούρᾳ τῇ μικρᾷ· βραχεῖα γὰρ οὖσα ἐν τῷ αὐτῷ στρέφεται καὶ ἐστι μᾶλλον τῆς Ἑλίκης εὐσύνοπτος, οὐ τῇ λαμπηδόνι (ἀμυδρὰ γάρ), ἀλλὰ τῷ ἐν τῷ αὐτῷ στρέφεσθαι· ἡ γὰρ ἑτέρα ἐν τῇ περιφορᾷ μείζων κυκλουμένη οὐκ ἔστιν εὐσύνοπτος διὰ τὸ πολυφερές. § πεπίστευται δέ, ὡς ἀκριβέστεροι Φοίνικες τὰ ναυτικὰ καὶ ἐμπειρότεροι τῶν Ἑλλήνων πρὸς τὴν ἐλάσσω βλέποντες· ὁ γὰρ εὑρετὴς αὐτῆς Θαλῆς εἰς Φοίνικας ἀνάγει τὸ γένος. οἱ δὲ Ἕλληνες ἐν ἀγνωσίαι τῆς μικρᾶς ὄντες πρὸς τὴν Ἑλίκην ὁρῶντες ὡς μείζονα διέπλεον καὶ πλέουσιν. ὅθεν αὐτοὺς Ὅμηρος 'ἑλίκωπες Ἀχαιοί' (Il I 389 al), ὡς εἰς αὐτὴν τοὺς ὤπας ἀνατείνοντες. οἱ δὲ λέγοντες ((εὐοφθάλμ))ου((ς)) τοὺς ἑλίκωπας ἁμαρτάνουσιν· παρθένων γὰρ τὸ ἐπίθετον (Il I 98).

Cratetis Homorica (schol Il Lips III 120 p. 169 B. Aratea p. 167 sqq.) cf Hyg II 2 p 33, 5—15

41. πολλὴ φαινομένη: οὐ τῷ μεγέθει, ἀλλὰ τῇ λαμπηδόνι. § τὸ δὲ πρώτης ἀπὸ νυκτὸς ἀπὸ ἑσπέρας φησίν·

---

3 ἐξοχὴν πάντων ὠν. AAld ‖ 4 πάντων om AAld | ὠνομάσθη post ἐξοχὴν add A, ἐξ. εἴρηται Ald ‖ 9 ὅτι post λέγ. add AM: omisi ‖ 10 τὴν μὲν οὖν Ἑλίκην τεκμήριον οἱ Ἕλληνες ἔχουσι πλέοντες ὅπου χρὴ τὰς ναῦς ἀγινεῖν ἤγουν στρέφειν Ald ‖ 11 τοῦ δέοντος τὰς A | ἄγειν A ‖ 13 γὰρ om A ‖ 13, 4 τῆς Ἑλίκης om M ‖ 14 ἀμυδρον A ‖ 14, 5 τὸ ἐν ταυτῷ A ‖ 17 οἱ Φ. A; οἱ οὖν Φ. ὡς ἀκρ. τὰ ν. κ. ἐμπ. τ. Ἑ. θαρροῦντες παρὰ τὴν ἐλάσσω βλέπουσι καὶ ἅμα ὁ εὐρ. αὐτῆς Θ. κτλ. post πολυφερές Ald ‖ 17 εἰσὶ post ἐμπ. A ‖ 18 παρὰ τ. AAld ‖ 21 μ. διαπλέουσιν ὅθεν omissis mediis AAld | ὁ Ὅμ. AAld ‖ 21, 2 ἑλίκωπας καλεῖ ὡς AAld ‖ 22 ἀνατείνοντας AAld ‖ 23 λέγουσιν A | post ἑλίκωπας A οἵτινες καὶ ἀμ. | οἱ δὲ λέγ. διὰ τὸ εὐοφθ. εἶναι τοὺς Ἕλλ. ἑλ. καλεῖσθαι ἁμαρτάνουσι Ald ‖ 26 φησίν om M

εὐθέως γὰρ δύντος ἡλίου φαίνεται· ἔστι μὲν γὰρ δι' ὅλου, ἀλλὰ μεθ' ἡμέραν ὑπὸ τοῦ ἡλίου κρύπτεται.

42. *ἡ δ' ἑτέρη ὀλίγη μέν*: *ἡ δὲ Κυνόσουρα τῶι φωτὶ μὲν ὀλίγη* (*ἔστι γὰρ ἀμυδροτέρα*), *τοῖς δὲ ναυτιλλομένοις ἐπιτηδειοτέρα. καὶ ἐπιφέρει, ὅτι ἐλάττονι στροφῆι χρῆται καὶ περιφορᾶι. ὥστε ἐν τῶι αὐτῶι στρεφομένη εὐσύνοπτός ἐστιν οὐ μεγάλην τὴν περιφορὰν ποιουμένη καὶ ἀποπλανῶσα τοῦ τόπου τὴν θέαν, ὡς ἡ Ἑλίκη.*

45. *τὰς δὲ δι' ἀμφοτέρας —*: *ἀντὶ τοῦ δι' ἀμφοτέρων αὐτῶν εἰλεῖται ὁ Δράκων.* § *ἢ ὅτι διαχωρίζει τὰς ἀμφοτέρας.* § *πτῶσις δὲ ἀντὶ πτώσεως. ἔστι δὲ τὸ τοι((οὖτον)) ἑλληνισμός.* § *τὸ δὲ ποταμοῖο ἅμα καὶ πρὸς τὸ πολυκαμπὲς τῶν ποταμίων ὑδάτων καὶ πρὸς τὸ τοῦ Δράκοντος μέγεθος. καὶ ἐν τούτωι δὲ Ἡσιόδου ζηλωτὴς φαίνεται· ἐκεῖνος γὰρ ποταμὸν εἴκασε δράκοντι εἰπών* ('Catal' fr 65 Rz) *'καί τε δι' Ἐρχομενοῖο ἠπειγμένος εἰσι δράκων ὥς'*, *οὗτος δὲ τοὐναντίον δράκοντι ποταμὸν ἀπείκασεν.* § *Δράκων δὲ οὗτός ἐστιν, ὃν ἀνεῖλε Κάδμος, καθ' ἑτέρους δὲ ὁ τὰ μῆλα φυλάσσων τῶν Ἑσπερίδων, ὡς δὲ ὁ πολὺς λόγος, ὁ ὑπὸ Ἀπόλλωνος ἀναιρεθείς, ὁ Πύθων.*

Sphaera p. 164, 4

Cat p. 187 b sq.

ἀπορρώξ: *ὡς καὶ Ὅμηρος* (Il II 755) *'Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ'*, *ἀπόρροια καὶ ἀπόσπασμα.*

46. *εἰλεῖται, μέγα θαῦμα*: *καθ' ὑπερβολὴν λαμπρὸς ὢν καὶ μέγας ἀμφοτέρας διέζωκε τὰς Ἄρκτους.* § *φέρεται δὲ περὶ τοῦ Δράκοντος Κρητικὸς μῦθος, ὡς ἄρα ἐπιόντος ποτὲ τοῦ Κρόνου ὁ Ζεὺς εὐλαβηθεὶς ἑαυτὸν μὲν εἰς δράκοντα μετεμόρφωσε, τὰς δὲ τροφοὺς εἰς ἄρκτους, καὶ ἀπατήσας τὸν πατέρα*

fort Epimenides (Aratea p. 312), cf p. 321, 18 sqq. 330, 18 sqq.

---

1 *δύντος* scripsi: *δύν* (τ incertum) A, *δύναντος* MAld | *καὶ* ante *ἔστι* A ‖ 2 *μεθημέραν* M ‖ 3 *μὲν* om A | *τῶι* AAld: *τῆι* M ‖ 4 *ἀμ. γὰρ* Ald ‖ 7 *ἀποπλανῶσαν* AAld ‖ 8 *ἡ μ(εί* Ald)*ζων Ἑλ.* AAld ‖ 9 ante schol v. 45 *οἱ Κούρητες ἐκάλουν καὶ ἐρ' ὄπισθεν* A, cf p. 347, 27 ‖ 10 *ὁ Δρ. εἰλεῖται* AAld | *ἢ — ἀμφοτέρας* post *ἑλλ.* (l. 11) Ald | *τὰς* om Ald ‖ 11 *τῆς* ante *πτ.* in M evanidum: om AAld | *καὶ ἐστι τὸ* A, *καὶ καλεῖται τὸ* Ald | *τοιοῦτο* Ald | post *ἑλλ.* A *ὡς καὶ — ἀπόσπασμα* sine lemmate (l. 20, 1) ‖ 12 *ἅμα καὶ* deesse videtur in A; *παραβάλλει* omisso *ἅμα καὶ πρὸς* et *καὶ* post *ὑδ.* Ald ‖ 14 *ἐκεῖνος* AAld: *οὗτος* M ‖ 15 *δράκοντα* A | *δι' Ἐρχομενοῦ* Strabo IX p. 424 (Aratea p. 271): *διερχομένου* M, *διερχόμενος* AAld ‖ 15, 6 *ἠπειγμένος* MAld: *-ως* A, *εἰλιγμένος* Strabo ‖ 16 *δράκοντα* Ald ‖ 16, 7 *ποτ. ὠνόμασε μᾶλλον δὲ ἀπείκασε* AAld ‖ 17 *ἐστιν* om AAld ‖ 18, 9 cf 'Orphei' mei p. 252 | 20 cf ad l. 11 | *ἀπορρώξ* om M | *ὡς* om AAld ‖ 21 *οἷον* ante *ἀπόρροια* Ald ‖ 23 *διέζωσε* Ald, *διεξέδωκε* A ‖ 24 *ὡς ἄρα* om M ‖ 25 *μὲν αὐτὸν* M

μετὰ τὸ παραλαβεῖν τὴν βασιλείαν τὸ συμβὰν ἑαυτῶι τε καὶ ταῖς τροφοῖς τῶι ἀρκτικῶι ἐνεστήριξε κύκλωι. ὡς ἂν οὖν εἰδὼς ὁ ποιητής, ὅτι μετεμορφώθη εἰς δράκοντα, εἶπε (v. 15) *χαῖρε, πάτερ, μέγα θαῦμα.* § *τὸ δὲ περί τ' ἀμφί τε ἀντὶ τοῦ περὶ τὰς Ἄρκτους καὶ ὑπὸ τὰς Ἄρκτους κεκλασμένος.*

47. *αἳ δ' ἄρα οἱ σπείρης: αἵτινες Ἄρκτοι ἑκατέρωθεν αὐτοῦ τῆς σπείρας τὸν ὠκεανὸν φυλάττονται· μόναι γὰρ οὐ δύνουσι διὰ τὸ εἶναι αὐτὰς ἐν τῶι βορειοτέρωι.*

49. *αὐτὰρ ὅ γ' ἄλλην μὲν νεάτηι: περὶ τῶν δύο Ἄρκτων ὁ λόγος. λέγει δέ· ὁ Δράκων ἑτέραν μὲν τῶν Ἄρκτων τῆι ἐσχάτηι αὐτοῦ οὐρᾶι ἀποτείνεται.* § *γράφεται δὲ καὶ ἐπιτέλλεται· κατὰ γὰρ τὴν οὐρὰν ἀποτέταται ὁ Δράκων. ἔστιν οὖν περὶ τὴν κεφαλὴν τῆς Ἑλίκης ἡ οὐρά, ὥς φησιν ἑξῆς* (v. 50, 1). § *περιτέμνεται* (50) *ἀντὶ τοῦ περιλαμβάνει τὴν Κυνόσουραν.*

53. *καὶ οἱ ποδὸς ἔρχεται ἄχρις: ἡ σπεῖρα φθάνει, φησίν, ἄχρι τοῦ ὀπισθίου.*

54. *ἐκ δ' αὐτῆς παλίνορσος: ἡ σπεῖρα, φησίν, ἐξ ὑποστροφῆς ἀναστρέφει. ὅπερ δὲ ὁ ποιητὴς ἐπὶ τοῦ φοβουμένου τὸν δράκοντα εἶπεν* (Il III 33) *'ὡς δ' ὅτε τις — δράκοντα ἰδών —', τοῦτο οὖν ὁ Ἄρατος ἐπὶ τοῦ Δράκοντος αὐτοῦ αἰνίττεται καὶ 'τῆι μὲν οὐρᾶι' φησὶ 'περιλαμβάνει τὴν κεφαλὴν τῆς Ἑλίκης, τῆι δὲ σπείραι οὐ πάσηι περιλαμβάνει τὴν Κυνόσουραν, ἀλλ' ἄχρι τῶν ὀπισθίων ποδῶν, εἶτα αὖθις ὡς εἰς ἀνατολὴν νεύσας πάλιν ἀποκλίνει εἰς δύσιν καὶ τὴν κεφαλὴν ἔχει ὑπὸ τὸν πόδα τοῦ Ἐν γούνασιν.'*

οὐ μὲν ἐκείνηι: τῆι σπείραι.

55. *οἰόθεν οὐδ' οἷος: ἐξ ἑνὸς μέρους οὐδὲ εἷς, ἀλλὰ πολλοί εἰσιν ἐπικείμενοι τῆι τοῦ Δράκοντος κεφαλῆι φαιδροὶ ἀστέρες, ε'.*

---

2 τοῖς M ‖ 4 περί τε A ‖ 6 ἐκ δ' ἄρα Ald | αἵτινες ἄρκτοι post σπείρας (l. 7) M | ἑκάτερθεν A ‖ 8 βορειοτέρωι AAld: βορέι᾽ (sic) M ‖ 9 μὲν νεάτηι om AAld ‖ 10 ἑτέρα M, θατέραν Ald ‖ 11 αὐτοῦ AMAld | γρ. δὲ κ. ἐπιτείνεται ἢ ἀποτείνεται Ald quae cetera commutavit ‖ 15 τὸ δὲ ποδὸς ἄχρις ὅτι AAld ‖ 16 φησίν om M | 17 αὖτις A | φησίν om M ‖ 18 ἀντιστρέφει A Ald | φοβουμένου superscripto γραφομένου A ‖ 19 παλίνορσος ἀπέστη add post ἰδών Ald ‖ 20 οὖν om AAld | αὐτοῦ scripsi: τοιοῦτον AM, φησί. τοιοῦτον Ald | δέ τι ante αἰν. Ald | αἰνίττεται om M | καὶ om M, ὅτι pro καὶ Ald ‖ 21 φησὶ om MAld ‖ 22 σπεῖρα A | τῆι κυνοσοῦρα A | ἀλλ' om AAld ‖ 24 πᾶσιν ἀποκλ. AAld | δόσιν A | τοὺς πόδας AAld ‖ 25 ἐν γόνασιν A ‖ 26 ἤγουν ante τῆι Ald ‖ 29 ἀ. πέντε γάρ Ald

58. *λοξὸν δ' ἐστὶ κάρη: λίαν διδασκαλικῶς· ἡ δὲ κεφαλὴ αὐτοῦ λελόξωται καὶ οὐκ ἔστιν ἀνατεταμένηι ἴσηι, ἀλλ' ὥσπερ ὀλίγον ἐπινεύουσα εἰς ἄκραν τὴν οὐρὰν τῆς Ἑλίκης.*

60. *⟨καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιά:⟩ τό τε στόμα τοῦ Δράκοντος καὶ ὁ δεξιὸς κρόταφος. § ἐπιλαμβάνονται δέ τινες καὶ λέγουσι μὴ εἶναι τὰ δεξιά, ἀλλὰ τὰ ἀριστερά. ἀπολογητέον δέ, ὅτι τοῦ ἀριστεροῦ κροτάφου τοῦ Δράκοντος τὸ δεξιὸν μέρος οὗτος εἶπεν.*

62. *μίσγονται δύσιές τε: καὶ αἱ δύσεις καὶ αἱ ἀνατολαὶ πλησιάζουσιν ἀλλήλαις, λήγουσα μὲν ἡ ἀνατολή, ἀρχομένη δὲ ἡ δύσις, κατὰ τὸν μεσημβρινὸν πόλον, ὅς ἐστι μεσαίτατος πάσης τῆς σφαίρας· ἐκεῖ γὰρ γινόμενος ὁ ἥλιος μεσημβρινὸς γίνεται καὶ λοιπὸν ἑβδόμην ὥραν ἐπ' αὐτοῦ ὡς ἐπὶ δύσιν ἄρχεται ποιεῖν. ἡ δὲ τοῦ Δράκοντος κεφαλὴ ὑπὸ τὸ πέλμα οὖσα τοῦ Ἐν γούνασι καὶ τοῦ ὑπὸ τὸν πόδα κίκλου ἐπιψαύουσα ἐν τῶι τὸν οὐρανὸν κινεῖσθαι γινομένη περὶ τὸν μεσημβρινὸν κύκλον ἐπ' ἄκροις τοῖς τοῦ ὠκεανοῦ ὕδασιν ἔρχεται· οὐ γὰρ καταδύεται, ἀλλ' ὥσπερ αὐτοῖς ἐπινήχεται· ὀλίγον γὰρ σφόδρα τοῦ ὁρίζοντος ἐπιψαύει. § ὁ δὲ νοῦς· ἐκείνη δὲ ἡ κεφαλή, ἡ τοῦ Δράκοντος, κατὰ τοῦτο τὸ μέρος νήχεται καὶ κολυμβᾶι ⟨ἐπ'⟩ ἄκρωι τοῦ ὠκεανοῦ, τουτέστι ((τοῦ ὁρίζοντος ἐπι))ψαύουσα, ὅπου ἥ τε δύσις καὶ ἡ ἀνατολὴ ψαίουσιν ἀλλήλων, δηλονότι περὶ τὸν μεσημβρινὸν πόλον ἤγουν κύκλον. § ὁ δὲ Κράτης φησίν* (p. 63 W. Aratea p. 167), *ὡς ὑπὸ τὸν ὁρίζοντα μῖξις ἀμφοτέρων γίνεται, ὡς καὶ Ὅμηρος* (Od X 86) *'ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι'· ἐπεὶ γὰρ παρ' ἐκείνοις ἡ ἡμέρα ὡρῶν εἴκοσιν, ἡ δὲ νὺξ τεσσάρων, συναπτούσης ὅσον οὐδέπω τῆς δύσεως τῆι ἀνατολῆι, εὐλόγως εἶπεν.* Crates

---

1 *κάρη* om AAld | *τοῦτο* post *διδ.* AAld ‖ 2 scripsi: *ἀνατεταμένη* M Ald, *ἀνατεταγμένη* A ‖ 3 *ἄκρον τῆς Ἑλίκης τὴν οὐρὰν* A, *τὸ ἄκρον τῆς οὐρᾶς τῆς Ἑλ.* Ald ‖ 4 supplevi; *τό τε — 5 κρόταφος* cum l. 3 coniuncta AM, *τῆς Ἑλ. ὥστε κατ' εὐθὺ τοῦ ἄκρου τῆς οὐρᾶς ἵστασθαι τό τε — κρόταφος* Ald ‖ 5—8 om M ‖ 6 *τ. λέγοντες* Ald ‖ 7 *οὖν* Ald | *ὅτι καὶ οὗτος* Ald | *τοῦ Δράκοντος* om Ald ‖ 9 *δύσιές τε καὶ* om AAld | *αἱ* om AAld ‖ 11 *π. ἤγουν κύκλον* Ald ‖ 13 *εὐδόμην* A | *ἀπ'* AAld ‖ 14 *τὸ* om M | *πέλμα* Bekker: *τέλμα* AMAld ‖ 15 *ἐν γόνασι* A | *κύκλο* M ‖ 15, 6 *ἐν τῆ τοῦ οὐρ. κινήσει* AAld ‖ 18 *γάρ ἐστι σφ. τὸ διορίζον* (omisso *ἐπιψαύει*) AAld ‖ 19 *δὲ* ante *ἡ* om AAld ‖ 20 *ἄκρω* superscripto *ἄρκτω* A ‖ 24 *ὡς* om M | *τὸ ὁρίζοντα* M ‖ 25 *τε* om AAld ‖ 28 *εὐλ. τοῦτο εἴρηκεν* Ald

63. *τῆς δ' αὐτοῦ μογέοντι: ἀντὶ τοῦ σύνεγγυς.* § *Ἄρατος ἀπὸ τῶν ἐγνωσμένων ἤδη τὰ μὴ ἐγνωσμένα διδάσκει· ἐπειδὴ γὰρ τὰ περὶ τῆς τοῦ Δράκοντος κεφαλῆς διεξῆλθεν, ἐκ ταύτης τὸν ἐπικείμενον Ἐν γούνασι καλούμενον διδάσκει.* § *ὁ δὲ λόγος· πλησίον δὲ τῆς κεφαλῆς ἀνδρὶ μογέοντι καὶ κάμνοντι ὅμοιος κυλίνδεται. οὐχ οὕτω δὲ αὐτὸ κυλίνδεται, ἀλλὰ συγκαταφερομένωι τῶι οὐρανῶι συμφέρεται, ὡς πρὸς τὴν θέσιν δὲ ἀποβλέπει· ὀκλάσας γάρ ἐστι καὶ ὥσπερ καταπεσὼν ἀπό τινος καμάτου.* § *περὶ δὲ τοῦ εἰδώλου τούτου οὐδεὶς ἱστορῆσαι ἴσχυσεν, ἀλλὰ μόνον τὸν Ἐν γούνασιν αὐτὸ προσεῖπον τουτέστιν ἐπωνόμασαν (ὀκλάζον γάρ ἐστι) κατὰ τὴν θέσιν.* § *εἴδωλον δέ ἐστιν ἀφωμοιωμένον ἀνθρώπωι.*

69. *ὅσσον ἐπ' ὀργυιήν: περὶ τοῦ Ἐν γούνασι βουλόμενος δεῖξαι, ὅτι πάντη ἐκτεταμέναι εἰσὶν αἱ χεῖρες, τὴν ὀργυιὰν ((εἶπεν))· ἔστι γὰρ ὀργυιὰ ἡ τῶν δύο χειρῶν ἔκτασις·*

μέσ⟨σ⟩ωι δ' ἐφύπερθε καρήνωι: ὑπεράνωθεν δὲ τῆς κεφαλῆς τοῦ Δράκοντος ὁ Ἐν γούνασι τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ ἔχει τοῦ ἀριστεροῦ. § *τὸ δεξιτεροῦ συντακτέον τῶι Δράκοντος, ἵν' ᾖι 'τοῦ βορειοτέρου Δράκοντος'· ὁ γὰρ Δράκων βορειότερός ἐστι τοῦ Ἐν γούνασιν.* § *τὸ δὲ δεξιτεροῦ σημαίνει τὸ βορειοτέρου. καὶ ἰστέον, ὅτι εὐλογώτατα ἡμᾶς διδάσκει· ἡμῶν γὰρ ἱσταμένων πρὸς τὴν τοῦ παντὸς κίνησιν τὰ δεξιὰ μέρη ἐστὶ τὰ βόρεια, τὰ δὲ ἀριστερὰ τὰ νότια. ὥστε οὖν φυσικῶς τὸ δεξιτεροῦ ἐστι 'τοῦ βορειοτέρου'. ἡ δὲ τοῦ παντὸς κίνησις πρὸς δυσμὰς γίνεται.*

Cat p. 192 71. *αὐτοῦ κἀκεῖνος Στέφανος: τὸν κίσσινον στέφανον, ὃν ἐφόρει μετὰ θάνατον τῆς Ἀριάδνης ἰσχυροπαθῶν, ἀπέθετο καὶ κατηστέρισε μνημόσυνον τῆς ἐπὶ Ἀριάδνηι συμφορᾶς. τινὲς*

---

4 *ἐν γόνασι* M ‖ 5 *δὲ* om AAld ‖ 6 *οὐ καθ' αὐτὸν δὲ κυλ.* Ald ‖ 7 *συμπεριφέρεται* A, *συγκαταφέρεται* Ald ‖ 7, 8 *δὲ ἀποβλέπει* om M ‖ 8 *καὶ γὰρ ὀκλάσας* AAld | *ὥσπερ* om AAld | *ἐστὶν* post *καταπεσὼν* AAld | *ὡς ἀπό* Ald ‖ 10 *ἐν γόνασιν* A | *αὐτὸν* M ‖ 10, 1 *κατωνόμασαν* A, *ἤγουν ὠνόμασαν* Ald ‖ 11 *ὀκλάζων* A | *κεῖται* post *ἐστι* A; *ὀκλάζοντι δὲ ἔοικε κ. τ. θ.* Ald | 12 *ἀφωμοιωμένων* M, *ἀφομοιωμένον* A, *ἀφομοίωμα* Ald | *ἀνθρώπου* Ald | 13 *ὅσον* M | *ἐς ὀργύην* A, *ἐς ὀργυιήν* Ald | *ἐν γόνασι* A ‖ 15 *ἡ* ante *ὀργ.* M ‖ 18 *τῶι* AAld: *τοῦ* M ‖ 19 *ἵν' ᾖι* Ald: *ὃν ἧς* A; *ἵν' — Δράκοντος* om M ‖ 23 *εἰσὶ* AAld ‖ 24 *τὸ* ante *β.* Ald, om M ‖ 26 *ἱστορία* in margine A, *περὶ τοῦ στεφάνου* in margine M ‖ 28 scil Bacchus | *κατηστέρησε* A | *ἐπ'* Ald

δὲ αὐτὸν εἶναί φασιν, ὃν ἔλαβεν Ἀριάδνη γαμουμένη Διονύσωι δῶρον παρὰ τῆς Ἀφροδίτης καὶ τῶν Ὡρῶν, καταστερισθῆναι δὲ ἐπὶ μνήμηι τῆς Διονύσου φιλίας.

τὸν ἀγαυὸς ἔθηκεν: ἐὰν μὲν ἀγαυός ἀναγνῶμεν, ὁ Διόνυσος, ἐὰν δὲ ἀγαυόν ᾖι, τὸν ἐπίσημον (σημαίνει δὲ καὶ τὸν ἔνδοξον), ὅτι τὸν τῆς ἐρωμένης στέφανον ἀγαυὸν ἐποίησεν ἐν τῶι οὐρανῶι, τουτέστι λαμπρόν· πέντε γάρ εἰσι λαμπρότατοι ἀστέρες, οἵτινες ἀποτελοῦσι τὸν Στέφανον.

73. νώτωι ὑποστρέφεται: τὸ στρέφεται ἤγουν συγκινεῖται τῶι οὐρανῶι ἢ ἐπιστρέφεται τῶι νώτωι· δοκεῖ γὰρ ὥσπερ ἐπικυλίεσθαι τῶι νώτωι τοῦ Ἐν γούνασιν.

κεκμηότος εἰδώλοιο: ἀπὸ τοῦ ἐγνωσμένου τὸ ἄγνωστον ἔδειξεν, ἀπὸ τοῦ εἰδώλου τὸν Στέφανον. τῶι δὲ κεκμηότι διδασκαλικῶς πάλιν χρῆται πρὸς τὰ προειρημένα (66)· δοκεῖ γὰρ κάμνειν διὰ τὸ ὀκλάζειν καὶ διὰ τὸ τὰς χεῖρας τείνειν.

75. σκέπτεο πὰρ κεφαλήν: συνήθως πάλιν ἐκ τοῦ ἐγνωσμένου τὸ μήπω ἡμῖν γνωσθὲν εἰς γνῶσιν φέρει. ὁ δὲ νοῦς· παρὰ δὲ τῆι ἄκραι κεφαλῆι τοῦ Ἐν γούνασι τὴν κεφαλὴν τοῦ Ὀφιούχου βλέπε· ἐπιψαύει γὰρ ἡ κεφαλὴ τοῦ Ὀφιούχου τοῦ Ἐν γούνασιν. εἴρηται δὲ Ὀφιοῦχος, ὅτι Ὄφιν ἔχει καὶ φέρει. § οὗτος δέ ἐστι Cat p. 194
κατά τινας Ἡρακλῆς ἐπὶ τοῦ Ὄφεως βεβηκώς. οἱ δὲ Προμηθέα λέγουσιν. οἱ δὲ Τάνταλον. ἄλλοι Θάμυριν. ἢ Θησέα. ἄλλοι δέ φασί τινες αὐτὸν εἶναι τὸν Ἡρακλέα τοῖς Λίβυσι πολεμοῦντα. ἐπιλιπόντων αὐτῶι τῶν τοξευμάτων ἐπὶ γόνυ ((πεσόντα)) λίθους βαλεῖν, οὓς αὐτῶι Ζεὺς ὗσεν ((εὐξαμένωι)). τινὲς δὲ Ἰξίονα αὐτὸν λέγουσιν εἶναι, καὶ ἄλλοι ἄλλως.

---

2 εἰς δῶρον post Ὡρῶν AAld | παρ' Ἀφρ. M, ὑπὲρ τῆς Ἀφρ. Ald | καταστερηθῆναι A ‖ 3 ἐπὶ μνήμη τ. Δ. φ. AAld: ἐπὶ Διονύσου μνήμη φιλίας τῆς πρὸς αὐτήν M ‖ 5 διονύσιος A | ἂν εἴη post Δ. add Ald ‖ 5—7 ἀγ. τὸν Στέφανον δεῖ νοεῖν, ἵν' ᾖι τὸν τῆς ἐρωμένης στέφανον ἀγαυὸν καὶ ἔνδοξον καὶ ἐπίσημον καὶ λαμπρὸν ἐποίησεν ἐν τῶι οὐρανῶι· πέντε κτλ. Ald ‖ 7 τῶι om M | λαμπροὶ A | ἐννέα Cat p. 193 b 9 ‖ 9—11 νώτωι — Ἐν γούνασι AAld ς: om M ‖ 10 δὲ pro γὰρ AAld ‖ 11 ἐν γόνασιν A ‖ 12 κεκμηότος εἰδώλοιο M: κεκμηότος omisso εἰδώλοιο ς, κεκμηκότος eodem omisso AAld ‖ 14 κέχρηται πάλιν AAld | ὡς ante πρὸς A | εἰρημένα AAld ‖ 15 διὰ τὸ ante τὰς om A ‖ 17 γνωστὸν AAld | ἄγει AAld | περὶ Ald ‖ 18 ἐνγόνασι A ‖ 18, 9 βλέπε τοῦ Ὀφ. AAld ‖ 19 ἐνγόνασιν A ‖ 21 τοῦ om AAld ‖ 22 θίβριν AAld | ἢ θησσ̣ A, οἱ δὲ θησέα Ald ‖ 23 τινες om MAld | τοῖς om A Ald ‖ 24 αὐτῶι Ald: αὐτῶν AM ‖ 25 βάλλειν AAld | ἄλλοι δὲ καὶ Ἰξίονά φασιν post εἰξ. Ald, οἱ μὲν Θησέα λέγουσιν εἶναι, τινὲς δὲ Ἰξίονα A ‖ 26 καὶ ἄλλοι ἄλλως A: om MAld

77. *τοῖοί οἱ κεφαλῇι: θαυμαστικῶς φησιν· τοιοῦτοι γὰρ οἱ ὦμοι ὑπὸ τὴν κεφαλὴν αὐτοῦ ὄντες λάμπουσιν· οἱ γὰρ τοὺς ὤμους αὐτοῦ ἀποτελοῦντες ἀστέρες καθ' ὑπερβολήν εἰσι λαμπροί.*

78. *καὶ ἂν διχόμηνι σελήνηι: διχομήνωι. οὐ δεῖ δὲ τῶν μεταπλασμῶν τὰς εὐθείας ἐπιζητεῖν, ὡς τὸ 'ἐρυσάρματες'* (Il XVI 370). § *τὸ δὲ εἰσωποί — ἴσοι κατὰ τὴν λαμπρότητα, οὐ μὴν καὶ αἱ χεῖρες.*

80. *λεπτὴ γὰρ τῆι καὶ τῆι: καὶ τῆι ἀριστερᾶι γὰρ χειρὶ καὶ τῆι ἄλληι, ἤγουν δεξιᾶι, λεπτοτέρα καὶ ἀμυδροτέρα ὡς πρὸς σύγκρισιν τῶν ὤμων ἐπίκειται λαμπηδών.*

82. *ἀμφότεραι δ' Ὄφιος πεπονείαται: ἀμφότεραι δὲ αἱ χεῖρες τοῦ Ὀφιούχου περὶ τὸν Ὄφιν πονοῦσι καὶ ἐνεργοῦσιν.*

83. *ὃ δ' ἐμμενές: αἰεί. ὁ δὲ Ὀφιοῦχος ἀσφαλῶς δι' ὅλου βαίνων ἀμφοτέροις τοῖς ἑαυτοῦ ποσὶ τὸ μέγα θηρίον, τὸν Σκορπίον, ἐκθλίβει καὶ πατεῖ, τῶι μὲν ἀριστερῶι ποδὶ ἐπὶ τοῦ ὀφθαλμοῦ βαίνων, τῶι δὲ δεξιῶι ἐπὶ τοῦ θώρακος. Εὐδόξωι δὲ καὶ Ἱππάρχωι ἀρχαιοτέροις οὖσιν Ἀράτου* (cf Analecta Eratosth p. 17 sq.) *οὐ δοκεῖ ἀμφοτέρους τοὺς πόδας τοῦ Ὀφιούχου βεβηκέναι ἐπὶ τοῦ Σκορπίου, ἀλλὰ μόνον τὸν ἕτερον, τὸν δ' ἕτερον ὑπὸ τὸν Σκορπίον δοκεῖ εἶναι, καὶ μὴ φαίνεσθαι ὅλως τὸν ταρσόν. ἵνα οὖν μὴ δῶμεν αὐτὸν Εὐδόξωι καὶ Ἱππάρχωι δοκίμοις οὖσι ἐναντιοῦσθαι, ἁρμόσομεν αὐτοῦ τὸ ῥητὸν πρὸς τὴν ἔκδοσιν οὕτως 'ὃ δ' ἐμμενὲς εὖ ἐπαρηρὼς πο⟨σ⟩σίν' ((εἶτα 'μέγα)) ἐπιθλίβει θηρίον τῶι ἑνὶ ποδὶ κατ' ἀμφότερα'· ὁ γὰρ εἰς ποῦς κεῖται ((μεταξὺ τοῦ)) ὀφθαλμοῦ καὶ τοῦ θώρακος.* § *μέγα δὲ θηρίον, ἢ ὅτι τὸν Ὠρίωνα ἀνε((ίλεν, ἢ διὰ)) τὸ μέγεθος τοῦ Σκορπίου* (644).

1–4 evanida in M a prima manu (novata ab altera), recensui e Vaticano (cf p. 314), quocum et spatia in M ac vestigia congruunt, et AAld ‖ 5 *διχομήνη* M ‖ 6 *ὥσπερ ἐρ.* A, *ὥσπερ καὶ τὸ ἐρ.* Ald ‖ 7 *ἰσωποί* AAld ‖ 8 *δὲ* pro *καὶ* AAld | *ἴσαι* post *χ.* Ald ‖ 9 de lemmate cf ed | *γὰρ* AM: *φησὶ* Ald | *τῆι δ.* Ald ‖ 10 *τε καὶ* Ald ‖ 11 sequitur schol p. 355,5–7 AAld ‖ 12 *ἀμφότεραι* pro lemmate AAld ‖ 13 *ποιοῦσι* Ald ‖ 15 *αἰεί* post *ἐμμενές* om AAld ‖ 19 *ἀράτω* A ‖ 20, 1 *βεβηκέναι τοῦ Ὀφ.* AAld ‖ 24 *ἐναντιώσασθαι* A, *-ώσεσθαι* Ald | *ἁρμόσωμεν* A, *ἁρμόσωμεν* Ald ‖ 25, 6 *εἶτα εἰς μέσον ἐπιθλ.* A ‖ 27 *θώρακος* AAld

86. *ἀτάρ οἱ Ὄφις γε δύο στρέφεται μετὰ χερσίν: πάλιν ἐπεξεργάζεται 'ὁ δὲ Ὄφις ἀμφοτέραις ταῖς χερσὶ τοῦ Ὀφιούχου ἑλίσσεται, καὶ ἐν τῇι δεξιᾶι ὀλίγος ἐστὶν ὁ Δράκων'· βραχὺ γὰρ αὐτοῦ ἐστιν ἐν τῇι δεξιᾶι, τὸ περὶ τὴν οὐράν, ἐν δὲ τῇι ἀριστερᾶι τὸ λοιπὸν σῶμά ἐστιν.* § *κάτω δὲ τῆς τοῦ Ὀφιούχου ἀριστερᾶς καὶ τῆς τοῦ Δράκοντος σπειρώσεως καὶ τὰς τοῦ Σκορπίου μεγάλας Χηλὰς ἐπιζήτει* (89). *καλῶς δὲ εἶπεν ἐπιμαλεο· ἐπειδὴ γὰρ ἐξῆς ὡς ἀμυδρὰς αὐτάς φησι, διὰ τοῦτό φησι 'σκέπτου καὶ κατανόει· οὐ γάρ εἰσιν ἔκλαμπροι'.*

88. *καὶ δή οἱ Στεφάνωι: ἔχει ὁ Ὄφις τὴν κεφαλὴν συνάπτουσαν τῶι Στεφάνωι, τὴν δὲ τοῦ σώματος καμπὴν κατ' εὐθεῖαν ταῖς Χηλαῖς.* § *μεγάλας δὲ εἶπε τὰς Χηλάς* (89), *ὅτι ζωιδίου μέγεθος ἔχουσιν, ἢ πρὸς σύγκρισιν τῶν τοῦ Καρκίνου Χηλῶν, ἢ ὅτι ἓν δωδεκατημόριον ἐπέχουσιν αἱ Χηλαὶ τοῦ Σκορπίου. ταύτας δὲ οἱ ἀστρολόγοι Ζυγὸν εἶναί φασιν, ἤτοι ὅτι ἐμφερεῖς εἰσι πλάστιγγι, ἢ ὅτι παρὰ τοῖς ποσίν εἰσι τῆς Παρθένου. ἡ αὐτὴ δέ ἐστι Δίκη, ἥτις τὰ ζυγὰ ταλαντεύει.*

91. *ἐξόπισθεν δ' Ἑλίκης φέρεται: σφόδρα καλῶς καὶ πρεπόντως τῇι ἀκολουθίαι χρῆται· ἀπὸ γὰρ τῶν βορείων κατῆλθεν ἐπὶ τὸν κύκλον καὶ πάλιν ἐπὶ τὰ λειπόμενα ἀνατρέχει. ὁ δὲ νοῦς οὕτως· ὄπισθεν δὲ τῆς Ἑλίκης Ἄρκτου φέρεταί τις ἑλαύνοντι ὁμοίως, ὁ καλούμενος Ἀρκτοφύλαξ.* § *τὸ δὲ ἑλάοντι ἐοικώς, ὅτι τῇι δεξιᾶι καλαύροπα φέρει [καὶ] ὥσπερ τῇι ἀριστερᾶι ἐφαπτόμενος τῆς Ἁμάξης, τῆς Ἄρκτου δῆλον· δοκεῖ γὰρ αὐτὸς φύλαξ εἶναι τῆς Ἁμάξης, τῆς λεγομένης Ἄρκτου, ὁ Βοώτης, ὅσπερ τὰς ἐν αὐτῇι βοῦς ἑλαύνων καλαύροπα φέρει, ὅ ἐστι ῥόπαλον.*

---

1 *αὐτάρ οἱ* M | *γε — χερσίν* om AAld ‖ 2 *πάλιν* AM: *ἔτι* Ald | *ἐπεργάζεται* AAld ‖ 3 *ἑλίσσεται* A ‖ 6 *σπειρώσεως* Ald: *π(λ* add M*)ηρώσεως* AM ‖ 7—9 schol iteravit A ‖ 8 *γάρ φησιν ὡς ἀμ. αὐτοῦ σκέπτου κτλ.* A altero loco | *ὡς περὶ ἀμ.* A | *αὐτὰς* om A | *ἐφεξῆς ἀμ. — ἐρεῖ* Ald ‖ 9 *λέγει* AAld | *καὶ κατανόει* om AAld ‖ 11 *δὲ* post *τὴν* om A ‖ 12 *τῶν χηλῶν* AAld ‖ 14 *δωδεκάτη μόριον* A, *δωδέκατον μόριον* Ald | *τοῦ ζωδιακοῦ* post *ἐπέχ.* Ald ‖ 15 *γὰρ* pro *δὲ* Ald | *τὸν Z.* Ald | *φ. ἢ* Ald ‖ 17 *ἐ. καὶ Δ.* Ald | *καὶ ζ.* Ald ‖ 18 *περὶ τοῦ βοώτου* in margine M | *ἐξόπισθεν* A | *φέρεται* om Ald ‖ 19 *διὸ καὶ ἀπὸ* Ald | *τοῦ βορείου* AAld ‖ 19, 20 *κατελθὼν* omisso *καὶ* Ald ‖ 20 *τοῦ κύκλου* M | *ἀνατρέχει* post *πάλιν* AAld ‖ 21 *οὗτος* Ald | *τῆς Ἑλ. τῆς* Ald ‖ 22 *ὅμοιος* Ald ‖ 23 *διὰ τὸ τῇι δ.* AAld | *κ. ἐπιφέρειν* A, *καλάβροπα φέρειν* Ald ‖ 23, 4 *καὶ τῇι ἀρ. ὥσπερ ἐφάπτεσθαι τ.* Ald | 24 *ἐφαπτομένου* A | *δηλονότι* AAld ‖ 25 *αὐτὸν* superscripto *ἢ αὐτὸν* (volebat *ἢ αὐτὴν*) A, *αὐτὴν* Ald ‖ 25, 6 *φυλάττειν βοώτης* (-*ας* Ald) *δὲ τῆς λεγομένης ἄρκτου ἦγουν τῆς ἁμάξης ὥσπερ τὰς — φέρων κτλ.* AAld

Cat p. 197 sqq.

ἄλλως. οἵτος ὁ Ἀρκτοφύλαξ Ἀρκάς ἐστι, Διὸς καὶ Καλλίστης παῖς, ὃς ὤικει τὸ Λύκαιον παρ' αἰπόλωι τινὶ τραφείς, ὃν λέγεται κινδυνεύοντα σὺν τῆι μητρὶ ἀναιρεθῆναι κατὰ τὸν ἐν τῶι Λυκαίωι νόμον. Ζεὺς δὲ αὐτὸν ἐλεήσας κατηστέρισεν.

τοῦτον δὲ λέγεται εἶναι Ἀρκτοφύλακα καὶ Βοώτην (v. 92) *καὶ Ὠρίωνα· φησὶ γὰρ ὁ ποιητὴς* (Od V 272) *'καὶ ὀψὲ δύοντα Βοώτην'. λέγεται δὲ καὶ Τρυγητής.*

⟨ὅτι τριώνυμός ἐστιν ὁ Ἀρκτοφύλαξ· λέγεται γὰρ Βοώτης καὶ Ὠρίων καὶ Ἀρκτοφύλαξ Par⟩.

94. *καὶ μάλα πᾶς ἀρίδηλος: ὁ δὲ νοῦς· σφόδρα γὰρ ἔχει τοὺς πάντας λαμπροτάτους ἀστέρας, ἕνα δὲ ἔχει ἐν μέσηι ζώνηι, ὅστις διὰ τὴν ὑπερβολὴν τῆς λαμπρότητος ἰδίως καὶ αὐτὸς λέγεται Ἀρκτοῦρος ὁμοίως τῶι παντὶ Ἀρκτούρωι· λαμπηδόνα γὰρ οὐ τὴν τυχοῦσαν ἔχει.*

97. *Παρθένον: ὑπὸ δὲ τοῖς ἀμφοτέροις ποσὶ τοῦ Βοώτου ἐστὶν ἡ Παρθένος. Στάχυς δέ ἐστιν ἐπὶ τῆς ἀριστερᾶς αὐτῆς χειρὸς εὐμεγέθης. ὅθεν καὶ 'αἰγλήεις'. διὰ τί Στάχυν φέρει; ἐπεὶ εὐσεβεστάτη ἐστὶν ἡ γεωργική.*

Περὶ τῆς Παρθένου. οἱ πάντες μέν, ὅσοιπερ κατέλεξαν περὶ τῆς Παρθένου, ληροῦσι, πεποίηται δὲ τὸ πᾶν ποιητικῆι αἰνιγματώδει ἐξουσίαι κεχαρισμένον τοῦ ποιητοῦ τὴν Δίκην ὡς ἀδιάφθαρτον ὑποτιθεμένου καὶ καταλιποῦσαν μὲν τὸν περίγειον κόσμον διὰ τὴν τῆς πονηρίας αὔξησιν, καταλαβοῦσαν δὲ τὸν οὐρανόν. ὅπερ που καὶ ὁ Ἡσίοδος ἐπὶ τῆς Αἰδοῦς καὶ Νεμέσεως εἶπε (Opp 197) *'((κ))αὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς*

---

1 *ἱστορία* in margine A | *ἀρκτοφύλαξ* pro lemmate A ‖ 2 *λύκειον* M ‖ 3 *τῆι* om A ‖ 3, 4 *κατὰ νόμον ἐν τῶι λυκείωι* M ‖ 4 *κατηστέρησε* A ‖ 5 *λέγει* M ‖ 6 *φησὶν ὁ* M ‖ 7 *λέγεται* MAld: *λέγει* A | *δὲ* om Ald | *τρυγητής* Ald: *τρυγητήν* A, *ὁ τρυγητήρ* M ‖ 10 *ἀρίδηλος* om AAld | *ὁ δὲ νοῦς* om M, *δὲ* Ald ‖ 11 *ἀστέρας* om AAld ‖ 13 *ὁμοίως* Ald: *ὡς* AM | *τῶι* Ald: *τὸ* A, *τῶ* M ‖ 14 *ἔχει* post *γὰρ* AAld ‖ 15 *δὲ* om A ‖ 16 *ὑπὸ τῆς* AAld ‖ 16, 7 *χειρὸς αὐτῆς* Ald ‖ 17 *εὐμεγέθης* Ald: *πρὸ τοῦ μεγέθους* A, *πρὸς τῶ μεγέθει* M | *περὶ τῆς παρθένου* post *αἰγλήεις* A: omisi hic ut inscriptionem e margine male insertam et ad l. 19 removi | *τὸ* M, om A | 17, 8 *Στ. δὲ ἡ Π. φέρει, ἐπειδὴ εὐσεβέστατον ἡ γεωργία* Ald ‖ 18 *ἐστὶν* om AAld ‖ 19 *περὶ τῆς παρθένου* in margine M, cf de lemmate ad l. 17; *παρθένον* pro lemmate M: om AAld quae *πάντες δὲ ὅσοι περὶ τ. Π. κατ.* ‖ 20 *γὰρ τὸ* Ald ‖ 20, 1 *π. καὶ αἰν.* Ald ‖ 21 *κεχρημένον* AM, om Ald: correxi ‖ 21, 2 *ὁ μέντοι ποιητὴς τὴν Δ. ὡς ἀδ. κόρην ὑποτίθεται καταλ. μὲν* Ald ‖ 24 *που* om Ald | *ὁ* om MAld

εὐρυοδείης᾽ καὶ τὰ ἑξῆς, οἷον διὰ τοῦ ὀνείδους πειρώμενος πρὸς δικαιοσύνην ἐπιστρέφειν.

97. τὸ δ᾽ ἐν χερσὶ φέρει ⟨Σ⟩τάχυν: οὐ διεσάφησε, ποίαι χειρί, ἴσως διὰ τὸ μέτρον ἐμποδιζόμενος. θεωρεῖται δὲ ἐν τῇ ἀριστερᾷ. § τινὲς δέ φασιν Ἀστραῖον (98) ἀρχαῖον γεγονέναι μαθηματικὸν τὸν πρῶτον εὑρόντα τὴν τῶν ἄστρων ὀνομασίαν, ὅθεν καὶ ‘πατέρα ἄστρων’ ὀνομασθῆναι (99). § πολὺς δὲ καὶ διάφορος λόγος τοῖς παλαιοτέροις περὶ ταύτης τῆς Παρθένου ἐκινήθη, καὶ οἱ μὲν αὐτὴν ἔφασαν εἶναι θυγατέρα Διός, καθὼς καὶ Ἡσίοδος (Opp 256) ‘Δίκη Διὸς ἐκγεγαυῖα’, ἄλλοι δὲ αὐτὴν Ἀστραίου καὶ Ἡμέρας. ἐπειδὴ οὖν πολὺς καὶ διάφορος περὶ αὐτῆς ὁ λόγος, φησὶν Ἄρατος εἶτ᾽ οὖν Ἀστραίου — εἴτε τευ ἄλλου, ἁπλῶς μὲν ἐπισημαινόμενος εἶναι αὐτὴν Ἀστραίου, οὐχὶ δὲ καὶ τοῖς ἄλλοις ἐναντιούμενος. cf Cat p. 201, 2—5

100. εὔκηλος φορέοιτο: ἥσυχος εὐμενὴς φέροιτο ἐν οὐρανῷ. τῶν μὲν οὖν ἄλλων μύθων ἐπιψαύει μὲν ἐνδεικνύμενος τὸ μὴ ἀγνοεῖν, τὸν δὲ ἐπὶ τῆς Δίκης μόνον σχεδὸν ἐξείργασται, δεόντως· ἐκπομπεύει γὰρ τὸ κατὰ τὴν δίκην χρήσιμον καὶ βιωφελὲς ἐκ τοῦ μύθου τοῖς ἀνθρώποις ἐνδεικνύμενος λαμπρῶς καὶ μεγαλοφώνως καὶ ὡς ἂν εἴποι τις Ὁμηρικῷ πλάσματι χρησάμενος.

102. ἤρχετο δ᾽ ἀνθρώπων κατεναντίη: εἰς συνάντησιν τῶν ἀνθρώπων ἤρχετο, τουτέστι φανερῶς ἑωρᾶτο. § ἢ τὸ δίκαιον τῶν προτέρων ἀνθρώπων θέλων Ἄρατος δεῖξαί φησιν, ὅτι καὶ θεὸς οὖσα εἰς τὸ φανερὸν καὶ κατ᾽ αὐτῶν ἐφοίτα τοῖς ἀνθρώποις διὰ τὸ εἶναι αὐτοὺς δικαίους.

103, 4. — ἀλλ᾽ ἀναμίξ ἐκάθητο: τὸ δὲ ἀρχαῖον τὸ χρυσοῦν γένος. § παρὰ τὸ Ἡσιόδειον ‘ξυναὶ γὰρ τότε δαῖτες ἔσαν, ξυνοὶ δὲ θ⟨ό⟩ωκοι’ (fr 216 Rz).

---

1 εὐρυδείης A | οἱονεὶ Ald ‖ 1, 2 πρὸς τὴν δ. Ald ‖ 3 τὸ δ᾽ om M | χειρὶ AAld | στάχυν om AAld ‖ 4 θ. γὰρ pro δὲ A ‖ 5 Ἀστραῖον corr Bekker: ἄστρον AMAld ‖ 6 μαθηματικὸν AAld: καὶ μάθημα M | καὶ ante τὸν A: om MAld | τὸν πρῶτον εὑρόντα AAld: τῶν πρώτως εὑρόντων M ‖ 7 καλεῖσθαι A, ἐπικαλεῖσθαι Ald ‖ 9 θυγατέρα Διός Ald: θυγατέρα (omisso Διός) post Ἡσ. (10) A, om M ‖ 11, 2 ὁ ante περὶ A ‖ 12 αὐτὴν AMAld ‖ 15 ἀμενὴς Ald ‖ 16 ἐπιψαύεται AAld ‖ 18 εἰκότως AAld | τὸ κατὰ τ. δ. χρ. Ald: τοῖς κατὰ τ. δ. τὸ χρ. AM ‖ 20 φαίη τις A, ἄλλος τις εἶπεν MAld ‖ 22 κατεναντίη om AAld ‖ 24 θέλων δεῖξαι ὁ Ἄρ. Ald ‖ 24, 5 φησὶν ὅτι om M ‖ 25 καὶ κατ᾽ αὐτῶν om AAld ‖ 26, 7 lemmate omisso scholia coniungit AAld ‖ 28 παρ᾽ ἡσιόδῳ A ‖ 29 sequitur schol ad v. 121 AAld (p. 359, 10—12)

105. *ἀγειρομένη δὲ γέροντας*: *ἀντὶ τοῦ ἀγείρουσα, ὅ ἐστι συναθροίζουσα. τοὺς δὲ παλαιοτέρους ἀνθρώπους συναγείρουσα ἤτοι ἔν τινι ἐκκλησίαι ἢ ἐκ τοῦ παρατυχόντος ἐν ὁδῷ τὰς δημωφελεῖς θέμιστας ἐξηγεῖτο.* § *τὸ δὲ ἐπισπέρχουσα* (107) *ἐπισπουδάζουσα σπεύδουσα διδάσκουσα.* § *δημοτέρας δὲ δημοτικάς, ὑποδεικνῦσα τὴν δικαιοσύνην καὶ διδάσκουσα.*

Cat p. 201, 6 sqq. *ἄλλως. ὅλην τὴν ἱστορίαν παρ' Ἡσιόδου εἴληφεν* (Opp 109 sqq. Aratea p. 273), *ὅτι συνάγουσα τοὺς πρεσβυτέρους εἰς τὰς ἐκκλησίας ἡ Δίκη αὐτοῖς ἐξηγεῖτο. οὐδέπω δὲ τότε οἱ ἄνθρωποι περὶ κακῆς στάσεως ἔννοιαν εἶχον οὐδὲ τὸ δίκαιον ἀνετρέπετο, ἀλλ' ἀπὸ γεωργίας ἔζων, καθ' οὓς χρόνους ἦν τὸ χρυσοῦν γένος. μεταστάντων δὲ ἐκείνων οὐκέτι ὁμοίως συνῆν αὐτοῖς, ἀλλ' εἰς τὰ ὄρη τέως ἀνεχώρει διὰ τὰς ἐπιγινομένας ἀδικίας τὸ ἀνθρώπινον γένος μισήσασα καὶ λοιπὸν τοῖς ἄστροις συνηριθμήθη.*

δημοτέρας δὲ πραείας καὶ οὐ τυραννικάς·

108. *οὔπω λευγαλέου τότε νείκεος*: *ἑλληνισμὸς πάλιν* (cf p. 359, 10 adn) *τὸ τοιοῦτον 'οὔπω ἠπίσταντο νείκεος' ἀντὶ τοῦ 'οὔπω ἤιδεσαν τὰς ἀδίκους στάσεις ταύτας καὶ φιλονεικίας'.*

τὸ δὲ διακρίσιος πολυμεμφέος τῆς ἀδίκου διαχωρίσεως, τῆς ἐχούσης μέμψεις καὶ ψόγους καὶ ἀμφισβητήσεις.

110. *αὔτως δ' ἔζωον*: *ἁπλῶς, ἀκάκως, χωρὶς ἀδικίας καὶ τῶν ἄλλων κακῶν.* § *τὸ δὲ χαλεπὴ δ' ἀπέκειτο θάλασσα ἀντὶ τοῦ 'οὐ παρεκινδύνευον οἱ ἄνθρωποι ἐν θαλάσσηι διὰ τὸν βίον'· ἱκανὴ γὰρ ἦν ἡ γεωργία καὶ ἑκάστωι τὰ ἐπιχώρια ἤρκει τε καὶ ἤρεσκεν. καὶ ὁ Πίνδαρος* (Ol II 64 sq.) *'οὐδὲ πόντιον ὕδωρ κενεὰν παρὰ δίαιταν' περὶ τῶν μακάρων λέγων.*

ἀπέκειτο: *ἄπωθεν τοῦ νοῦ αὐτῶν ἔκειτο, οὐκ ἐνεθυμοῦντο πλεῖν.* § *τὸ δὲ αὔτως ἁπλῶς καὶ ἄνευ πανουργίας ἔζων.* § *χαλεπή δέ, ἤτοι διὰ τὸ ληστεύεσθαι τότε ἢ διὰ τοὺς χειμῶνας ἢ δι' ἀπειρίαν.*

---

1 *γέροντας* om AAld ‖ 2 *συναθροίουσα* A; *ὅ ἐ. συναθρ.* om M ‖ 4 *ἐπισπεύδουσα* A ‖ 5 *διδάσκουσα σπεύδουσα* AAld ‖ 6 *ὑποδεικνῦσα* Ald post *διδ.* (5) | post *δικ. δηλαδὴ καὶ τὰς ἄλλας ἀρετάς. ὅλην δὲ* Ald ‖ 7 lemma om A Ald ‖ 8 *ἥτις σ.* A ‖ 8, 9 *ὅτι — ἐξηγεῖτο* om Ald ‖ 9 *ἡ Δίκη* ante *εἰς* A | *φησὶ* ante *τότε* add Ald ‖ 10 *ὑπὸ* Ald ‖ 13 *ἐπιγενομένας* Ald ‖ 16 *τότε νείκεος* om AAld ‖ 18 *εἴδεσαν* A, *εἴδησαν* Ald ‖ 19 *ἀδίκου φιλονεικίας τ.* AAld ‖ 20 *ἐχούσας* Ald | *λόγους* Ald ‖ 21 *ἀδικίας* Ald: *δίκης* AM ‖ 23 *τοῦ οὐδὲ* AAld | *οἱ* om M ‖ 25 *ὁ* om AAld ‖ 26 *κενεὰν* Pindari codd: *κενεὸν* AAld, *κενεὸν ἂν* M | *περὶ δ.* AMAld ‖ 27—p. 359, 2 om A ‖ 29 de *ληστεύεσθαι* cf Arati ed Prol p. VI

111. *καί βίον οὔπω νῆες* —: *ἀλλ' ἕκαστος ἠρκεῖτο τοῖς ἐν τῇι ἰδίαι χώραι γινομένοις.*

114. *τόφρ' ἦν, ὄφρ' ἔτι γαῖα*: *τὸ τηνικαῦτα δὲ καὶ ἐπὶ τῆς γῆς καὶ ἐν ταῖς πόλεσιν ἦν, ἕως περιῆν καὶ τὸ χρυσοῦν γένος ἐπὶ τῆς γῆς, τῶι δὲ ἀργυρέωι σπανίως καὶ ὀλίγως διέτριβεν.*

117. *ἀλλ' ἔμπης ἔτι κεῖνο* —: *ἀλλ' ὅμως, φησίν, εἰ καὶ τοὺς παλαιοτέρους ἐπόθει, ἀλλ' οὖν καὶ κατ' ἐκεῖνο ⟨συν⟩ἦν τοῖς ἀνθρώποις, ἤγουν κατὰ τὸ ἀργυροῦν γένος. ἠπείλει δὲ αὐτοῖς τὴν ἐνυπάρχουσαν κακίαν διελέγχουσα.* § *ἑλληνισμὸς δὲ τὸ ἠπείλει* (121) *ἀντὶ τοῦ διήλεγχε τὴν κακίαν αὐτῶν, ὅτι τοιαύτην γενεὴν οἱ χρύσειοι ἔλιπον* (123).

118. *ἤρχετο δ' ἐξ ὀρέων*: *παρεγίνετο δὲ ἐν ταῖς πόλεσιν ἐπὶ εἰρήνηι ἐκ τῶν ὀρῶν· ἐν γὰρ τοῖς ὄρεσι διέτριβε μηκέτι ταῖς ἀστικαῖς διατριβαῖς ἀρεσκομένη. ἐσπέρας δὲ ἤρχετο ἐν ταῖς πόλεσιν, ὅτε αὐτὴν οὐδεὶς ἑώρα· φησὶ γάρ, ὅτι οὐδενὶ ἤθελεν ἀναμίγνυσθαι* (119). § *τὸ δὲ μουνάξ* (119) *σὺν ἑνὶ μόνωι ἀνδρί. κἀκείνωι δὲ συνετύγχανε, ὡς ἔοικεν, ⟨ἐπὶ⟩ τῶι τὴν κακίαν τοῦ γένους ἀλλάξαι.*

120. *ἀλλ' ὁπότ' ἀνθρώπων*: *ἀλλ' ὁπηνίκα ποιουμένη ἐν τοῖς ὄρεσι τὰς διατριβὰς (οὐκέτι γὰρ ἐν ταῖς πόλεσιν) ἀνδρῶν ἐπλήρου τὰς κολώνας. ἐκείνους τοὺς ἄνδρας μεταπεμπομένη ἠπείλει τοῖς λοιποῖς καὶ διήλεγχε τὴν αὐτῶν κακίαν· ἐποιεῖτο γὰρ τὴν ἐκκλησίαν οὐκέτι συμβουλεύουσα, ἀλλὰ τὰ παρόντα διελέγχουσα.*

μεγάλας πλήσαιτο κολώνας: *ἐν γὰρ τοῖς ὄρεσι λοιπὸν τοὺς ἀνθρώπους ἐσώρευε καὶ ἐν ταῖς κολώναις. τοῦτο δὲ αἰνίττεται, ὅτι τὰ μεσόγαια δικαίοις ζῶσι καμάτοις, γεωργίαι προσέχοντα καὶ οὐκ ἐμπορίαις καὶ ἀδικίαις κέρδους.*

---

3 *ὄφρ' ἔτι γαῖα τὸ* om AAld ‖ 4 *ἐπὶ ταῖς π.* A ‖ 5 *γῆς ἀργυρέω δ' ὀλίγη ἀντὶ τοῦ* Ald, *ἀντὶ τοῦ* post *ἀργυρέω* A ‖ 8 *ἀλλ' οὖν* A: *ἀλλὰ καὶ* Ald, om M ‖ 10—12 scriptum ad v. 102 p. 357, 29 AAld, cf l c ‖ 12 *χρύσιοι* A ‖ 13 *παρεγένετο* AAld ‖ 14 *εἰρήνη* MAld, *εἰρήνην* A ‖ 18 *ὡς ἔοικε* Ald: *καὶ ὡς ἔοικε* A, om M | supplevi ‖ 22 *ἐκεῖ αὐτοὺς μετ. ἠπ.* Ald ‖ 24 *παρόντα* AAld: *προόντα* M ‖ 26, 7 *μεγάλας — κολώναις* om Ald ‖ 26 *μ. πλήσσετο* (omisso *κολώνας*) A ‖ 27 *ἐσώρευον* M ‖ 28 *αἰνίττεται οὖν διὰ τοῦ εἰπεῖν 'ἐπλήρου τὰς κολώνας' ὅτι* Ald ‖ 29 *προσέχοντες* Ald | *ἐμπορίαις* A$^{\alpha}$ | *ἀδικίαις* A$^{\alpha}$ | *καὶ οὐκ ἀδικίαις κέρδους ἐμπορίας* Ald

123. *οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο: ἐκ προσώπου ταῦτα τῆς Δίκης, θαυμαζούσης ὅτι χρύσειοι πατέρες χείρω γενεὴν ἐλίποντο. καὶ δήπου ἐκ τοῦ ἐπιγινομένου γένους τοῦ χαλκείου ἐπικείσεται δὲ ἄλγος* (126) *ἑκάστωι καὶ διὰ τοὺς πολέμους καὶ διὰ τὰ φαῦλα.*

127. *ὣς εἰποῦσ' ὀρέω((ν)) ἐπεμαίετο: ταῦτα εἰποῦσα ἀπὸ τῶν κολωνῶν ἐπὶ τὰ ὑψηλότερα τῶν ὀρῶν ἔβαινεν ἀεὶ τῆς ὀρείου διαίτης φροντίζουσα. ὅμως μέντοι ἐπὶ γῆς οὖσα καὶ ἐν ὄρεσι τοὺς ὄχλους εἰς αὐτὴν ἀφορῶντας κατελίμπανεν. § αἱ διαφοραὶ τῶν λέξεων παριστῶσι τὰς κακίας τῶν ἀνθρώπων.*

132. *((πρ))ῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων: ((καὶ)) εἰς τοῦτο ἱκανῶς μέμφεται αὐτοῖς, ὡς ἀρξαμένων αἰτῶν κρεοβορεῖν, τῆς προτέρας γενεᾶς μήπω τοῦτο ἐργασαμένης.*

((οἱ)) ἀρχαῖοι ἐφυλάττοντο τοὺς ἐργάτας βοῦς καθιερεύειν. τοῦτο δὲ καὶ Ὅμηρος οἶδε 'βοῦν ἀδμήτην, ἣν οὔπω ὑπὸ ζυγὸν ἦγαγεν ἀνήρ' (Od III 383 al) *'ἥνις ἠκέστας'* (Il VI 94 al)· *ἀσεβὲς γὰρ ἐδόκει τοῖτο εἶναι τὸ ((σφ))αγῆναι ἀρότην. πρῶτοι δὲ Ἀθηναῖοι ἐγεύσαντο τῶν τοιούτων βοῶν, ἐπεί ποτε βουθυσίας ἀγομένης πόπανα κατέφαγεν. φασὶ δὲ καὶ τοὺς τοῦ Ὀδυσσέως ἑταίρους* (Od XII 359 sq.) *τοιούτους βοῦς κατεδηδοκέναι, ὠργίσθαι δὲ τὸν Ἥλιον, ἐπεὶ οἱ ἀροτῆρες βοῦς τοῦ ὁρᾶν ἡμᾶς τὸν ἥλιον αἴτιοί εἰσι ποριστικοὶ ὄντες τροφῆς καὶ τὴν ζωτικὴν δύναμιν διὰ ταύτης τοῖς πᾶσιν ἔμμονον ἀπεργαζόμενοι.*

---

1 *χρυσείην* Ald | *πατέρες* om Ald | *γενεὴν ἐλίποντο* om AAld ‖ 2 *ταῦτα* om AAld | *ὅπερ οἱ χρ.* A, *ὅπως οἱ χρ.* Ald ‖ 3, 4 *καὶ ὡς οὗτοι οἱ ἀργυροῖ τέξονται τοὺς χαλκοῖς πολὺ χείρους* Ald ‖ 3 *ἐπιγομένου* A ‖ 4, 5 *οἷς ἐπικείσεται ἄλγος καὶ διὰ τοὺς — φαῦλα* Ald ‖ 6 *ἐπεμαίετο* om A Ald ‖ 7 *ἀπὸ τῶν κολωνῶν* post *ἔβαινεν* A ‖ 9, 10 *αἱ δ. — ἀνθρώπων* om A Ald, *αἱ διαφοραὶ τῶν λ.. παριστῶ.. τὰς κεκ.....* M ‖ 11 *ἐπάσαντ' ἀροτήρων* om AAld ‖ 12 *ὡς ἀρξαμένοις* A, *ἀρξαμένοις* Ald ‖ 12, 3 *κρεωβορεῖν* AM, *ἐσθίειν ἀροτῆρας βοῦς* Ald ‖ 14 *οἱ γὰρ ἀρχ.* Ald | *ἐφύλαττον* Ald ‖ 14–22 *οἱ ἀρχ. — τροφῆς* etiam Par ‖ 15 *τοῦτο* om A | *δὲ* om APar | *διὸ καὶ Ὅμ.* Ald | *εἶπεν* A, *φησὶ* Ald | *ἀδμήτην* APar Ald: *ἀτμήτην* M ‖ 16 *ἤγαγέ τις ἀσ.* A, *ἤγαγ' ἀρότας ἀσ.* Ald ‖ 17 *ἐδ. τῶ* (om Ald) *τὸν ἀρότην σφάξαι* AAld, *ἦν τὸν ἀρότην βοῦν φαγεῖν* Par ‖ 18 *ποτε* evanidum Par | *βοοθυσίας* M, *βοῦς θυσίας* Par ‖ 18, 9 *ἀγο..... οπ... κατέφαγε* Par | *ἐπεὶ — κατέφαγεν* om A ‖ 19 *πόπανα* scripsi, cf Par et schol Aristoph Nub 985: *ποτὰν* M | *τοῦ* om AAld ‖ 19, 20 *τοὺς ἑτέρους τοῦ Ὀδυσσέως τ.....ς* Par ‖ 20, 1 *ὠργίσθη δὲ ὁ ἥλιος* AAld ‖ 21 *βόες* AAld ‖ 22 *εἰσὶν αἴτιοι τροφῆς ὄντες πoριστικοί* ceteris omissis Par | *τροφῆς πορ. ὄντες* A ‖ 22, 3 *καὶ τὴν — ἀπεργ.* om M

134. *ἕπταθ' ὑπουρανίη: οἶδε γὰρ ὁ Ἄρατος τὴν Παρθένον δύο πτέρυγας ἔχουσαν, καθάπερ καὶ ἄλλοι μαρτυροῦσι [τὸ πτέρυγας αὐτὴν ἔχειν] ἐν τοῖς Καταστερισμοῖς* (p. 202 b 3—6).

135. *ἦιχί περ ἐννυχίη ἔτι φαίνεται: ὥσπερ ποιητικεύομενός φησιν, ὅτι πρότερον ἐπὶ γῆς συνοῦσα τοῖς ἀνθρώποις διὰ τὰς ἐπιγινομένας νῦν ἀδικίας μόγις ἐν οἰρανῷ οὖσα τοῖς ἐν τῇι γῆι ἐν νυκτὶ φαίνεται. § τὸ δὲ ἐγγὺς — Βοώτεω* (136) *καὶ τοῦτο ποιητικῶς, ὅτι, ἐπειδὴ τῶν τοιούτων ἦν φίλη, τοῦ γεωργεῖν ⟨ἕνεκα⟩ καὶ τοῦ ἀπράγμονα βίον μετιέναι τοὺς ἀνθρώπους διὰ τοῦτο ἐγγὺς τοῦ Βοώτου κατηστέρισται.*

136. *πολυσκέπτοιο δὲ* (136) *τοῦ λίαν λαμπροῦ. § τινὲς δὲ τῶι Ἀράτωι ὡς ((παρ))ατείνοντι τὴν μυθολογίαν ἐπεμέμψαντο ἐν τῶι προτέρωι μύθωι. καί φαμεν, ὅτι, ἐπειδὴ ἐκεῖνος καὶ βλασφημίαν τινὰ εἶχεν ὁ περὶ Ἄρκτων καὶ τοῦ Διὸς τοῦ Κρονίωνος, οὗτος δὲ βιωφελής ἐστι τοῖς ἀνθρώποις, διὰ τοῦτο καὶ παρεξέτεινεν αὐτόν.*

137. *τῆς ὕπερ ἀμφοτέρων: ἐπειδὴ πολὺς ἐνέμεινε τῶι μυθικῶι καὶ δοκεῖ παρεκτετράφθαι, διὰ τοῦτο λοιπὸν ἐπαναλαμβάνει, καὶ ἐπὶ τὴν τῶν θεωρουμένων ἀκρίβειαν ἔρχεται καὶ ἐπὶ τοῦ ἀστέρος τοῦ ἐπικειμένου ἐν τῶι δεξιῶι ὤμωι τῆς Παρθένου, ὅστις σφόδρα ἐστὶ λαμπρὸς καὶ καλεῖται Προτρυγητήρ· πρὸ γὰρ τῆς τοῦ τρυγήτου ὥρας ὀλίγον προανατέλλει· ἐπιτέλλει γὰρ ἡ κεφαλὴ καὶ οἱ ὦμοι τῆς Παρθένου τῶι Λέοντι. ἄλλο δὲ ἐπιτολὴ καὶ ἄλλο ἀνατολή· ἀνατολὴ μὲν γὰρ ἡ τοῦ ζωιδίου παντός, καθό ἐστιν ἡ τοῦ ἡλίου ἐπιφάνεια, ἐπιτολὴ δὲ τὸ ὑπὸ τὸ ζώιδιον· ὅταν γὰρ συνανατείληι ἐπί τινι, ἐπιτέλλειν λέγεται, ὡς τὸ 'Πληιάδων Ἀτλαγενέων ἐπιτελλομενάων'* (Hesiod Opp 383)· *αἱ γὰρ Πλειάδες ἐπὶ τὴν τοῦ Ταύρου εἰσὶ τομήν, αἵτινες τῶι Κριῶι ἐπιτέλλονται, ὅτε ὁ ἥλιος ἐν τῶι Κριῶι*

cf Ach p. 74, 27 sqq.

1–3 schol om M ‖ 1 ὑπουρανίην A | οἶδε Ald: ἤιδε A ‖ 3 seclusi | cf p. 202, 3 sqq. et imagines a Thieleo editas (Antike Himmelsbilder) ‖ 4 ἔτι φαίνεται om AAld ‖ 5 καὶ post γῆς M: om AAld ‖ 6 νῦν om M ‖ 7 ἐγγὺς οὖσα καὶ AAld ‖ 9 supplevi ‖ 10 καὶ ante ἐγγὺς Ald | κατηστέρηται A ‖ 11 δὲ om A ‖ 12 τοῦ ἀράτου A | παρατείνοντος A | κατεμέμψατο A, -αντο Ald ‖ 13 καὶ φησὶν μὲν A ‖ 14 ἄκτων A ‖ 14, 5 τοῦ Κρονίωνος om M ‖ 15 ἐστὶν post ἀνθ. A, τοῖς ἀνθρώποις om Ald ‖ 16 αὐτόν om Ald ‖ 20 ? ‖ 21 καλεῖ A ‖ 24 μὲν (pro δὲ) A, μὲν οὖν ἀνατολὴ καὶ ἄλλο ἐπιτολή Ald | μὲν om M | ἐστὶ post γὰρ AAld ‖ 26 ὑπὸ τὸ ζ. AAld: ὑπὲρ ζ. ς, ὑποζώδιον M | γὰρ om AM | συνανατέλλη AAld ‖ 26, 7 ἐπιτέλοντι λ. A ‖ 27 ὁ ante τὸ A | Ἀτλαγενέων om A ‖ 29 τῶι alt om M

ἐστι καὶ ὅτε γίνεται καὶ θερισμοῦ ἀρχή, ὅτε πρῶτον τὰς κριθὰς θερίζουσιν. § *τὸ δὲ ὑπὲρ ἀμφοτέρων ὤμων* (137), *ὅτι οὐδὲ ὁ ἀστὴρ τοῦ δεξιοῦ ἐπιψαύει, ἀλλ' ὥσπερ ὀλίγον ἤρτηται. διὸ εἶπεν ὑπ⟨ὲρ⟩ — ὤμων ἐλίσσεται σὺν οὐρανῷ καὶ αὐτῇ τῇι Παρθένωι.*

139. *τόσσος μὲν μεγέθει: ὀλίγος μὲν οὗτος τῶι μεγέθει καὶ τῇι λαμπηδόνι ἐγκείμενος, ὁποῖος καὶ τῆς μεγάλης Ἄρκτου τῆς Ἑλίκης φαίνεται ὑπὸ τῆς οὐρᾶς. καὶ διδασκαλικώτατα πεποίηκεν· ἅμα γὰρ τῶι τε παραβάλλειν ἐδίδαξε καὶ τεχνικῶς πάλιν δέδωκεν ἀφορμὴν αὐτῶι, ὥστε ἀνελθεῖν ἐπὶ τὰ βόρεια κἀκεῖθεν πάλιν ἄρξασθαι ἄλλων.*

141. *δεινὴ γὰρ κείνη: ἀντὶ τοῦ 'λαμπρὰ κἀκείνη ἡ Ἄρκτος ἐστὶν ἅπασα'* (Ὅμηρος [Il XVI 104 sq.] *'δεινὴ⟨ν⟩ δὲ περὶ κροτάφοισι φαεινὴ πήληξ'*), *οὐ μόνον δὲ αὐτή·* § *ἐγγύθεν δὲ πλησίον περικείμενοι αὐτοῦ ἀνονόμαστοι ὄντες λαμπροί εἰσιν.* § *τοίηι δὲ αἴγληι* (139), *οἷος ὁ τῆς οὐρᾶς ἀστήρ, τῆς Ἄρκτου δηλονότι. ἕνα λέγει τῶν τὸν ῥυμὸν τῆς Ἄρκτου ἀποτελούντων.*

δεινή: ἀντὶ τοῦ καταπληκτική, οὐκ ἀγρία, διὰ τὴν λαμπρότητα τῶν ἀστέρων, λαμπρὰ δὲ ἅπασα.

142. *οὐκ ἂν τούς γε ἰδών: οὐκ ἄν, φησί, τούτους τοὺς τῆς Ἄρκτου θεασάμενος ἀστέρας ἔτι κατασκοπήσειας πρὸς τὸ γνωρίσαι αὐτήν· ἰδὼν γὰρ ἐκείνους εὐθὺς ἐγνώρισας. τοῦτό ἐστι τὸ ἐπιτεκμήραιο, ἐπὶ τούτοις τοῖς ὀφθεῖσι λαμπροῖς ἀστράσιν οὐκ ἄλλου τινὸς πρὸς τὴν κατάληψιν τῆς Ἄρκτου χρείαν σχοίης. τινὲς δὲ 'τῆς μεγάλης οὐρᾶς τῆς Κυνοσούρας' ἤκουσαν. μεγάλη δὲ αὕτη ἡ οὐρὰ ὡς πρὸς τὴν Ἑλίκης. ἀλλ'*

---

1 *ἔστι κατὰ τὴν* (τοῦ add Ald) *θέρους ἀρχὴν ὅτε* (ὅτι Ald) *πρ.* AAld ‖ 3–5 *ἀλλ' — Π.* om AAld ‖ 6 *μὲν* om Ald ‖ 8 *ἀπὸ* libri | *διδασκαλικώτατον* M; *διδασκαλικῶς γὰρ τοῦτο· ἅμα* Ald ‖ 9 *τό τε* Ald, *τὸ* M, *τῶι* A | *παραλαβεῖν* A | *τεχνικὴν* Ald ‖ 9, 10 *πάνυ δεδ.* AAld ‖ 10 *αὐτῶι* AMAld ‖ 12 *γὰρ κακείνη* AAld | *ἀντὶ τοῦ* om Ald ‖ 12, 3 *λαμπρὰ* post *Ἄρκτος* iteravit M ‖ 13 *ἐστὶν καὶ Ὅμ.* A, *καὶ Ὅμ.* Ald | *δεινὴ δέ οἱ περὶ* AMAld ‖ 14 *οὐ μόνον δὲ αὐτή* om M; *ἀλλὰ καὶ οἱ ἐγγύθεν ἦγουν πλησίον αὐτῆς περικείμενοι ἀστέρες* Ald ‖ 16 *τοίηι δὲ αἴγληι οἷος* scripsi: *τὸ δὲ λέγει οἷον* AM ‖ 16, 7 *λέγει δὲ τοὺς τὴν οὐρὰν τῆς ἄρκτου, ἤγουν τὸν ῥυμόν, ἀναπληροῦντας* ceteris omissis Ald ‖ 17 *λέγε* M | *ἀναπληρούντων* A ‖ 18, 9 schol om M, post *ἀναπληροῦντας* (adn l. 16, 7) Ald sic *δεινὴ δὲ κατ. κτλ.* ‖ 18 *καταπληστικὴ* A ‖ 19 *γὰρ* Ald ‖ 20 *ἰδών* om AAld ‖ 21 *τῆς* om AAld ‖ 22 *εὐθὺς* om M ‖ 23 *γάρ ἐστι* Ald | *ἦγουν ἐπὶ* Ald ‖ 24, 5 *ἀστράσιν οὐ δεηθήσηι πρὸς τὴν τῆς ἄρκτου κ. χρείαν* (om Ald) *σχοίης* (σχολῆς Ald) AAld ‖ 26 *οὖν* pro *δὲ* Ald | *τῆς Ἑλ.* AMAld

εἰσὶν οἱ ἀστέρες ἀμυδροὶ ἐκεῖνοι. ‘μεγάλης’ οὖν ‘Ἄρκτου οὐρῆς’ τοῦτο ὑπερβατόν.

143. οἱός οἱ πρὸ ποδῶν: τὸ οἷος οὐκ εἰκασμοῦ, ἀλλὰ θαύματος. τοιοῦτος ἦν, ὁποῖος τῶν ἐμπροσθίων ποδῶν ἄνωθε⟨ν⟩ περὶ μηροὺς ((φέρ))εται ἀστήρ.

144. εἰς μὲν ὑπωμαίων: περὶ τῶν τῆς Παρθένου ἀστέρων διαλέγεται, ὅτι πλησίον τοῦ Προτρυγητῆρός εἰσιν ἀστέρες δ', εἰς μὲν πρὸ τῶν ποδῶν αὐτῆς, εἰς ((δὲ)) ὑπὸ τοὺς ὤμους, εἰς δὲ ὑπὸ τῆς ὀσφύος κάτω, εἰς δὲ μεταξὺ τῆς οὐρᾶς καὶ τῶν ὀπισθίων γονάτων τῆς Ἄρκτου τῆς μεγάλης.

ἁπλόοι δέ, τουτέστιν ἀκατονόμαστοι εἰσι καὶ οὐδὲ συμπληροῦνται εἰς τύπον ἐξ αὐτῶν. οἱ δὲ Ἠλακάτην αὐτὴν λέγουσιν. Κόνων δὲ ὁ μαθηματικὸς Πτολεμαίωι χαριζόμενος Βερονίκης πλόκαμον ἐξ αὐτῶν κατηστέρισεν. τοῦτο καὶ Καλλίμαχός πού φησιν (fr 34 Schn)·

ἦ με Κόνων ἔβλεψεν ἐν ἠέρι, τὸν Βερονίκης
βόστρυχον, ὃν κείνη πᾶσιν ἔθηκε θεοῖς.

§ ἢ ἁπλόοι οἷς οὐδεὶς πλέει διὰ τὸ ἀνώνυμον.

147. κρατὶ δέ οἱ Δίδυμοι: εἰς γ' διαιρεῖ τὴν Ἄρκτον καί φησιν, ὅτι τῆς μὲν κεφαλῆς αὐτῆς τὸ ⟨κατὰ⟩ διάμετρον ἄνω τῶν Διδύμων, τὸ δὲ μέσον ⟨ἄνω⟩ τοῦ Καρκίνου, οἱ δὲ ὄπισθεν πόδες ἄνω τοῦ Λέοντος. καὶ ἐπειδὴ οὐδὲν ἦν τὸ μεταξὺ τῆς κατὰ τοῦτο τὸ μέρος ⟨Ἄρκτου⟩ καὶ τοῦ ζωιδιακοῦ, ἀπ' αὐτῆς τὸν ζωιδιακὸν διηγεῖται· ἔστι γὰρ ταῦτα τὰ ζώιδια βόρεια σφόδρα. ⟨καὶ⟩ ἄλλως δὲ ἀπὸ τῆς προγνωσθείσης τὰ ἀγνοούμενα διδάσκει (cf p. 353, 12. 16 al).

ἄλλως. τινὲς ἐμέμψαντο τῶι Ἀράτωι λέγοντες, ὅτι τριά-

1, 2 *οἱ γὰρ ἀστέρες ἐκεῖνοι ἀμυδροί εἰσιν. καὶ εἰ οὕτω, τὸ μεγάλην ἄρκτου οὐρὰν εἴη ἂν ὑπερβατόν* Ald ‖ 1 *ἐκεῖνοι ἀμυδροί* A, cf Ald ‖ 3 *τοιός οἱ* A | *τὸ τοῖος* A ‖ 4 *ἢ τοιοῦτος οἷος ὁ τῶν ἐμπροσθίων* Ald ‖ 4, 5 *ποδῶν — ἀστήρ* om AAld ‖ 6 *τῶν τῆς* AAld: *τῆς τῶν* M ‖ 8 *ὑπὲρ τ. ὠ.* AAld ‖ 9 *ἀπὸ τῆς* AAld | *κάτω* om AAld ‖ 10 *τ. μεγάλης ἄρκτου* AAld ‖ 11 *ἁπλόοι* M ‖ 12 *αὐτῶν* AMAld | *αὐτὴν λέγουσιν* om M ‖ 13 *βερνίκης* M ‖ 14 *κατηστέρησεν* A ‖ 16 *ἢ με* AM, *ἠδὲ* Ald: corr Valckenaer (Callim fr p. 81); *εἰδέ Κ. μ'* coni Muret et Schneider | *αἰθέρι* coni Bergk (Anth lyr II p. 154) | *βερνίκης* M ‖ 17 *πᾶσ' ἀνέθηκε* coni Valckenaer (p. 85) ‖ 18 *οὓς* AAld ‖ 20 supplevi; *ἡ διάμετρος* Ald ‖ 21, 3, 5 supplevi ‖ 22 *οὐδὲ* M ‖ 24, 5 *σφόδρα βόρεια* AAld ‖ 25, 6 *ἄλλως — διδάσκει* om AAld ‖ 25 *δὲ* scripsi: *τε* M ‖ 27 lemma om AAld | *τῶ ἀράτω* A; *κατεμέμψαντο τοῦ ἀράτου* Ald

κοντα μοιρῶν οὖσα μόλις ἡ Ἄρκτος πῶς ἐπέχει ἐνενήκοντα μοιρῶν ὡς πρὸς τὰ γ' ζῴδια τὴν ἔκτασιν. καί φαμεν, ὅτι ἀεὶ ὁμοχρόνως καὶ ἰσοπαλῶς αἱ σφαιροειδεῖς θέσεις τὰς κινήσεις ἔχουσιν· ἓν γάρ ἐστι καὶ μία ἡ περικειμένη ἐπιφάνεια καὶ ⟨ἐπὶ⟩ πᾶσιν ἴση. καὶ ὅτι τοῦτό ἐστιν, ὁ μέγιστος τῶν κύκλων, ὁ ἰσημερινός, τῶι βορείωι κύκλωι καταπολεύοντι βραδυτέρω ὅμως κατὰ τὴν σφαιροθεσίαν ὁμοχρόνως κινεῖται. ὅταν οὖν ἡ Ἄρκτος ἡ μείζων ἐν τῆι στροφῆι γένηται περὶ τὸν μεσημβρινὸν κύκλον, τότε ἄρχεται ὁ Ταῦρος ἀνατέλλειν. καὶ πάλιν ἐν πάσηι τῆι περιφερείαι, ἕως ⟨ἂν⟩ γένηται πάλιν περὶ τὸν μεσημβρινὸν κύκλον, οὐκ ἀνατέλλει ὁ Ταῦρος. ἐπειδὰν δὲ γένηται, ἀνατέλλει. οὕτως ἡ σφαιροειδὴς κίνησις ἡ αὐτὴ δι' ὅλου (cf p. 340, 5—12).

Cat p. 201 b 297 b

Καρκίνος ἐστίν: οὗτος δοκεῖ ἐν τοῖς ἄστροις τεθῆναι διὰ τὴν Ἥραν, ⟨ὅτι⟩ μόνος, τῶι Ἡρακλεῖ τῶν ἄλλων συμμαχούντων, ὅτε τὴν Ὕδραν ἀνήιρει, ἐκ τῆς λίμνης πηδήσας ἔδακεν αὐτόν. καλοῦνται δέ τινες αὐτοῦ ἀστέρες Ὄνοι, οὓς Διόνυσος ἀνήγαγεν ἐπὶ τὰ ἄστρα.

Λέων: ὁ Λέων ἔχει ἐπὶ τῆς καρδίας ἀστέρα Βασιλίσκον λεγόμενον, ὃν οἱ Χαλδαῖοι νομίζουσιν ἄρχειν τῶν οὐρανίων. ὄντος δὲ ἡλίου ἐν Λέοντι ὁ Νεῖλος ἐμβαίνει.

149. ἔνθα μὲν ἠελίοιο: ἐζήτηται δέ, διὰ ποίαν αἰτίαν ὁ Ἄρατος τὰς θερμοτάτας ἡμέρας ἐν τῶι Λέοντι εἶπε γίνεσθαι καὶ οὐκ ἐν τῶι Καρκίνωι. ῥητέον δὴ ἴσως μὲν καὶ φυσικῶι τινι λόγωι καύματα γίνεσθαι ἐν τῶι Λέοντι διὰ τὸ ἐν ἐκείνωι τῶι καιρῶι ἀνατέλλειν τὸν Κύνα, τὸν δὲ Ἄρατον μὴ ἐφ' ἑνὸς ζωιδίου τὸ συμβαῖνον ἀποδεδωκέναι ἀλλ' ἐπὶ τῶν τριῶν· προτάξας γὰρ τοὺς Διδύμους καὶ Καρκίνον καὶ Λέοντα, ἐν οἷς συμβαίνει τὰς θερμοτάτας ἡμέρας γίνεσθαι, ἐπήνεγκεν (149)

---

1 οὖσα om Ald ‖ 2 τὴν ἔκτασιν post μοιρῶν AAld | ἀεὶ AM: ἂν Ald | 4 ἓχ. μία γὰρ ἡ περικ. AAld | παρακειμένη M ‖ 6 καταπολεύοντι AAld: καταπωλεύοντι M ‖ 7 κινοῦσιν AAld, κινοῦνται M: correxi | ὅτε AMAld ‖ 8,9 ἰσημερινὸν κ. AAld ‖ 10 περιφ. ὁμοίως πρὸ τοῦ γενέσθαι δὲ κατὰ τὸν μ. κ. Ald | κατὰ τὸν AAld | 11 κύκλον om M | ἐπειδὰν δὲ γ. ἀνατ. om Ald | 12 ὅλου M ‖ 13 ἐστίν om Ald ‖ 13,4 τῶι γὰρ Ἡρακλεῖ τῶν ἄλλων συμμαχούντων, ὁπότε τὴν ὕδραν ἀνηιρήκει, μόνος ἐκ τ. λ. οὗτος πηδ. ἔδ. αὐτόν Ald ‖ 15 ὅτε M Cat: ὁπότε AAld ‖ 16 αὐτῶν τινες AAld, τινὲς αὐτῶν Cat p. 297 b 2 | αὐτοὺς post ἀνήγ. A: om M Ald Cat ‖ 17 εἰς τὰ Cat ‖ 20 ἀναβαίνει Ald, cf p. 366, 16 ‖ 22 ἐδήλωσε (post Ἄρ.) AAld ‖ 23 οὖν (pro δή) AAld | ὅτι post δὴ AAld: om M ‖ 25, 6 μὴ ἐφ' ἑνὸς scripsi: μὴ ἀφ' ἑνὸς A, μὴ καθ' ἑνὸς Ald, μηθενὸς M ‖ 26 τὸ συμβαῖνον om AAld | παραδεδωκέναι M

ἔνθα μὲν ἠελίοιο θερείταται εἰσι κέλευθοι, τουτέστιν ἐν τοῖς τρισὶ ζωιδίοις. πέρα δὲ ἀντιδιέστειλε τὸ ἐξαιρέτως τῆι ἐν τῶι Λέοντι πορείαι τοῦ ἡλίου συμβαῖνον διὰ τὸ καὶ τὰ δύο θερινὰ ζώιδια προθερμαινόμενα καὶ ἐκπυρούμενα ὑπὸ τοῦ ἡλίου τὸν Λέοντα θερμότερον ποιεῖν γίνεσθαι. ἔδει δὲ μᾶλλον ἐπὶ τοῦ Καρκίνου εἰρῆσθαι τοῦτο. λεκτέον δέ, ὅτι ἤδη ὑπὸ τοῦ θέρους κεκμηκότες ἡμεῖς οἱ ἄνθρωποι πλέον ἀντιλαμβανόμεθα, ὅταν ὁ ἥλιος ἐν Λέοντι ἦι· ὡς γὰρ ἐν ἡμέραι θερινῆι οὐχ οὕτω κατὰ τὴν γ′ καὶ ς′ ὥραν μεσοῦντος τοῦ ἡλίου ἀντιλαμβανόμεθα τοῦ καύματος ὡς κατὰ τὴν ἑβδόμην, οὕτω καὶ ἐπὶ τοῦ Λέοντος νοητέον, ἅτε προτεθερμασμένηι τῆι γῆι ἐντυγχάνοντος τοῦ ἡλίου. κατὰ ταῦτα δὲ καὶ τὸν Ὑδροχόον διαπορευομένου ⟨τοῦ ἡλίου⟩ τὸ ψῦχος ἐπιτείνεται προκατεψυγμένηι ὁμιλοῦντος τῆι γῆι. κατὰ ταὐτὸν δὲ καὶ τὰ βαλανεῖα πρώτως ἐκκαιόμενα οὐκ εὐθέως πυρώδη γίνεται, ἀλλ' ἐν χρόνωι αὐξάνεται.

τὸν δὲ Λεοντά φασιν οἱ μέν, ὅτι ὑπὸ Διὸς ἐτιμήθη, διότι τῶν τετραπόδων ἡγεῖται, ἤ, ὅτι πρῶτος ἆθλος Ἡρακλέος. ἔστι δὲ τῶν ἐπιφανῶν ἄστρων. Cat p. 206 b (Anal Erat p. 5)

150. κενεαὶ φαίνονται ἄρουραι: λοιπὸν γὰρ κεκενωμέναι εἰσὶ καρπῶν· αἱ γὰρ προτρυγήσεις διὰ τοῦ ἡλίου τὸ κατ' ἀρχὰς συνερχομένου τῶι Λέοντι. § τινὲς δὲ τολμῶσι γράφειν ἠελίωι τὰ πρῶτα συνερχομένοιο Λέοντος, ἀπαιδεύτως· οὐ γὰρ τὰ ζώιδια συνέρχονται, ἀλλ' ὁ ἥλιος ἕκαστον ἐπιπορεύεται. § ἅπτεταί πως καὶ θεολογίας ἐνταῦθα ὁ Ἄρατος, τὴν τῆς Κόρης ἁρπαγὴν δηλῶν καὶ τὸν πρὸς Ἅιδην γάμον ἐν τῶι λέγειν κενεαὶ — ἄρουραι· αὐτὴν γὰρ εἶναι τοὺς καρποὺς

2–8 post ζωιδίοις Ald εἰ δέ τις ἐρεῖ 'καὶ πῶς αὐτὸ ἐξαίρετον τοῦ ἡλίου συμβαῖνον τῆι ἐν τῶι Λέοντι πορείαι ἀπέδωκεν, ἀλλ' οὐ καὶ τοῖς ἄλλοις, καίτοι ἔδει μᾶλλον τῶι Καρκίνωι', ῥητέον, ὅτι τὰ δύο θερινὰ ζώιδια προθερμαινόμενα καὶ ἐκπυρούμενα ὑπὸ τοῦ ἡλίου τὸν Λέοντα θερμὸν ποιεῖ γίνεσθαι. καὶ ἅμα ἤδη ὑπὸ τοῦ θέρους κεκμηότες οἱ ἄνθρωποι πλέον ἀντιλαμβάνονται τῆς θερμότητος, ὅταν ὁ ἥλιος ἐν Λέοντι ἦι· ἐν γὰρ ἡμέραι κτλ. ‖ 2 ἐξαίρετον A ‖ 4 προθερμενόμενα A ‖ 5 ποιεῖ A ‖ 7 κεκμηότες AAld ‖ 8 ὁ AAld: om M ‖ 9 γ′ καὶ om A, τὴν γ′ καὶ om Ald ‖ 10, 1 νοητέον post οὕτω A, οὕτως οὖν ῥητέον καὶ ἐπὶ τ. Λ. Ald ‖ 11—15 ἅτε — αὐξάνεται om AAld ‖ 12 supplevi ‖ 16 φασὶν om A, post μὲν Ald | τοῦ Δ. A Ald ‖ 19 ἄρουραι om AAld ‖ 19, 20 λοιπὸν καὶ κενωμέναι A; κεκεν. γάρ εἰσι omisso λοιπὸν Ald ‖ 22 ἠελίοιο M | τὰ τὰ πρῶτα A | συνερχομένου M | λέοντι A ‖ 24 videtur δέ πως post ἅπτ. in A; δὲ καὶ Ald ‖ 25 ἐν ἅιδου AAld

καὶ τὴν μητέρα τὴν γῆν· καὶ γὰρ παρ' Αἰγυπτίοις τῶι Ἐπιφὶ [Ἰουλίωι] μηνί, ὅτε ἐν Λέοντι γίνεται ὁ ἥλιος, τότε καὶ ἡ τῆς Κόρης ἁρπαγὴ τελεῖται. § περὶ τὴν ὀγδόην καὶ εἰκάδα τοῦ Ἐπιφὶ μηνὸς γίνεται ἐν Λέοντι ὁ ἥλιος, ὅτε καὶ ὁ Κύων τὰς ἐπιτολὰς ποιεῖται· οὐ γὰρ πάντως περὶ πέμπτην καὶ εἰκάδα ὁ Κύων τὰς ἐπιτολὰς ποιεῖται, ἀλλὰ καὶ περὶ κϑ' καὶ λ' πρὸς τὴν βραδυτέραν τοῦ ἡλίου κίνησιν.

152. τῆμος καὶ κελάδοντες: τότε, φησί, καὶ κελάδοντες ἄνεμοι ἐμπίπτουσι τῶι πόντωι, ὅτε ὁ ἥλιος ἐν τῶι Λέοντι. καὶ παρ' Αἰγυπτίοις αἱ κλῖδες τῶν ἱερῶν λεόντων φέρουσι πρόσωπα καὶ τοῦ ὀχήματος ἁλύσεις ἀπηιώρηνται [ἢ χασμήματος] καρδίαν ἐξηρτημένην ἔχουσαι. τὸ δὲ πλῆϑος τῶν βρόχων τῆς ἁλύσεως τοσοῦτόν ἐστιν, ὅσας λέγουσι μοίρας ἐπέχειν τὸν ἀστέρα ἐν τῶι δωδεκατημορίωι τοῦ Λέοντος ἀπὸ τῆς ἀρχῆς ἀριϑμουμένου. ὅλον δὲ τὸ ἄστρον ἀνιερώκασιν ἡλίωι· τότε γὰρ ἐμβαίνει καὶ ὁ Νεῖλος καὶ ἡ τοῦ Κυνὸς ἐπιτολὴ περὶ τὴν ἡῶ κατὰ ἑνδεκάτην ὥραν φαίνεται. καὶ ταύτην ἀρχὴν ἔτους τίϑενται καὶ τῆς Ἴσιδος ἱερὸν εἶναι τὸν Κύνα λέγουσι καὶ αὐτοῦ τὴν ἐπιτολήν. ἐφ' ἣν καὶ τὸν ὄρτυγα ϑύουσι, τῶι παλμῶι τοῦ ζώιου σημειούμενοι τὸν καιρὸν τῆς ἐπιτολῆς τοῦ ἄστρου.

152. ἐτησίαι εὐρέι πόντωι: οἱ ἐτησίαι ἀπὸ τῆς τοῦ Κυνὸς ἑώιας ἐπιτολῆς [μέχρι Ἄρκτου ἐπιτολῆς] ὡς ἐπὶ πλῆϑος ἑξήκοντα ἡμερῶν πνέουσιν. ὠνομάσϑησαν δὲ ἤτοι, ὅτι κατ' ἔτος πνέουσι ταῖς τακταῖς αὐτῶν ἡμέραις, παρὰ τὸ ἔτος, ἢ παρὰ τὸ ἐτεὸν διὰ τὸ μηδέποτε αὐτοὺς μεταβάλλειν, ὅταν ὁ καιρὸς αὐτῶν ἐνστῆι. § καλῶς δὲ τὸ 'μεγάλα σκάφη τότε χρήσιμα' (153)· τότε γὰρ τὸ κῦμα μέγα καὶ τὸ πνεῦμα σφοδρόν.

1, 2 κατὰ τὸν ἐπιφὶ μῆνα AAld ‖ 2 ἐν om A | ἥλιος τότε καὶ om (spatio vacuo 4 litt relicto) A, τότε καὶ om Ald ‖ 3 τελειοῦται AAld ‖ 3—7 om AAld ‖ 6 ποιεῖτε M | supplevi ‖ 9 ἐμπίπτουσιν ἐν A Ald | ἐστὶν post ἥλ. A Ald ‖ 11 ὀχήματος scripsi: σχήματος AMAld, cf Diels Parmenides p. 124—129 ‖ 11, 2 ἢ χασμήματος M: om AAld ‖ 12—15 τὸ δὲ — ἀριϑμ. om AAld ‖ 15 an ἀριϑμουμένας? | ἀφιερώκασιν AAld ‖ 16 ἡ om A | περὶ τὴν ἡῶ M: om A Ald ‖ 17 κατὰ ἑνδεκάτην ὥραν AAld: om M ‖ 18, 9 καὶ αὐτοῦ τ. ἐ. scripsi: καὶ om M, αὐτοῦ καὶ τ. ἐ. A, καὶ τ. ἐ. αὐτοῦ Ald ‖ 19 τὴν ὄρτ. A | παρμῶι AM, παλμῶι Ald; ἢ παλμῶ superscripsit A ‖ 20 τῆς om M ‖ 21 εὐρέι πόντωι om AAld | οἱ ἐτήσιοι AAld | τοῦ om AAld ‖ 22 μέχρι Ἄρκτου ἐπιτ. AM: om Ald | ὡς ἐπὶ τὸ (om Ald) πλεῖστον AAld ‖ 23 ἡμέρας Ald | δὲ om A; δὲ οὕτως Ald | ἢ ὅτι Ald ‖ 24, 5 παρὰ ἔτος ἢ τὰ ἐτεὸν Ald ‖ 25 μεταβάλλειν αὐτοὺς AAld | ὁ om M ‖ 26 αὐτῶν ἡ κ. M | τὸ scripsi: τὰ AMAld

παρηκολούθησε δὲ Ἡσιόδωι (Opp 643) 'νῆ' ὀλίγην αἰνεῖν, μεγάλη δ' ἔνι φορτία θέσθαι'.

155. εἰς ἄνεμον δὲ τὰ πηδά: κατὰ συγκοπὴν τὰ πηδάλια, ἢ τὰς κώπας ἀπὸ τοῦ πηδόν. καὶ Ὅμηρος (Od XIII 78) 'ἀνερρίπτουν ἅλα πηδῶι'.

⟨κυβερνητῆρες —⟩: οἱ δὲ κυβερνηταὶ θαρροῦντες τοῖς ἀνέμοις ἔχοιεν τὰ πηδάλια.

156. εἰ δέ τοι Ἡνίοχόν τε: ἐπανῆλθε πάλιν ἀπὸ τοῦ ζωιδιακοῦ πρὸς τὰ βόρεια. τὸ δὲ ἀστέρας διδασκαλικῶς· τρεῖς γὰρ ἔχει ἐν τῆι χειρί, ὧν ὃ μὲν ὑπὸ τὸν ὦμον σφόδρα ἐστὶ λαμπρὸς καὶ καλεῖται Αἴξ, οἱ δὲ ἄλλοι δύο ἑξῆς ἀμαυρότεροι, οἳ καλοῦνται Ἔριφοι. καὶ χαριέντως τὸν μὲν ἐπίλαμπρον ὡς ἐπὶ μητρὸς Αἶγα εἶπε, τοὺς δὲ ἀμυδροτέρους Ἐρίφους ὡς νεογνά. § ὁ δὲ μῦθος οὕτως ἔχει, ὅτι ἡ Αἴξ αὕτη γυνὴ ἦν Ἀρκαδική, ἥτις ἀνέθρεψε τὸν Δία. καί φασιν, ὅτι μετὰ θάνατον λαβὼν αὐτῆς τὸ δέρμα κατὰ τὴν συνείλησιν περιέθετο καὶ αὐτὴν κατηστέρισεν. διὸ 'Αἰγίοχος κικλήσκεται ἀνθρώποισιν' (fr anon). ταύτην δὲ καλοῦσι καὶ Ἀμάλθειαν, καὶ Ἀμαλθείας κέρας τὸ τῆς Αἰγός (cf Nicandri fr 114 Schn). Cat p. 209, 9 sqq.

158. εἰν ἁλὶ πορφυρούσηι: μελαινομένηι· κινουμένη γὰρ ὑπὸ τῶν ἀνέμων ταύτην ποιεῖται τὴν σύστασιν. § τὸ δὲ κεδαιομένους ἀντὶ τοῦ φθειρομένους. γράφεται δὲ καὶ ⟨κε⟩ραιομένους ἀντὶ τοῦ κεραϊζομένους· ἡ γὰρ ἑώια δίσις τῶν Ἐρίφων χειμῶνα φέρει ἡλίου Τοξότην διανύοντος, ἡ δὲ Αἴξ τὴν ἑώιαν ποιεῖται δύσιν ἡλίου ὄντος ἐν Αἰγοκέρωτι περὶ τὰς χειμερινὰς τροπάς.

⟨κεδαιομένους: σκορπιζομένους. εἰ δὲ διὰ τοῦ ϱ γράφοιτο, φθειρομένους. ὅθεν τὸ ἀδιάρ⟨ρηκτ⟩ον ἀκέρατον καλοῦ((σι διὰ τὴν)) στέρησιν τοῦ κέρατος Par⟩.

160. Διδύμων ἐπὶ λαιᾶι: ὁ γὰρ Ἡνίοχος βορειότερός

---

4 ἤγουν Ald | πηδῶ libri ‖ 6,7 om AAld ‖ 8 περὶ τοῦ ἡνιόχου in margine M | ἐκ τοῦ M ‖ 9 ἀστέρες AM ‖ 11 ἔτι M ‖ 12 μὲν om AAld ‖ 16 τὴν om M ‖ 17 κατηστέρησεν A | διὸ αἴγειος A, διὸ αἴγιος Ald | Musaeum agnoscit Robert (Erat Catast p. 240); possis de Nicandro aliisque cogitare, cf schol ad v. 161 ‖ 18, 9 καὶ Ἀμαλθείας — Αἰγός om AAld ‖ 20 εἰν ἁλὶ om AAld ‖ 21 στάσιν AAld ‖ 22 δαιομένους M, καὶ δεομένους Par l. 27 | δὲ om MAld | supplevi e l. 27 ‖ 22, 3 καὶ φθειρομένους AAld ‖ 24 φέρειν Ald ‖ 27 cf ad l. 22 ‖ 28 supplevi Par, lacunam signavit Treu p. 56 ‖ 30 λαιά A

ἐστι τῶν Διδύμων, ὥστε ἀνατελλόντων τῶν Διδύμων κατὰ πόδας τὰ εὐώνυμα μέρη αὐτῶν ὁρίζεσθαι πρὸς βορρᾶν καὶ διὰ τοῦτο τὸν Ἡνίοχον κατὰ κεφαλὴν ἀνατέλλοντα παρακεῖσθαι τοῖς εὐωνύμοις μέρεσι τῶν Διδύμων.

161. *κεκλιμένον δήεις: σφόδρα ἀκριβῶς ὁ Ἄρατος προσέχων τῶι ζωιδίωι κατὰ θέσιν φησὶ τὸ κεκλιμένον· οὐ γάρ ἐστιν ἐξόρθιος, ἀλλ' ὥσπερ ἐπινεύων καὶ πρὸς τὸ ἑλαύνειν ἐπειγόμενος.*

Ἑλίκης δέ οἱ ἄκρα κάρηνα: πληθυντικῶι ἐχρήσατο ἀντὶ τοῦ ἑνικοῦ, ἀντὶ τοῦ 'ἡ κεφαλὴ αὐτοῦ κατὰ διάμετρον κειμένη ἀντία δινεύει'. 'ἱερὰ' δέ, ὅτι τὸν Δία ἐθήλασεν. § *οἱ* Cat p. 210 *δὲ μυθολόγοι τὸν Ἡνίοχον λέγουσιν εἶναι εἴδωλον ἢ Βελ⟨λ⟩εροφόντου ἢ Τροχίλου τοῦ Καλλιθυίας παιδός, τῆς πρώτης ἐν Ἄργει γενομένης ἱερείας, ἅρμα πρώτου ζεύξαντος. οἱ δὲ Μυρτίλου, οἱ δὲ Κίλλαντος τοῦ Πέλοπος ἡνιόχου εἶπον, ἄλλοι δὲ Οἰνομάου. τὴν δὲ Αἶγα Νίκανδρος* (fr 114 Schn, cf ad schol 156) *Ἀμάλθειαν καὶ Διὸς τροφόν. φαίη δ' ἄν τις ἀτεχνῶς εἴδωλα τοὺς περὶ θεῶν ταῦτα ληροῦντας.*

'ὠλενίη' δὲ (164) *λέγεται διὰ τὸ ἐπὶ τῆς ὠλένης τοῦ Ἡνιόχου ⟨εἶναι⟩ ἥ, ὡς ἄλλοι, Ὠλένου θυγάτηρ.*

167. *πὰρ ποσὶ δ' Ἡνιόχου: περὶ τοῦ Ταύρου. πάλιν ἐγνωσμένως ἀπὸ τῶν παρακολουθούντων εἰς τὸν ζωιδιακὸν κατέρχεται.* § *κεραόν δὲ διὰ τὴν τῶν κεράτων θέσιν.* § *τὸ δὲ πεπτηότα διὰ τὸ ποιὸν κατάστημα· ὥσπερ γὰρ ὀκλάσας ἐστίν, ἡμίτομος δὲ καὶ τοὺς ὀπισθίους οὐκ ἔχων πόδας.* § *τοῦτον* Cat p. 211 sq. *οὖν οἱ μὲν τὸν τὴν Εὐρώπην διαγαγόντα ἐκ Φοινίκης εἰς Κρήτην διὰ τοῦ πελάγους [κατηστερίσθαι] φασίν, οἱ δὲ τοῦτον, οὗ Πασιφάη ἠράσθη, οἱ δὲ τὸν ἐκ Κρήτης εἰς Μαραθῶνα παραγενόμενον, ὃν Θησεὺς κατηγωνίσατο.* § *τὸ δὲ μαίεσθαι ἐπι-*

---

1 *ἀνατελόντων* A | *τῶν* om AAld ‖ 2 *ὁρίζεσθαι αὐτῶν πρὸς* AAld ‖ 5 *δήεις* om AAld | *ἀκριβῶς* post *Ἄρατος* AAld ‖ 6 *προσέχων* om AAld ‖ 7 *ἐξόρθιος* AAld: *ἔξορθος* M ‖ 9 *ἄκρα κάρηνα* om AAld ‖ 10 *τοῦ* prius om MAld ‖ 10, 1 *κατὰ δ. κειμένη* om AAld ‖ 13 *καλλιθέας* Ald ‖ 14 *οἱ δὲ Μυρτίλου ς: οἱ μὲν Μυρτίλου* A, *ἄλλοι δὲ M.* Ald, om M ‖ 15 *οἱ δὲ* Ald ‖ 17 *καὶ* et *τροφὸν* evanida A | *φαίην δ'* M | *εἴδωλον* AAld ‖ 19 *ὠλενίη ὠλενίη λέγ.* Ald ‖ 20 *ὡς* om M ‖ 21 sqq. *περὶ τοῦ Ταύρου* etiam in margine M: utrumque om AAld | 24 *ὀκλάσας* AM, *κλάσας* Ald ‖ 25 *καὶ* om Ald | *ὀκλάσας* ante *οὐκ* M: om AAld ‖ 26 *δὲ* pro *οὖν* Ald | *διαπορθμεύσαντα* AAld ‖ 27 *τοῦ* om M | seclusi; *κατηστέριστ* .. (terminatione invisibili) A ‖ 29 *κατηγονίσατο* A

σκοπεῖν ἐπιζητεῖν κατοπτεύειν. ὁ δὲ νοῦς· παρὰ δὲ τοῖς ποσὶν Ἡνιόχου ὑποπεσόντα ζήτει τὸν Ταῦρον. § τὸ δὲ ἐοικότα ὅμοια· οἱ γὰρ ἀστέρες αὐτοῦ βούκρανον ἀληθῶς διαγράφουσι καὶ διὰ τοῦτό εἰσι γνώριμοι, οὐδενὸς τῶν γειτνιώντων πρὸς κατανόησιν δεόμενοι, ὡς ὁ Κριὸς ἀμυδρὸς ὢν ὑπ' ἄλλων εὑρίσκεται.

ἢ ὅτι πλουτοδότειρά ἐστι (163), καθὸ λέγουσιν Ἀμαλθείας κέρας· Ἀμάλθεια γὰρ αὕτη καλεῖται (cf 368, 16).

ἄλλως. ἡ τοῦ Ἡνιόχου κεφαλὴ ἐξ ἐναντίας τῶν γενύων τῆς Ἑλίκης κεῖται· εὐθεῖα γὰρ γραμμὴ ἐξηνέχθη ἀπὸ τῆς ἄκρας κεφαλῆς τοῦ Ἡνιόχου κατὰ τὰ τῆς Ἑλίκης γένεια, καὶ οὕτως ἐξ ἐναντίας κεῖται.

169. τοίη οἱ: θαυμαστικῶς τὸ τοίη ἀντὶ τοῦ τοιαύτη· σφόδρα γὰρ ἔκλαμπρος ἡ κεφαλὴ ὑποφαίνεται καὶ ἔκκριτός ἐστι καὶ οὐκ ἄν τις ἐξ ἄλλου τεκμηρίου ἔτι σκέψαιτο τὴν τοῦ Ταύρου κεφαλήν, ἀλλ' ἐκ τῶν τὸ πρόσωπον ἀποτελούντων ἀστέρων.

171. ἀστέρες ἀμφοτέρωθεν: ἐκ τῶν δύο γραμμῶν τοῦ Υ στοιχείου· αἱ γὰρ Ὑάδες τοῦτο τὸ στοιχεῖον ἀπομιμούμεναι τὸ ταύρειον ἀποτελοῦσι πρόσωπον. διὸ καί τινες Ὑάδας αὐτὰς ἐντεῦθεν εἶπον. οἳ δέ, ὅτι δυόμεναι αἴτιαι ὑετοῦ γίνονται (cf 388, 20 sqq.).

172. καὶ λίην κείνων ὄνομ' εἴρεται: οὐκ ἀνωνύμως, φησί, φέρονται αἱ Ὑάδες ἐπὶ τοῦ μετώπου τοῦ Ταύρου. Θαλῆς μὲν οὖν δύο αὐτὰς εἶπεν εἶναι, τὴν μὲν βόρειον, τὴν δὲ νότιον, Εὐριπίδης δ' ἐν τῷι Φαέθοντι (fr 780 N.) τρεῖς, Ἀχαιὸς δὲ τέσσαρας (fr 46 N.), Μουσαῖος (fr 14 P.) ε', Ἱππίας δὲ (fr 11 M.) καὶ Φερεκύδης (fr 16 St.) ἑπτά. ἡ δὲ προσωνυμία, ὅτι τὸν Διό-

---

1 κατοπτεύειν om Ald | ὁ νοῦς δὲ Ald | δὲ om AAld ‖ 1, 2 τ. ποσὶ τοῦ Ἡ. AAld ‖ 2 ὑποπεπτωκότα AAld ‖ 3, 4 διαγράφουσι AAldς: γράφουσι M ‖ 4 οὐδὲν M ‖ 5 δεχόμενοι M ‖ 7—12 scholia om Ald ‖ 13 τοῖόν (superscripto τοίη) οἱ M (cf editionem Arati): τοίη κεφαλή AAld ‖ 14 κεφαλὴ ἔκλαμπρος ὑ. (omisso σφόδρα γὰρ ἡ) AAld ‖ 18 ἀστέρες (omisso ἀμφοτέρωθεν) pro lemmate AAld, ἀστέρας ἀμφ. M | οὐκ ἐκ A | τῶν Ald: om AM ‖ 20 ταύριον A ‖ 20, 1 δ. κ. τινες αὐτὰς ἐντεῦθεν ἕνεκεν ὑάδας εἶπον A, τινὲς μὲν οὖν φασιν, ὅτι διὰ τοῦτο ταύτας ὑάδας εἶπον Ald ‖ 21 ἐντεῦθεν A: ἔνθεν M, διὰ τοῦτο Ald ‖ 23 ὄνομ' εἴρεται om A Ald ‖ 24 φέρονται AAldς: φαίνονται M | ἐν τῷι μετώπωι AAld ‖ 26 δ' om A ‖ 27 Μουσαῖος ε' om AAld ‖ 28 ἐστὶν ὅτι AAld

νυσον ἀνεθρέψαντο. Ὗης δὲ ὁ Διόνυσος. Εὐφορίων δὲ (fr 14 M.) Ὑηι ταυροκέρωτι Διωνύσωι κοτέσασα. οἱ μὲν οὖν δύο λέγοντες ἐπὶ τῶν ὀφθαλμῶν τοῦ Ταύρου φασίν, οἱ δὲ τρεῖς προσλαμβάνουσι καὶ τὸν ἐπὶ τῶι χελύνωι. Εὐριπίδης μὲν οὖν ἐν Ἐρεχθεῖ (fr 357 N.) τὰς Ἐρεχθέως θυγατέρας Ὑάδας φησὶ γενέσθαι τρεῖς οὔσας, ὁ δὲ Μυρτίλος (fr 6 FHG IV p. 458) τὰς Κάδμου θυγατέρας, κληθῆναι δὲ οὕτω δι' ἣν προείπομεν (p. 369, 28) αἰτίαν· Ἡσίοδος γάρ φησι περὶ αὐτῶν (fr 14)·

νύμφαι Χαρίτεσ⟨σ⟩ιν ὁμοῖαι
Φαισύλη ἠδὲ Κορωνὶς ἐυστέφανός τε Κλέεια
Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος,
ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.

αἱ μέντοι Πλειάδες παρὰ τὸ διχότομον αὐτοῦ ὡς ἐπὶ τὴν ἰξὺν ἀνακεκλιμέναι σχῆμα κατά τινας οὐρᾶς ἀποτελοῦσιν, ὡς καὶ ὁ Νίκανδρός φησιν (Ther 121 sqq.)·

ἐξαλέασθαι
Πληϊάδων φάσιας δεδοκημένον, αἳ θ' ὑπὸ Ταύρου
ὁλκ⟨αί⟩ην ψαίρουσαι ὀλίζωνες φορέονται.

οὐκ ἔστι δὲ οὐρὰ τοῦ Ταύρου· πόθε⟨ν⟩ γάρ, ὁπότε μηδὲ ὀπίσθια ἔχων δείκνυται; cf p. 387.

174. λαιοῦ δὲ κεράατος ⟨ἄκρον⟩ — παρακειμένου: τὸ ἄκρον τοῦ ἀριστεροῦ κέρατος τοῦ Ταύρου καὶ τὸν ἀριστερὸν πόδα τοῦ Ἡνιόχου εἰς ἀστὴρ ἐπέχει. § συνελημένοι δὲ (176) τῶι τόνωι ὡς 'οὐτάμενοι'· ὑφαιρεθέντος γὰρ τοῦ σ̄ ἀναβιβάζεται ὁ τόνος. ὁ δὲ νοῦς· συνηρμοσμένοι δὲ φέρονται.

177. ἀλλ' αἰεὶ Ταῦρος: ἅπερ κατὰ φυσικὴν αἰτίαν εἴωθε γίνεσθαι, ταῦτα οἱ ποιηταὶ ὡς ἐν παραδόξωι λαμβάνουσι καὶ ὡς καινότερα αὐτὰ καὶ ἀδύνατα προφέρονται, ὡς καὶ νῦν ἐπὶ

---

1 ἀνεθρέψατο A | Ὗης A ‖ 1, 2 δὲ Ὗη As, Ὗη Ald, οἵη M ‖ 2 ταυροκέρητι M | διονύσω AM | κοτέσασα M ‖ 3, 4 προλαμβάνουσι A ‖ 4 corr Thiele: χελίω AMAld; χηλίωι Bekker | ἐν om M ‖ 7 οὕτως M | αἰτίαν: — A ‖ 8 δὲ post Ἡσ. Ald, om A ‖ 10 ἥδε MAld, ἐκ δὲ A ‖ 11 καὶ AAld: ἰδ' M ‖ 13—20 schol om AAld ‖ 14 ἀναχλώμεναι καὶ M ‖ 16 Nicandri codd: πλαγιασθεὶς M ‖ 17 αἱ δ' ὑπὸ M ‖ 18 ὀλίζοννες M ‖ 19 οὐκ ἔστι δὲ scripsi: ////κἴ δὲ M ‖ 21 ⟨ἄκρον⟩ παρακειμένου scripsi: παρὰ δὲ M, om AAld ‖ 21, 2 τὸ δὲ ἄ. A Ald, τοῦ ἄ. M ‖ 22 τοῦ Ταύρου om M ‖ 23—25 συνελημένοι δὲ (ἤγουν add Ald) συνηρμοσμένοι φέρονται. ἀναβιβάζει (ἀνεβιβάσθη Ald) δὲ ὁ τόνος ἀφαιρεθέντος (ἀναιρ- Ald) τοῦ σ̄ ὡς 'οὐτάμενοι' AAld ‖ 26—p. 371, 3 post p. 371, 15 AAld ‖ 26 post Ταῦρος et ante ἅπερ fere 10 litt erasae A ‖ 27 ὁ ποιητὴς AAld | λαμβάνουσι (sic) A, λαμβάνει Ald

τοῦ Ταύρου καὶ τοῦ Ἡνιόχου φησὶν ὁ Ἄρατος, ὅτι καὶ τοῦτο καινότερον ἔχει καὶ ἄμεινον [ἀνατέλλων] ὁ Ταῦρος· κρείττων γάρ ἐστι καὶ ταχίων εἰς τὸ δύεσθαι.

τριῶν κύκλων τῶν παραλλήλων παραδιδομένων συμβέβηκε διαιρεῖσθαι τὸ ὅλον σχῆμα εἰς μέρη ἡ΄, ⟨καὶ⟩ τοῦ μὲν θερινοῦ τροπικοῦ ἐν τῶι βορείωι μέρει τὰ ε΄ μέρη διηνεκῶς εἶναι ὑπὲρ γῆν, τὰ δὲ γ΄ ὑπὸ γῆν, τοῦ δὲ ἰσημερινοῦ ἴσον [ἔχοντος] τὸ ὑπὲρ γῆς τῶι ὑπὸ γῆν. κατὰ δὲ τὴν διαίρεσιν ταύτην ἀνατελλέτωσαν ὁ μὲν Ἡνίοχος ἐπὶ τοῦ θερινοῦ τροπικοῦ, ὁ δὲ Ταῦρος ἐπὶ τοῦ ἰσημερινοῦ. περιενεχθέντος οὖν τοῦ οὐρανοῦ ὁ μὲν Ταῦρος λήψεται ἐκ τοῦ ὑπὸ γῆν τμήματος ⟨τὸ⟩ λοιπόν, ἐκ τῶν ἡ΄ τὰ γ΄, ὁ δὲ Ἡνίοχος ἐφάψεται τοῦ ὁρίζοντος, ὥστε λοιπὰ ἔχειν ὑπὸ γῆς γ΄. περιενεχθέντος οὖν πάλιν τοῦ οὐρανοῦ τὰ λείποντα εἰς ἡ΄ τμήματα, τὰ γ΄, συμβήσεται τὸν Ἡνίοχον καὶ τὸν Ταῦρον ὑπὸ τὸν αὐτὸν χρόνον ἀνατεῖλαι.

ἄλλως. τάχιον δύνει ὁ Ταῦρος, ἐπεὶ νοτιώτερός ἐστι τοῦ Ἡνιόχου. τὰ δὲ νότια πλέον ὑπὸ γῆν μέρος ἔχει, καὶ ὅλως τὰ ἐπὶ διαφόρων παραλλήλων κύκλων ἄστρα τὰς ἀνατολὰς ἅμα ποιησάμενα οὐχ ἅμα δύσεται· τὸ γὰρ βορειότερον καὶ μεῖζονα κύκλον φερ⟨όμεν⟩ον ὑστερεῖ τῶι χρόνωι τῆς δύσεως, τὸ δὲ νοτιώτερον κατενεχθήσεται ὡς ἂν ἐλάσσονα κύκλον φερόμενον. ἀκουστέον δὲ συνανατέλλειν τῶι Ταύρωι τὸν Ἡνίοχον, οὐχ ὅλον ὅλως (τοῦτο γὰρ ψεῦδος), ἀλλ᾽, ὅσα τῶν μερῶν συνανατέλλει, ταῦτα οὐ συγκαταδύεται διὰ τὴν ἔγκλισιν τοῦ κόσμου, ὡς εἶπεν.

178. καίπερ ὁμοῦ ἀνελθών. λέγει δέ, ὅτι ὁ Ταῦρος σὺν τῶι Ἡνιόχωι ὁμοῦ ἀνελθὼν πρότερος δύνει.

τὸ δὲ ὁμηλυσίηι ⟨περ ἀνελθών⟩ ἀντὶ τοῦ ἅμα καὶ κατὰ τὸ αὐτὸ ἀνατείλας. τὸ δὲ αἴτιον, ὅτι τὰ βόρεια ἢ ὅλως οὐ

---

1 τοῦτο Ald: τὸ AM ‖ 2 καὶ AAld: τι M ‖ 2, 3 post καιν. A ἀνατέλλων ἔχει ..... ταῦρος ..... ἐστι, Ald καὶ ἄμεινον ἔχει· συνανατέλλων γὰρ τῶι Ἡνιόχωι πρότερον αὐτοῦ δύνει ‖ 4—15 om AAld ‖ 6 μέρει alt M ‖ 13 ὥστε scripsi: ὡς τὸ M ‖ 16 ἄλλως pro lemmate A in textu, M in margine, ἀλλ᾽ αἰεὶ ταῦρος Ald ‖ 19 δύεται AAld ‖ 19, 20 καὶ μεῖζονα κύκλον scripsi (cf l. 21): κατὰ μείζονος κύκλου AMAld ‖ 20 τῆ δύσει AAld ‖ 23 ὅλως AAld: ὅλος M | τουτὶ AAld ‖ 23, 4 συνανατέλλειν A ‖ 24 συνκαταδύεται A ‖ 25 ὡς εἶπεν M: om AAld; vix εἶπον, cf ad v. 171 ‖ 26 schol cum antecedenti cohaeret AMAld ‖ 27 Ἡ. ἀνατείλας ὁμοῦ πρ. AAld | πρότερον Ald ‖ 28 ὁμηλυσία M ‖ 28, 9 καὶ κατ᾽ αὐτὸ τὸ αἴτιον A, καὶ κατὰ ταὐτό. τὸ δὲ αἴτιον Ald

δύεται ἢ κατά τι δύεται ἢ βραδέως δύεται, οἷον Ἄρκτοι ὅλως οὐ δύνουσιν, ὁ Κηφεὺς καταδύεται, ὅσον αὐτοῦ ἐστιν ἐκ τοῦ νοτίου, οὕτω καὶ ὁ Ἡνίοχος βραδέως δύνει ὡς πρὸς τὰ ὑποκείμενα αὐτῶι νοτιώτερα ζώιδια. οὗτος οὖν ὁ Ταῦρος νοτιώτερος αὐτοῦ ὢν πρότερος μᾶλλον καταφέρεται, ἐκεῖνος δὲ βραδύτερος, ὅσωι καὶ βορειότερος. ἅμα δὲ ἀνατέλλουσι διὰ τὸ ἐξ ἀνατολῶν ὥσπερ ἐπινενευκότα καὶ κεκυρτωμένον ἄνω φέρεσθαι τὸν Ἡνίοχον. ὅτε μέντοι δύεται, καὶ πλείονα χρόνον ἀναλίσκει δυόμενος, ὅτι τῶν ἐπὶ τῆς κινουμένης σφαίρας ἀνατελλόντων ἅμα σημείοις ὕστερον δύνει τὰ προσεγγίζοντα τῶι φανερῶι πόλωι· μείζους γὰρ κατὰ τὴν ὁμοιότητα διανύει περιφερείας διὰ τὸ μετέωρον τοῦ πόλου. λήξας οὖν ἐπὶ τὸν Ταῦρον (177) ἄνεισι πάλιν ἐπὶ τὰ συνεχῆ καὶ βόρεια.

179. οὐδ' ἄρα Κηφεύς: πάλιν ἕως τοῦ ζωιδιακοῦ ἐλθὼν καὶ διδάξας τὰ περὶ τοῦ Ταύρου ἀνέδραμεν ἐπὶ τὰ τοῦ βορείου λειπόμενα. πάλιν δὲ οὐδὲ τὸν Κηφέα ἀφ' ἑαυτοῦ διδάσκει, ἀλλ', ὥσπερ τὰ φθάσαντα διὰ τῶν ἐγνωσμένων, οὕτω καὶ τοῦτον διὰ τῆς ἤδη (52) γνωσθείσης Κυνοσούρας Ἄρκτου (182). § τὸ δὲ μογερόν (179) διὰ τὴν συμβᾶσαν συμφορὰν ἐν τῶι οἴκωι αὐτοῦ χάριν Κασσιεπείας· αὕτη γὰρ ἤρισε ταῖς Νηρῆισι περὶ κάλλους, αἱ δὲ ὀργισθεῖσαι Κῆτος ἐπαφῆκαν τῆι Αἰθιοπίαι. ἔχρησε δὲ ὁ θεός, ἐὰν μὴ ἡ ταύτης θυγάτηρ Ἀνδρομέδα παραδοθῆι τῶι Κήτει, μὴ παύσεσθαι. ἡ δὲ ἐξετέθη. παριὼν δὲ ὁ Περσεὺς ἔσωσε τῆι Γοργόνι τὴν Ἀνδρομέδαν. πάντες οὖν κατηστερίσθησαν ἁπλώσαντες τὰς χεῖρας ὥσπερ ὑπόμνημα τοῦ πάθους φέροντες.

Cat p. 215 ot 257

Ἰασίδαο: Ἰασίδην τὸν Κηφέα εἶπε διὰ τὸ ἔχειν τὸ γένος ἀπὸ Ἰνάχου, ἀπὸ μητρὸς δὲ αὐτὸν ὠνόμασεν· οὐ γάρ ἐστι Κηφεὺς Ἰάσου, ἀλλ' Ἰοῦς τῆς Ἰνάχου. Ἰασίδης οὖν υἱὸς Ἰοῦς· Ἰοῦς γὰρ Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Ἀγήνωρ, οὗ Κηφεύς.

---

1 ἢ καταδύεται AAld | ἢ βραδέως δύεται om Ald ‖ 2 καταδ. ὅς A ‖ 3 ὁ δὲ Ἡν. βραδέως δύνει ὥσπερ τὰ Ald ‖ 4—13 om AAld ‖ 5 πρῶτος M ‖ 15, 6 τὰ λοιπὰ τοῦ βορείου A, τὰ λειπόμενα τοῦ βορείου Ald ‖ 17 τὸν φθ. A ‖ 18 τῆς ante K. iterat A ‖ 20 κασιεπείας Ald | νηρήισι AMAld ‖ 21 τῆι αἰθιόπων Ald ‖ 22 εἰ AMAld | ἡ om AAld | ἀνδρομέδη Ald ‖ 23 παύσασθαι AMAld | ἐξετάθη M ‖ 24 γοργόνι Ald, cf p. 226b: γοργόνη AM ut Nicol p. 376 West | ἀνδρομέδην Ald | πάντα Ald ‖ 24, 5 κατηστερήθησαν AAld ‖ 25 τὸ δὲ ante ἁπλ. Ald ‖ 27 ἰασίδαο δὲ τὸν A, ἰασίδην δὲ τὸν Ald ‖ 28 ἢ ἀπὸ μ. αὐτ. κατωνόμασεν Ald ‖ 29 ἰασίδαο οὖν ὡς υἱὸς Ald | ὡς ante υἱὸς A | ἑοῦς A ‖ 30 ἑοῦς A

181. *ἐπεὶ Διὸς ἐγγύθεν ἦσαν*: *ἐπεὶ δοκοῦσιν οἱ βασιλεῖς ἀπὸ Διὸς ἔχειν τὸ γένος. ἢ αὐτοῦ πρὸς γένους. ᾽ἀλλ᾽ ἄρα καὶ τὸν οὐρανὸν ἔφθασεν ὁ Κηφεύς, ἐπειδὴ Διὸς ἦν᾽· πρόγονος ⟨γὰρ⟩ αὐτοῦ ἐστιν Ἰώ.*

184. *ἴση οἱ στάθμη*: *ἴση εὐθεῖα. ἴση διάμετρος ἀπὸ τῆς Ἄρκτου ἕως ποδῶν ἀμφοτέρων τοῦ Κηφέως, ὅση ἀπὸ ποδὸς ἐς πόδα τείνει. ὅσον ἀπέχουσιν ἑαυτῶν οἱ πόδες, τοσοῦτον ἀπέχει ἡ οὐρὰ τῆς Ἄρκτου ἑκατέρου ποδὸς τοῦ Κηφέως.*

ἄλλως. στάθμη ἐστὶν ἡ εὐθεῖα γραμμή. § *νεάτης δὲ οὐρᾶς, τῆς Κυνοσούρας Ἄρκτου. ἀπὸ ἄκρας τῆς οὐρᾶς εὐθειά τις γραμμὴ φέρεται εἰς ἑκάτερον πόδα τοῦ Κηφέως τοσοῦτον ἀπέχοντα τὸ διάστημα, ὅσον καὶ ἀπὸ τοῦ ποδὸς τοῦ Κηφέως ἐπὶ τὸν ἄλλον πόδα, ὡς τὸ μέγεθος εἶναι τρίγωνον ἰσόπλευρον ἀπὸ τῆς οὐρᾶς ἐπὶ τοὺς δύο πόδας καὶ τοὐτῶν δύο ποδῶν αὐτοῦ διάστημα.*

186. *αὐτὰρ ἀπὸ ζώνης*: *ἐπειδὴ ἡ τοῦ Κηφέως ζώνη ἀμυδρά ἐστιν, ἐκ τοῦ παρακειμένου Δράκοντος διδάσκει* (187). *ὁ δὲ νοῦς· κάτω δὲ τῆς τοῦ Κηφέως ζώνης ὀλίγον ἑέμενος καὶ περισκοπήσας βλέψειας ⟨ἂν⟩ τοῦ Δράκοντος πρώτην καμπήν, τὴν ἀπὸ τῆς κεφαλῆς τοῦ Δράκοντος κύκλωσιν.*

188. *τοῦ δ᾽ ἄρα*: *πλησίον τοῦ Κηφέως.* § *τὸ δαιμονίη διὰ τὸ ποιὸν αὐτῆς κατάστημα ὥσπερ ἐν συμφοραῖς οὔσης διὰ τὴν παῖδα. ἐν νυκτὶ δὲ ἐχούσηι πλήρη τὴν σελήνην οὐ πολλὴ καὶ λαμπρὰ φαίνεται ἡ Κασσιέπεια· ἀμυδροτέρους γὰρ ἔχει τοὺς ἀστέρας.*

τοῦ δ᾽ ἄρα δαιμονίη: *ἀνατολικωτέρα προθεωρεῖται.* § *τὸ δὲ ⟨προ⟩κυλίνδεται οὐκ ἀσχημόνως κεῖται· πλατεῖα γὰρ καθ᾽ ἑκάτερα.*

---

1 *οὐρανὸν εἰς ὄνομ᾽ ἦλθεν ἐπειδὴ* AAld 2 *ἢ — γένους* om A; *τὸ γ. ἢ εἰς τὸν οὐρ.* Ald ‖ 3 *πρόγονος* A: *πρὸς γένους* M; *ἐπ. ἀπογόνος ἦν Διός· πρόγονος γὰρ* Ald ‖ 4 supplevi e ς ‖ 5 lemma om AAld | *δὲ* post *ἴση* Ald | *ἴση δ.* AM: *φησὶν ἢ δ.* Ald ‖ 6 *τῶν ποδῶν τοῦ Κ. ἀμφ. καὶ ὅση* Ald ‖ 7 *ἤγουν ὅσον* Ald | *ἑαυτοῦ* Ald ‖ 7,8 *οἱ π. ἀπ᾽ ἀλλήλων τ.* Ald ‖ 8 *τῆς ἄρκτου ἡ οὐρὰ* AAld | *ἐ. τοῦ π.* Ald ‖ 9 *ἄλλως* iterat in margine M, utrumque om AAld | *ἐστὶν* AM: *δὲ* Ald ‖ 10 *Ἄ. τὸ δὲ πᾶν ἀπὸ* Ald ‖ 12 *ἀπέχοντος τὸ δ.* AM, *ἀπέχουσα δ.* Ald ‖ 13 cf p. 381, 15 | *εἶναι τὸ μέγ.* Ald ‖ 14 *εἰς δύο π.* AAld | *τ. δύων* A ‖ 16 *ἐπεὶ* AAld ‖ 19 supplevi | *τὴν Δρ.* Ald | *ὁ ἐ* (om Ald) *ἐστιν* ante *τὴν* add AAld ‖ 21—25 om AAld ‖ 22 *ποιὸν* scripsi: *ποῖον* M | *οὔσης* scripsi: *ὦ* (i e *εἶναι*) M ‖ 26 schol om A | *ἀνατολικώτερον* Ald ‖ 26,7 *τὸ γὰρ προκυλίνδεται τοῦτο σημαίνει, οὐ τὸ ἀσχημόνως κεῖσθαι* Ald ‖ 27 *οὐκ εὐσχημόνως* M ‖ 28 *ἑκάτερον* Ald

ἄλλως. ἔνιοι νομίζουσιν ἠγνοηκέναι τὸν Ἄρατον, ὅτι ἡ Κασσιέπεια ἐπανατέλλει τῶι Κηφεῖ καὶ ἐπικαταδύνει, μὴ νοήσαντες ὅτι ἔθος ἐστὶ τῶι ποιητῆι τὴν ἀνατολὴν προτέραν καλεῖν. τὸ οὖν προκυλίνδεται σημαίνει, ὅτι ἡ Κασσιέπεια ἀνατολικωτέρα Κηφέως. § τὸ δὲ δαιμονίη ἤτοι κακοδαίμων διὰ τὰ φαινόμενα καὶ συμβαίνοντα αὐτῆι ἢ μακαρία διὰ τὸ ἐν θεοῖς εἶναι.

προκυλίνδεται οὐ μάλα πολλή: καὶ γὰρ σμικρὸν ἐπέχει τοῦ οὐρανοῦ τόπον καὶ οὐ πάντη ἐν νυκτὶ πανσελήνωι λαμπρὰ φαίνεται· οὐ γὰρ πολλοὶ αὐτὴν λαμπρύνουσιν ἀστέρες.

190. *οὐ γάρ μιν πολλοί: ἡ Κασσιέπεια ἀστέρας ἔχει ἐπὶ τοῦ σώματος ἐκ διαστήματος ἀλλήλων κατ' εὐθεῖαν ὡς ἔγγιστα κειμένους. ὧν ὁ βορειότατος ἐπὶ τῆς καθέδρας ἐστίν, ὁ δὲ νοτιώτατος ἐπὶ τῆς κεφαλῆς, οἱ δὲ τούτων μεταξὺ δύο τὸ τῆς Λακωνικῆς δικλίδος σχῆμα ποιοῦντες τοι((οὗτον)) ⟨sequebatur figura⟩. ὧν ἡ μὲν πρώτη γραμμή ἐστι τὸ σῶμα, ἡ ((δὲ)) πλαγία τὰ γόνατα.*

192. *οἵην δὲ κληῖδι: τὸ ἔνδοθεν ἡρμοσμένην εἶναι τὴν κλεῖν ἀρχαϊκόν ἐστιν· οὐ γὰρ ὡς νῦν ἐκτός εἰσιν αἱ κλεῖδες, ἀλλ' ἔνδον τὸ παλαιὸν παρ' Αἰγυπτίοις καὶ Λάκωσιν. καὶ Ὁμηρος οἶδε τὸ τοιοῦτον, ὅτι ἔσωθεν τὰ θυρώματα ἀνακρούονται κληῖδι 'θυρέων ἀνέκοπτεν ὀχῆα — τὰ δ' ἀνέβραχε δαίδαλα πάντα', ⟨τὰ⟩ ἀσφαλίσματα* (Od XXI 47 sqq. et II XIX 13 confusa). *ἔστιν οὖν ἡ Κασσιέπεια ἐν οὐρανῶι οὐχὶ πᾶσα, ὡς γέγραπται, ἀλλ' οὕτω ⟨sequebatur olim figura, cf ad v. 190⟩ κλειδὸς ἔχουσα ἀρχαίας σχῆμα, καὶ οἱ ἀθρόοι ἀστέρες τὸ σῶμα ἀποτελοῦσιν, οἱ δὲ πλάγιοι τὰς χεῖρας ἐκτεταμένας, οἱ δὲ κατωτέρω*

---

1 ἄλλως om et δὲ post ἔνιοι add Ald | ἠγνωηκέναι A ‖ 3 πρότερον Ald ‖ 4 προκιλύνδεται A^2 ‖ 5 δὲ bis A | ἤγουν Ald ‖ 6 συμβάντα αὐτοῦ AAld ‖ 7 θεοῖς, dicit stellas, cf De Germanici prooemio p. IV ‖ 8 προκυλίνδεται om AAld | οὐδ' ἄρα πολλή Ald | μικρὸν AAld ‖ 10 οὐ AAld: οὔτε M ‖ 13 δὲ iterat M ‖ 15 τοιοῦτον om Ald; subindicat olim hic figuram claustri fuisse subscriptam (p. 366, 10. Diels Parmenides p. 141), cf p. 342, 24—27) ‖ 16,7 ὧν τὸ μὲν ἓν γραμμή ἐστι, τὸ δὲ πλάγιον τὰ γ. Ald ‖ 16 σῶμα om AAld ‖ 19 ἀρχαϊκῶς (omisso ἐστιν) Ald ‖ 20 παρὰ Ald ‖ 21,2 ἀνακρούονται scripsi: ἀνακρουόμενα AM, κλείονται ἐν οἷς φησι Ald ‖ 22 θύρη AM Ald | ἀνέκοπτεν AAld: -ον M | ὀχῆας Od codd | ἐνέβρεχε A, ἀνέβραβε M, ἔμβραχε Ald ‖ 23 supplevi | ἀσφ. om Ald ‖ 24 ἐν οὐρανῶι om AAld ‖ 24,5 ὡς γέγραπται AM (spectat ad imaginem Cassiepiae ab aliis formatam): φανερὰ Ald ‖ 25 οὕτω AM: ὡς Ald ‖ 26,7 καὶ οἱ ἀστέρες δὲ οὐκ ἀθρόοι τὸ σῶμα ἀποτελοῦσιν, ἀλλ' οἱ μὲν πλάγιοι τὰς χεῖρας κτλ. Ald ‖ 27 ἐκτεταμένας M

ἁμα καὶ πόδας καὶ τὴν καθέδραν, ὡς δικλίδα [ὡς πρόθυρα]. § τὸ δὲ δικλίδα ⟨ὡς⟩ δίθυρον. § μουνὰξ (194) δὲ εἰς ἐφ' ἕνα, οὐχ ἅμα πολλοί, ὀλίγων τῶν ἀμυδρῶν ὄντων.

195. ἀποτείνεται ὦμων: ἡ δὲ Κασσιέπεια ἀποτεταμένας ἔχει τὰς χεῖρας εἰς ὄργυιαν. ἐσχημάτισται δὲ ὥσπερ στερνοκοπουμένη.

ἄλλως. ἀποτελεῖ ὄργυιαν, καὶ εἴποις ἂν αὐτὴν τῶι ποιῶι σχήματι ὥσπερ ἐπανιᾶσθαι τῆι παιδί, ὅ ἐστιν ἀνιάζειν (196), καὶ λυπεῖσθαι.

197. αὐτοῦ γὰρ κἀκεῖνο ⟨— αἰνὸν ἄγαλμα⟩: τὸ χαλεποῖς πάθεσιν ὑποπεπτωκός.

κεκασμένον: διατετυπωμένον. § τὸ δὲ κυλίνδεται πάλιν τὴν θέσιν πρὸς τὴν συμφοράν (cf p. 372, 19. 373, 22. 374, 6). § τὸ δὲ ἄγαλμα ἤτοι καταχρηστικῶς τὸ εἴδωλον ἢ [ἄγαλμα] διότι κατηστέρισται μετὰ παντὸς τοῦ γυναικείου κόσμου καὶ ὥσπερ κεκοσμημένον ἐστὶν αἰνὸν ἄγαλμα.

198. Ἀνδρομέδης ὑπὸ μητρὶ κεκασμένον: ὡς πρὸς σύγκρισιν τῆς μητρός. § τὸ δὲ κεκασμένον κεχωρισμένον· οὐ γὰρ πάνυ πλησίον αὐτῆς ἐστιν. § γράφεται καὶ κεκομμένον, ἵν' ᾖι τεθρηνημένον. § κεῖται δὲ ἐν τοῖς ἄστροις ἡ Ἀνδρομέδα διὰ τὴν Ἀθηνᾶν, τῶν Περσέως ἄθλων ὑπόμνημα. ἔχει δὲ καὶ αὕτη τὰς χεῖρας ἐκτεταμένας, ὡς προετέθη τῶι κήτει (cf l. 4). Cat p. 216 b

οὔ σε μάλ' οἴω: ὁ νοῦς οὗτος· οὐδαμῶς δέ σε ὑπολαμβάνω νύκτα ἐπιτηρῆσαι ἀσέληνον καὶ σκοτεινήν, ἵνα εὐσυνόπτως τὴν Ἀνδρομέδαν θεάσηι· καὶ γὰρ αὐτόθεν λαμπροτάτη

---

1 δικλεῖδα AM | seclusi | πρόθυρον A ‖ 2 δικλεῖδα AM | τὸ δικλεῖδα δὲ σημαίνοι ἂν καὶ τὸ δίθυρον Ald | τὸ δὲ μουνὰξ Ald ‖ 2, 3 μουνὰξ — ὄντων om M ‖ 3 ἕννα A ‖ 4 ἡ δ' αὕτως pro lemmate AAld ‖ 4, 5 ἀποτεταμένας M ‖ 5 εἰς om A | γὰρ pro δὲ AAld ‖ 5, 6 στενοκοπουμένη AM ‖ 7 ἄλλως ἀπ. ὄργ. om Ald | πόιω A, τοιῶιδε Ald ‖ 8 τῶι Ald ‖ 8, 9 ὅ — λυπεῖσθαι om M, ὅ — ἀνιάζειν om Ald ‖ 9 καὶ Ald: om A ‖ 14 δὲ ἄλγημα A | ὅτι post ἢ M | ἄγαλμα om Ald ‖ 15 κατηστέρηται AAld, κατηστέρικται M | ὅτι post καὶ add M ‖ 16 ἐστιν αἰνὸν ἄγαλμα om Ald ‖ 17 Ἀνδρ. — 18 μητρός om hic Ald, cf ad l. 20 | κεκασμένον om A; ἢ κεκασμένον οἱονεὶ κεχ. Ald ‖ 19, 20 κεκασμένον (κεκαισμένον [sic] Ald) ἵν' ἢ τεθρυμμένον AAld ‖ 20 post τεθρ. Ald τὸ δὲ ὑπὸ μητρὶ ὡς πρὸς σύγκρισιν τῆς μητρός, cf l. 18 | ἀνδρομέδη Ald ‖ 21 ὑπόδειγμα AAld | καὶ om A Ald ‖ 23 coniunxit cum praecedentibus A | οὕτως M ‖ 24 ἀσέλινον Ald | καὶ σκοτεινὴν om AAld ‖ 25 ἀνδρομέδην Ald | αὐτόθι AAld

οὖσα καὶ ἐν παμμήνιδι νυκτὶ φαίνει. § τὰ δὲ ζώματα (201) ἱμάτια. § ὠλενίῃ (202) δὲ ἐκτεταμένας χεῖρας ἔχουσα.

203. δεσμὰ δέ οἱ κεῖται καὶ ἐν οὐρανῷ: διατέταται (φησί) τὰς χεῖρας καὶ ἐν οὐρανῷ ὥσπερ δεδεμένη, καθάπερ προὔκειτο τῶι κήτει.

205. ἀλλ' ἄρα οἱ καὶ κρατὶ πέλωρ: πάλιν ἀπὸ τῆς Ἀνδρομέδας διδάσκει τὸν Πήγασον, ὃς ἐστιν ἡμίτομος κατὰ τὸν ἀστερισμὸν ἐπὶ τῆς κεφαλῆς τῆς Ἀνδρομέδας κείμενος. § πέλωρ δὲ ἤτοι ἀπὸ τοῦ τμήματος τὸ ὅλον ἀναλογιζόμενος ἢ διὰ τὸ λαμπροὺς ἔχειν ἀστέρας. § ἡμιτελὴς δέ ἐστιν αὐτὰ τὰ ἐμπρόσθια φαίνων ἄχρι τοῦ ὀμφαλοῖ. § οἳ μὲν (Aratus ipse) αὐτὸν λέγουσιν εἶναι τὸν κολάψαντα τὴν κρήνην ἐν τῶι Ἑλικῶνι, οἳ δὲ [τὸν Πήγασον] μίμημά φασιν εἶναι ἵππου τοῦ Πηγάσου. ὃς πορευόμενος διὰ τοῦ Ἑλικῶνος τοῖς ποσὶν ἔρρηξε πηγὴν τὴν καλουμένην Ἵππου κρήνην. § ἱερὸς (215) δὲ ὁ Ἵππος, ὅτι κατηστέρισται, ἢ ὅτι Ποσειδῶν αὐτὸν ἐγέννησεν, ἢ ὅτι 'βροντήν τε στεροπήν τε φέρει Διὶ μητιόεντι' (Hesiod Theog 286). εἴληφε δὲ τὴν ἱστορίαν παρ' Ἡσιόδου (l c). διό φησιν οἱ δὲ νομῆες πρῶτοι κεῖνο ποτόν (220, 1).

Cat p. 218 sq.

204. γαστέρι νειαίρηι: τῆι ἐσχάτηι τῆς ἡμιτόμου γαστρός. ἐπιψαύει δὲ τῆς Ἀνδρομέδας. εἷς δὲ ἀστήρ ἐστιν, ὃς διαζεύγνυσι τῆς τε Ἀνδρομέδας τὴν κεφαλὴν καὶ τὴν τοῦ Ἵππου ἡμίτομον γαστέρα.

208. οἱ δ' ἄρ' ἔτι τρεῖς ἄλλοι: ἡ διάνοια τοιαύτη ἐστίν· εἰσὶ δὲ καὶ ἄλλοι τρεῖς ἀστέρες κατὰ τὰ πλευρὰ τοῦ Ἵππου, οἳ-

---

2 ἔχουσα τὰς χεῖρας AAld ‖ 3—5 om Ald ‖ 6sqq. περὶ τοῦ ἵππου in margine M ‖ 6 καὶ et πέλωρ om AAld ‖ 7, 8 ἀνδρομέδης Ald | ὅ ἐ. A ‖ 8 στηριγμὸν libri | ἐπὶ τὴν κεφαλὴν AAld | πέλωρος Ald ‖ 9 τῶν ὅλων AAld ‖ 10 τοὺς ἀστ. AAld ‖ 11 ὀφθαλμοῦ Ald | οὖν post μὲν Ald ‖ 12 φασιν Ald | εἶναι om M | κολάψαντα Ald: κολλάψαντα AM ‖ 13—15 οἱ δὲ — Ἵππου κρήνην om Ald ‖ 13 seclusi; τὸν πήγασον M, τοῦ πηγάσου A | ἵππου post εἶναι om A | τοῦ πηγάσου M: τὸν πήγασον A ‖ 14 ἔρηξε A ‖ 15 κρήνην ἵππου A | ἤτοι ὅτι Ald | ὅταν A ‖ 15, 6 κατηστέρισται Ald: κατηστέρηται A, κατεστήρικται M ‖ 16 ὅταν Π. A | ὁ Π. Ald | ἐγέννουσεν M ‖ 16, 7 βρ. τε καὶ στερ. τρέφει ἢ μᾶλλον φέρει Δ. A, βρ. καὶ ἀστραπὴν τρέφει, καθ' ὃ ἐμφερής ἐστι τῶι Διΐ Ald ‖ 18 διό φησιν om M ‖ 19 ἐκεῖνο τὸ ποτὸν κρήνην ὠνόμασαν Ald ‖ 19, 20 coniunxit scholia omisso lemmate A ‖ 20 γαστρὶ δὲ νειαίρηι τῆι ἡμιτόμωι γαστρί Ald ‖ 21 δὲ ante τῆς Ἀ. A: γὰρ Ald, om M | ἀνδρομέδης Ald | εἷς ἀστὴρ ὃς δ. Ald ‖ 22 ἀνδρομέδης Ald | τὴν prius om A ‖ 24 ἔννοια αὕτη AAld ‖ 25 δὲ ante καὶ om AAld | κατὰ — Ἵππου om AAld

τινες ἴσον ἔχοντες διάστημα πρὸς τὸν εἰρημένον ἀστέρα τετράγωνον ἰσόπλευρον ἀποτελοῦσι καὶ τὸν εἰκονισμὸν τοῦ Ἵππου εὔσημον ποιοῦσι λαμπρότατοι ὄντες.

211. κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη: καλοὶ καὶ μεγάλοι κατὰ τὸ φῶς· ἀμυδροὶ γὰρ οἱ ἐκεῖσε ἀστέρες. § τὸ δὲ δόλιχός περ ἐών οἶδε καὶ Ὅμηρος, τοὺς Ἵππους 'ἐριαύχενας' λέγων. διὸ καὶ οὗτός φησι πέλωρ — Ἵππος (205).

212. αἰθομένης γένυος: καταλαμπούσης· ἐπ' ἄκραν γὰρ τὴν γένυν ἀστέρα ἔχει, ὃς τοῖς προειρημένοις τέτρασιν ἀστράσιν ἴσος ἐστὶ κατὰ τὸ φῶς. § ἡμιτελὴς δὲ (215) καὶ οὐχ ὁλοτελής ἐστιν, ἀλλ' ἀπὸ τοῦ ὀμφαλοῦ σὺν τοῖς ἐμπροσθίοις μέρεσι θεωρεῖται.

222, 3. ἀλλὰ τὸ μὲν τοῦ Πηγάσου ὕδωρ ἀπὸ τῆς γῆς ῥεῖ, καὶ οὐδέποτε τοῦτο τὸ ὕδωρ τῶν τὴν Θέσπειαν οἰκούντων ἐκὰς ὄψει· ὑπὸ τὰς ὑπωρείας γὰρ τοῦ Ἑλικῶνος ἡ Θέσπεια κεῖται, ἐν δὲ ταῖς ὑπωρείαις ἡ κρήνη εἰς Θέσπειαν ἐκβάλλουσα.

223, 4. αὐτὰρ ὁ Ἵππος ἔνδιος: ὁ δὲ Ἵππος ἐν τῷι τοῦ Διὸς οἴκωι, ἐν τῷι οὐρανῷι. § εἱλεῖται ἀντὶ τοῦ κύκλωι συστρέφεται, καὶ δύναται κατοπτεύεσθαι ἡ μὲν κρήνη ἐν Θεσπείαι, ὁ δὲ Ἵππος ἐν τῷι τοῦ Διὸς οἴκωι, ἐν τῷι οὐρανῷι. § ἦ, ὡς Διόδωρος (Diels Doxogr p. 21 sq.), ἔνδιος ὁ μεσημβρινός. 'ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλός' (Od IV 450)· κεῖται γὰρ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ ἰσημερινοῦ. βέβαιον δέ· καὶ γὰρ ἐπὶ τοῦ Περσέως εἶπεν Ἄρατος (253) ἴχνια μηκύνει κεκονιμένος ἐν Διὶ πατρί. § Θέσπεια δὲ πόλις Βοιωτίας

---

3 λαμπροὶ Ald ‖ 4 lemma om AAld | καλοὶ καὶ μεγ. om M | δὲ post μεγ. Ald ‖ 5 οὐ γὰρ ἀμυδροί εἰσιν οἱ Ald, cf infra ‖ 5—11 τὸ δὲ δόλιχος. τοῦτο δηλοῖ, ὅτι καίτοι ἐπιμήκης ὢν ὁ αὐχὴν τοῦ Ἵππου ἀλλ' οὐκ οὐχ ὁμοίως ἀστέρας ἔχει τοῖς ἐπὶ ταῖς πλευραῖς, οὔτ' αὐτὸς οὔθ' ἡ κεφαλή· ἀμυδροὶ γάρ εἰσιν οἱ ἐκεῖσε ἀστέρες. καὶ Ὅμηρος δὲ τοὺς Ἵππους 'ἐριαύχενας' καλεῖ. τὸ δὲ αἰθομένης γένυος, ὅτι ἐπ' ἄκραν τὴν γένυν ἀστέρα ἔχει, ὃς τοῖς προειρημένοις τέτρασιν ἀστράσιν ἴσος ἐστὶ κατὰ τὸ φῶς. ἡμιτελὴς δέ, οὐχ ὁλοτελής, ἀλλ' κτλ. Ald ‖ 6 καὶ alt A: om M ‖ 8 καταλάμπουσιν A ‖ 10 ἴσως A | καὶ om A, cf Ald adn l. 5—11 ‖ 13 schol post p. 375, 16 AM, post p. 376, 12 (adn) Ald ‖ 14 τὸ ὕδωρ τοῦτο A | ἐκὰς scripsi: ἐκτὸς AMAld ‖ 16 ἐκβάλλουσα om A | ἡ κρ. ἐστίν: — Ald ‖ 17 ἔνδιος om M ‖ 17, 8 τοῦ — τῷι om M ‖ 18 ἦγουν τῷι οὐρ. ἐστιν Ald ‖ 18—20 εἱλεῖται — οὐρανῷι om AAld ‖ 19 δύναται κατοπτεύεσθαι scripsi: δυνατὸν κατοπτεῦσαι M ‖ 22 ἦλθεν AAld ‖ 23—25 βέβαιον — πατρί om AAld ‖ 25 Θέσπειαι π. A ‖ 25—p. 378, 3 cf 'Commentationem mythogr II' (Gryphiae 1894) p. IV sq.

ὑπὸ τῶι Ἑλικῶνι, ἀπὸ Θεσπείας τῆς Ἀσωποῦ. ἣι τρεῖς δωρεὰς Ἀπόλλων δέδωκεν, ἐπώνυμον αὐτῆς πόλιν ἐπὶ γῆς, ἐν οὐρανῶι τὴν Παρθένον, ἐν τοῖς μαντείοις τὸ θεσπίζειν.

Cat p. 221 sq. 225. *αὐτοῦ καὶ Κριοῖο: τοῦτον τὸν Κριὸν Ἐρατοσθένης* (fr XLI p. 151 Bernh.) *εἶναί φησι τὸν Ἕλλης καὶ Φρίξου. ὃν θύσας τῶι Φυξίωι Διὶ Φρίξος τὴν δορὰν ((δέδωκεν)) Αἰήτηι. διὸ καὶ τοὺς ἀστέρας αὐτοῦ ἀμαυροῦσθαί φησιν* (228) *ὡς ἐκδαρέντος. § τὸ δὲ αὐτοῦ ἐπὶ τοῦ Ἵππου κεῖται. φησὶ δὲ τοῦ τε Ἵππου καὶ τοῦ Κριοῦ διὰ τὸ πλησίον εἶναι τοῦ ἰσημερινοῦ ταχυτάτην εἶναι τὴν κίνησιν. δύναται δὲ καὶ τοπικῶς τὸ αὐτοῦ ὑπακούεσθαι, οἷον ἐνθά(δε). φασὶ δέ, ὅτι ἀκαίρως ἦλθεν ἐπὶ τὸν Κριὸν ἀπὸ τοῦ Ἵππου· ἔδει γὰρ τὰ ὑποκείμενα δηλῶσαι, τοὺς Ἰχθῦς ἢ τὸν Ὑδροχόον. ἀλλά φαμεν, ὅτι ἀπὸ τοῦ Σκορπίου ἑξῆς τοὺς ἄλλους τοῦ Ταύρου διδάξας ἔπειτα ἑξῆς ἦλθεν ἐπὶ τὸν Κριόν. αὐτὸς δὲ πλησίον Ἀνδρομέδας. καὶ πόθεν τοῦτο, ὑποκατιών φησι νειόθεν Ἀνδρομέδης* (234). *ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται* (230). *§ θοώταται* (225) *δὲ διὰ τὴν ἐπαγομένην θεωρίαν* (226).

226. *ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα: ὁ Κριός. πληθυντικῶς δὲ εἶπε μέγιστον κύκλον τὸν ἰσημερινόν· μέγιστος γάρ ἐστι πάντων, ἐπειδὴ καὶ μέσην τέμνει τὴν σφαῖραν. § τὸ δὲ διωκόμενος ἐπειγόμενος χαριέντως εἶπεν ὡς πρὸς τὰς ταχείας αὐτοῦ ὁδούς. ὅπερ οὖν κατὰ φύσιν ἔχει, τοῦτο καὶ προείπομεν* (p. 370, 26) *ὅτι ἐν θαυμασμῶι λαμβάνει. § ὁ Κριὸς οὗτος ἐπὶ τοῦ μεγίστου τῶν παραλλήλων κύκλων τοῦ ἰσημερινοῦ ὢν ἐν ἴσωι χρόνωι ἀπὸ σημείου ἐπὶ σημεῖον φέρεται, ἐν ὅσωι καὶ ἡ μικρὰ Ἄρκτος τὸν ἐλάχιστον περιγράφουσα κύκλον (φησί) τῶν περὶ ἄξονα κινουμένων κύκλων τῶν τε μεγίστων καὶ ἐλαχίστων ἰσόχρονον ἐχόντων τὴν ἀποκατάστασιν, ὡς καὶ ἐπὶ θύρας· ἐν ταὐτῶι γὰρ ἀποκαθίσταται ὁ στρόφιγξ καὶ τὸ ἀκρό-*

---

5 *φρύξου* Ald ‖ 6 *φρύξος* AAld | *τῶι Δί.* Ald ‖ 8 *δὲ* prius om A | *ἤγουν* ante *ἐπὶ* Ald ‖ 9 *ταχυτάτη* (sic) A ‖ 10 *καὶ* om M | *τὸ αὐτὸ* A ‖ 13 *ἰχθύας* AAld ‖ 13, 4 *Σκ. τοὺς ἐφεξῆς τοῦ T.* AAld ‖ 14 *ἔπειτα* AAld: *ἐπὶ τὰ* M | *ἐξῆς* post *ἦλθεν* AAld ‖ 15—17 *γὰρ πλ. ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστηρίχθαι ὑπ. αὐτός φησιν. τὸ δὲ θοώτατοι* Ald ‖ 16 *νειόθεν* om A ‖ 17 *θοώτατοι* AMAld ‖ 19 *διωκ. π. κ.* om M ‖ 20 *ὁ Κριός* om A Ald | *δὲ* om AAld ‖ 21 *μέγισται γ.* (sic) A | *γὰρ* (*δὲ* Ald) *δηλοῖ* post *ἰσημ.* A Ald ‖ 22 *ἐπειγόμενος* om Ald | *χαριέντα* Ald ‖ 23 *ὅπερ* om A ‖ 23, 4 *ὥσπερ οὖν προείπομεν, ὅτι τὸ κατὰ φύσιν ἔχον ἐν θ. λ.* Ald ‖ 24—p. 379, 2 *ὁ Κριὸς — αὐτῆς* om AAld ‖ 28 *φησί* scripsi, cf p. 379, 10. 380, 7 al: *φύσει* M

τατον μέρος τῆς θύρας ἀνοιγομένης καὶ κλειομένης αὐτῆς. οὕτως οὖν καὶ ἡ σφαῖρα ὁμοχρόνως ἑαυτῇ πᾶσα κινεῖται. ἔστι δὲ ὁ Κριὸς μέσος ὑπὸ τοῦ ἰσημερινοῦ τεμνόμενος. διὸ καὶ ἰσημερία ἐστὶ τοῦ ἡλίου ἐν Κριῶι γινομένου. ἀνατέλλοντος τοίνυν τοῦ Κριοῦ ἡ Κυνόσουρα μέση ἐστὶν ὑπὸ τὸν μεσημβρινὸν πόλον. ἀνύοντος δὲ τοῦ Κριοῦ τὸ ὑπὲρ γῆν ἡμισφαίριον καὶ τὸ ὑπὸ γῆν, εἶτα πάλιν ἐπ' ἀνατολὰς ἐρχομένου ἰσοχρόνως κινεῖται ἡ Κυνόσουρα καὶ πάλιν εὑρίσκεται ὑπὸ τὸν μεσημβρινὸν πόλον. εἰ καὶ ὀλίγον οὖν κινεῖται ἡ Κυνόσουρα περὶ τὸν βόρειον πόλον, ὅμως (φησί) μέγιστα τὰ κύκλα ἀνύων ὁ Κριὸς κατ' οὐδὲν αὐτῆς βραδύτερα κινεῖται. ἔστι δὲ ἰδεῖν καὶ ἐπὶ τοῦ τροχοῦ τοῦτο καὶ χοινικίδος· τῶι γὰρ παντὶ κύκλωι τοῦ τροχοῦ συμφέρεται ἡ χοινικίς. § καίτοι ἔλαττον στρεφομένη ἰσοχρόνως κινεῖται (227).

228. αὐτὸς μὲν νωθής: βραδύς. δοκεῖ δὲ ἐναντίος εἶναι τοῖς προειρημένοις (225), ἀλλὰ τὸ βραδύς εἴρηται πρὸς τὴν κατάληψιν· ἀμυδρὸς γάρ ἐστιν. § τὸ δὲ οἷα σελήνηι ὥσπερ ἐν πληθούσηι σελήνηι φαινόμενος· αὐτη γάρ, ὁτε πλήθει, ἀμυδρότερα ποιεῖ τὰ ἄστρα. ἄνευ οὖν καὶ σελήνης αὐτὸς ἀμυδρός ἐστι, λαμπροὺς δὲ ἔχει μόνους τοὺς ἐπὶ τῆς κεφαλῆς. § ἀνάστερος δὲ οἷον μὴ λαμπροὺς ἔχων ἀστέρας· ἔχει γὰρ ἀστέρας τέσσαρας. § νωθὴς δὲ εἴρηται διὰ τὸ ἀμυδρο⟨ὺ⟩ς εἶναι τοὺς ἀστέρας, οὐχὶ τῆι φορᾶι (ὀξύτατος γάρ ἐστιν). § ἢ ἀμαυρο⟨ὺ⟩ς καὶ ἀμυδροὺς ἔχων ἀστέρας.

ζώνηι δ' ἂν ὅμως ἐπιτεκμήραιο: ἆρα οὖν ἀπροόρατος ὁ Κριός, καὶ οὐκέτι ὁ περὶ τῶν φαινομένων λόγος ἔρρωται· ὑπὸ γὰρ τὴν Ἀνδρομέδας ζώνην ἐστίν, ἥτις ζώνη λαμπρὰ πεπίστευται. § τὸ δὲ ἐστήρικται (230) καλῶς ἐπήνεγκεν, ἐπειδὴ εἶπε διωκόμενος (226), ἵνα μή τις νομίσηι, ὅτι τῶν πλανήτων ἐστίν.

---

2 *ἀεὶ δὲ ἡ σφαῖρα* AAld ‖ 3 *μέσος* post *ἰσημ.* AAld | *ἀπὸ* M ‖ 4 *γενομένου* Ald ‖ 5 *μεσημβρινὸς* (sic) A | *πόλον* om A ‖ 6 *ὑπὲρ — τὸ* om A Ald | *τὸ* alt scripsi: *τοῦ* M ‖ 7 *εἶτα* ante *πάλιν* om M | *ἐρχομένου* AAld: *-ων* M ‖ 8, 9 *καὶ — Κυνόσουρα* om AAld ‖ 9 a *περὶ* novum schol incipit A ‖ 9, 10 *πόλ. φησὶν οὖν καίτοι μ. κ. ἀ.* Ald ‖ 10 *φασὶ* A | *τὰ* om A ‖ 10, 1 *ὅμως βραδύτερον* Ald ‖ 11 *ἔστιν ἰ.* A ‖ 11, 2 *καὶ χοινικίδος* om AAld ‖ 12 *τὸ γὰρ* Ald | *συμφέρεται* om M ‖ 12, 3 *χοινικὴς* A ‖ 13 pro *ἰσ. κιν.* Ald *τὸ δὲ 'τροχεύει' ἀντὶ τοῦ κινεῖται* ‖ 14 lemma om A | *ἐναντίως* A, *-ία* Ald | *ἔχειν* pro *εἶναι* Ald ‖ 16 *σελήνη* AMAld | *ἀντὶ τοῦ ὥσπερ* Ald ‖ 18 *καὶ* om Ald | *αὐτῆς* A ‖ 19—23 *λαμπροὺς — ἀστέρας* om AAld ‖ 24 lemma om A, *ἐπιτεκμ.* om Ald ‖ 26 *ζώνην* A | *ζώννη* A ‖ 26, 7 post *ἔρρωται* Ald *ἀλλὰ πεπίστευται αὐτὸν ὑπὸ τὴν ἀνδρομέδης ζώνην τυγχάνειν, ἥτις ζώνη λ. ἐστιν* ‖ 27, 8 *ἐπειδὴ — διωκ.* om Ald

231. *μεσσόθι δὲ τρίβει μέγαν οὐρανόν*: *ἀνύει διαπορεύεται. ὅθεν καὶ τρίβους τὰς τετριμμένας ὁδοὺς φαμεν. ὁ νοῦς· κατὰ τὸ μέσον τοῦ οὐρανοῦ πορεύεται· ἐν γὰρ τῶι ἰσημερινῶι κύκλωι ἐστίν. εἶτα, ἐπειδὴ ὄψει οὐκ εἰσὶν οἱ κύκλοι καταληπτοὶ πλὴν μόνου τοῦ γαλαξίου, διὰ τοῦτο ἐπήγαγε καὶ δίδωσιν ἕτερα σημεῖα, ὧν ὁ ἰσημερινὸς ἐφάπτεται κύκλος, ὅπου (φησίν) ἄκραι αἱ τοῦ Σκορπίου Χηλαί· ἄκρως γὰρ ἀμφοτέρων τῶν Χηλῶν ἐπιψαύει ὁ ἰσημερινὸς καὶ τῆς ζώνης τοῦ Ὡρίωνος. μέσωι δὲ ⟨τῶι οὐρανῶι⟩ ὁ κύκλος οὗτος ἐπίκειται.*

232. *Χηλαὶ καὶ ζώνη*: *σαφηνίσας τὰ περὶ τοῦ Κριοῦ, ἐν ᾧι ἰσημερίαν ἐαρινὴν ὁ ἥλιος ποιεῖται, ἐπεμνήσθη καὶ τῶν Χηλῶν, ἐν αἷς ἡ φθινοπωρινὴ ἰσημερία γίνεται, ἐπεὶ δι' αὐτοῦ καὶ τῶν Χηλῶν καὶ τῆς τοῦ Ὡρίωνος ζώνης γράφεται ὁ ἰσημερινὸς μέσος ὢν τῶν παραλλήλων κύκλων καὶ μέγιστος.*

233. *ἔστι δέ τοι καὶ — ἄλλο*: *ἐπειδὴ ἀμυδρὸς ὢν ὁ Κριὸς δυσκαταλήπτως ἔχει, πειρᾶται διὰ πολλῶν σημείων τοῦτον εὐκατάληπτον ποιῆσαι καί φησιν, ὅτι καὶ ἄλλο ἐστὶ σημεῖον πλησίον αὐτοῦ ὑπὸ τὸν τῆς Ἀνδρομέδας, ὃ Δελτωτὸν καλεῖται· τῶι γὰρ δέλτα στοιχείωι εἴκασται.*

235. *Δελτωτὸν πλευρῆισιν*: *τὸ Δελτωτὸν τρίγωνόν ἐστιν ἰσοσκελές, οὐκ ἰσόπλευρον· τὰς γὰρ κατιούσας πλευρὰς ἴσας ἔχει, τὴν δὲ κάτωθεν ὑποτείνουσαν βραχυτέραν ἐκείνων. τούτων τῶν σημείων τοῦ τε Δελτωτοῦ καὶ τῆς ζώνης τῆς Ἀνδρομέδας μικρὸν διεστὼς ὁ Κριὸς νοτιωτέραν ἔχει τὴν θέσιν. ἀλλὰ τοῦτό ἐστι μὲν ὑπὲρ τὴν κεφαλὴν τοῦ Κριοῦ κείμενον, λέγεται δὲ διὰ τὸ τὸν Κριὸν ἀμαυρότερον εἶναι ἐπίσημον ἐπ' αὐτοῦ κεῖσθαι τὸ γράμμα ἀπὸ Διὸς τὸ πρῶτον τοῦ ὀνόματος δι' Ἑρμοῦ τεθέν.*

Cat p. 223 b. cf p. 381, 8

---

1 *μέγαν οὐρανόν* om AAld ‖ 2 *φασὶν* Ald ‖ 2, 3 *ὁ δὲ νοῦς* Ald ‖ 5 *ἐπήγαγε καὶ* om M ‖ 6 *ὁ* om Ald | *κύκλος ἐφάπτεται* AAld ‖ 7 *αἱ τοῦ Σκορπίου* om AAld | *ἄκρας* AAld ‖ 8 *ὁ ἰσημερινὸς* om M | *ζώννης* A ‖ 9 *μέσωι* scripsi, cf Ar: *μέσος* AAld, *μέσως* M | supplevi ‖ 10 *καὶ ζώνη* om A, lemma totum om Ald *οὖν* post *σαφ.* addito | *τὰ* om Ald ‖ 11, 2 *περὶ χηλῶν* in margine Ald ‖ 12—14 *ἐπεὶ — μέγιστος* om AAld ‖ 15 lemma om AAld | *ἐπεὶ δὲ* Ald | *ἀ. ἐστὶν* AAld ‖ 16 *καὶ* ante *π.* A, ante *δυσκ.* Ald | *σημείων πολλῶν* AAld ‖ 16, 7 *τοῦτον* om M ‖ 18 *πλ. ὑποκάτω τῆς* AAld | *ανδρομέδης* Ald ‖ 19 *τὸ γὰρ* A ‖ 20 lemma om AAld | *τὸ δὲ Δ.* Ald ‖ 22 *τούτων δὲ* AAld ‖ 23 *σημεῖον* A, *τῶν σημεῖον* (sic) Ald | *τε* om Ald | *ζώννης* A | *ἀνδρομέδης* Ald ‖ 24 *διέστηκεν* Ald ‖ 24, 5 *ἀλλὰ — κείμενον* om AAld ‖ 25 *ὑπὲρ* Cat cf Ar v. 238: *ὑπὸ* libri ‖ 26 *ἀπ' αὐτοῦ* AAld ‖ 27 *τεθέντος* libri; *ὀν. Δ Ἑρμοῦ ἀναθέντος* coni Robert

φασὶ δὲ καὶ κατὰ τὴν τῆς Αἰγύπτου θέσιν εἶναι τὸ σχῆμα τοῦ ἐν τοῖς ἄστροις τριγώνου. ἔχει δὲ ἐφ' ἑκάστης γωνίας α'. ἔστι δὲ καὶ ἐν τῶι βορείωι ἡμισφαιρίωι.

236. ἢ δ' οὔτι τόση: τῶν γὰρ τεσσάρων ἀστέρων τοῦ Τριγώνου οἱ γ' ἐπὶ τῆς βάσεως αὐτοῦ. τούτων οὖν τῶν ἐν τῆι βάσει τοῦ Τριγώνου ἀστέρων οἱ ἐν τῶι Κριῶι νοτιώτεροι ὀλίγον εἰσίν· ὁμολογουμένως γὰρ ἐν τῶι βορείωι μέρει τὸ Τρίγωνον, ὁ δὲ Κριὸς αὐτοῦ νοτιώτερος. § φασὶ δέ, ὅτι κατὰ τὴν τῆς Αἰγύπτου θέσιν καὶ μίμημα ἐκ τοῦ δελτωτοῦ τριγώνου τοῦτο ἐν τοῖς ἄστροις ἐστίν· ἐμφερὴς γὰρ ἡ Αἴγυπτος τῶι δελτωτῶι σχήματι, ἡ Ἀλεξάνδρεια χλαμύδι στρατιωτικῆι, ἡ Ἰταλία κιττῶι, καὶ ἡ Νάξος φύλλωι ἀμπέλου. cf p. 380, 24 sqq.

236. ἢ δ' οὔτι τόση — μάλα δὲ — ἑτοίμη: λείπει. τῶν ἀστέρων ⟨οὐ⟩ λαμπρῶν ὄντων ἡ κάτω τοῦ Δελτωτοῦ γραμμὴ κατὰ τὸ μέγεθος τῶν λοιπῶν πλευρῶν ὅμως εὐκατάληπτός ἐστιν· περισσῶς γὰρ διὰ τῶν προκειμένων ἀστέρων ἐστὶν ἔκλαμπρος.

ἄλλως. τούτων τῶν ἐν ἐκείνηι τῆι γραμμῆι τοῦ Δελτωτοῦ ἀστέρων οἱ δύο τοῦ Κριοῦ νοτιώτεροί εἰσι (κατωτέρω γάρ), τὸ ⟨δὲ⟩ Δελτωτὸν ((βορειώ))τερον.

239. οἱ δ' ἄρ' ἔτι προτέρω: οἱ δὲ τοῦ Δελτωτοῦ ἀστέρες προτέρω· βορειότεροι γάρ εἰσιν.

ἔτι δ' ἐν προμολῆισι νότοιο: τοῦ Κριοῦ οἱ Ἰχθύες καὶ δυτικώτεροί καὶ νοτιώτεροί εἰσιν. δύο δὲ ἀκουστέον νοτιωτέρους κατὰ τὸ ἀληθές· ὁ γὰρ ἕτερος ἐν τῶι βορείωι καὶ τοῦ Κριοῦ βορειότερος καὶ ἐπιψαύει τοῦ ὤμου τῆς Ἀνδρομέδας. § τὸ δὲ ἀκούει (241): ὁ βόρειος Ἰχθὺς μᾶλλον τοῦ βορέου αἰσθάνεται. εἶπε δὲ εἶδος ἀντὶ γένους. § οὗτοι δέ εἰσιν οἱ τοῦ μεγάλου Ἰχθύος ἔκγονοι, περὶ οὗ ἐν τοῖς ἑξῆς ἐρεῖ (ad v. 386), οἵτινες Δέρκην τὴν Ἀφροδίτης θυγατέρα ἐμπεσοῦσαν εἰς θάλασσαν Cat p. 224 b

---

1 κατὰ τὸ σχῆμα AAld, om M ‖ 1, 2 εἶναι ἐκ τοῦ ἐν coni Robert ‖ 2 α' scripsi: δ' AM, ἀστέρας τέσσαρας Ald ‖ 3 καὶ om M ‖ 4—12 om AAld ‖ 8 καὶ M ‖ 13 ἢ δ' οὔτι τόσ(σ Ald)η pro lemmate AAld, μάλα δὲ ἑτοίμη M: coniunxi | λείπει M: λείπεται γὰρ AAld ‖ 14 τῶν — ὄντων om AAld | supplevi ‖ 15 κατὰ — ὅμως om M ‖ 16 διὰ om M ‖ 17 ἄλλως om et scholia coniunxit AAld ‖ 19 supplevi ‖ 20 lemma om et scholia coniunxit AAld ‖ 21 εἰσίν om AAld ‖ 22 lemma om A, προμολῆισι νότ. om Ald ‖ 23—26 δύο — ἀκούει om AAld ‖ 26 βόρεος A, βόρειος δὲ Ald | ἰχθῦς M | βορρᾶ Ald ‖ 26, 7 post αἰσθ. A ἀκουστέον γένος ἀντὶ τοῦ γ. A, τὸ δὲ ἀκούει τὸ αἰσθάνεσθαι σημαίνει. τὸ δὲ τοιοῦτον γένος ἀντὶ γένους εἴρηται. οὗτοι Ald ‖ 28 ὧν ἐν M ‖ 29 Δέρκην Ald, cf Avien 541: δερκὴν AM; Δερκετὼ coni Robert

ἔσωσαν. ὅθεν καὶ εἰς τιμὴν τῆς θεᾶς οἱ Σύροι ἰχθύων ἀπέχονται. τούτων δὲ ὁ μὲν βόρειος, ὁ δὲ νότιος. ἔχουσι δὲ Σύνδεσμον ⟨ἐν⟩ ἀλλήλοις ἕως τοῦ ἐμπροσθίου ποδὸς τοῦ Κριοῦ. § ἢ οὕτως: ἀλλὰ τῶν δύο τούτων ὁ εἷς καὶ προφερέστερος ἤτοι διαυγέστερος καὶ βορειότερος κατὰ τὴν θέσιν. διὸ καὶ πρότερον τοῦ βορέου κατιόντος αἰσθάνεται.

Cat p. 225 b εἰσὶ δὲ οἱ Ἰχθύες καὶ ἐν ἀμφοτέροις τοῖς ἡμισφαιρίοις καὶ ἔχουσι τοὺς ἅπαντας ἀστέρας μ΄.

240. ἀλλ᾽ αἰεὶ ἕτερος προφερέστερος —: ἀλλ᾽ ὁ ἕτερος αὐτῶν, ὃς ἐστιν ἐκτὸς τοῦ ζωιδιακοῦ κύκλου πλὴν μόνης οὐρᾶς (λέγει δὲ [διὰ] τὸν βόρειον Ἰχθύν, ὃς καὶ τῆς Ἀνδρομέδας ἐπιψαύει), τοῦ νοτιωτέρου ἐστὶ κρείσσων καὶ ἀμείνων, ὥστε τοῦ βορέου μᾶλλον πνέοντος αἰσθάνεσθαι, ὅσωι βορειότερός ἐστιν. τὸ δὲ προφερέστερος οὐχὶ τὸ πρότερος ἐλθεῖν ἐπὶ τὴν δύσιν, ὡς ὁ Ταῦρος προφερέστατος Ἡνιόχοιο (177), ἀλλὰ τὸ κρείττων, ὡς ὑπὸ λαμπροτέρων ἀστέρων διατυπούμενος. ὁ δὲ Ἵππαρχος (I c. 6 p. 58 M.) οὐχ ὡς πρὸς τὸ Δελτωτὸν ἀλλ᾽ ὡς πρὸς τὸν Κριὸν ἐν προμολῆισι νότοιο (239) λέγει τοὺς Ἰχθύας, ἵνα τὸν Ἄρατον εὐθύνηι. βέλτιον δὲ καὶ ἀνυπεύθυνον ἀκούειν ἐκείνως.

241. ⟨βορέαο⟩: ὅτι ἀπὸ τῶν ὑψηλῶν πρὸς τὰ κάτω πνεῖ.

242. ἀμφοτέρων δέ σφεων: ὁ νοῦς· ἀμφοτέρων δὲ ἐκ τῶν οὐραίων δεσμός τις ἀποτείνεται εἰκό⟨τω⟩ς, ἀλλήλων ὄντων ἐγγὺς καὶ ταῖς οὐραῖς μόνον οὐκ ἐπιψαυόντων· προείπομεν γάρ (p. 381, 25), ὅτι πρὸς τὸν ὦμον Ἀνδρομέδας Ἰχθὺς μόνην τὴν οὐρὰν ἔχων ἐπὶ τῶι ζωιδιακῶι κεῖται τοῦ ἑτέρου τοῦ ἀφορῶντος πρὸς τὸν Κριὸν ⟨τῆς⟩ οὐρᾶς ἐπιψαύων. τοῦτον τοίνυν τὸν βορειότερον Ἰχθὺν

---

1 καὶ om AAld | τῆς θεοῦ M | σύριοι MAld ‖ 2 δὲ primum om Ald ‖ 3—6 ἢ οὕτως — αἰσθάνεται om M ‖ 4 τίτων A ‖ 5 καὶ β. Ald: ὁ A ‖ 6,7 scholia coniunxit M ‖ 7 οἱ om AM | ἰχθύες καὶ om M ‖ 8 τεσσαράκοντα AAld ‖ 9 ἀλλ᾽ αἰεὶ Ald, lemma om A ‖ 10 ἐκτὸς Ald: ἐκ AM ‖ 10,1 πλὴν μ. οὐρᾶς om AAld ‖ 11 λέγει — Ἰχθύν om M ‖ 11,2 ἀνδρομέδης Ald ‖ 12 τοῦ om A ‖ 16 κρεῖττον AAld ‖ 17,8 ἀλλὰ πρὸς A ‖ 18 προβολῆσι AAld | λέγοντα τοὺς M ‖ 19 ἵνα AAld: εἶναι M | εὐθύνη AAld: -ει M ‖ 20 ἐκεῖνος A ‖ 22 σφέων om AAld | ἐκ om M ‖ 24 ταῖς οὐραῖς AAld: τῆς οὐρᾶς M | μόνον οὐκ Ald: οὐ μόνον A, μόνον M | post ἐπιψ. AAld ἔστι δὲ πρὸς τὸν ἀριστερὸν ὦμον τῆς Ἀνδρομέδας (-ης Ald) Ἰχθὺς ἕτερος βορειότερος· νοτίων γὰρ ὄντων τῶν δύο τούτων Ἰχθύων οὗτος βορειότερός (ὁ βορ. Ald) ἐστι (πρὸς τὴν Ἀνδρομέδην add Ald). τοῦτον τοίνυν ‖ 25 ἰχθῦς M ‖ 27 οὐραίας ἐπιψαύει libri, cf p. 385, 23 | ἰχθῦν M

χελιδόνος ἔχειν τὴν κεφαλήν φασιν, ὃν Χαλδαῖοι καλοῦσι χελιδονίαν ἰχθύν. τὸ μέντοι σῶμα πλὴν τῆς κεφαλῆς.

244. *καὶ τὰ μὲν εἰς ἀστὴρ ἐπέχει: τὰ μὲν δεσμὰ εἰς ἀστὴρ ἐπέχει. § τὸ δὲ εἰς ἓν ἰόντων* (243) *εἰς συναφὴν παραγινομένων τῶν οὐρῶν.*

καὶ τὰ μὲν εἰς ἀστὴρ ἐπέχει: εἰς ἀστήρ ἐστιν ἐν μέσωι τῶν οὐραίων, ὅστις ὥσπερ συνδεῖ ἀμφοτέρους, ὃν καλοῦσιν Οὐραῖον δεσμόν.

245. *ὑπούραιον: εἰ δὲ β' μέρη λόγου, ὑπ' οὐραῖον.*

247. ⟨*σῆμα βορειοτέρου*⟩: *σημεῖόν σοι γίνεται τοῦ βορειοτέρου Ἰχθύος.*

248. *ἀμφότεροι δὲ πόδες: σφόδρα θαυμάσαι ἔστιν αὐτόν, πῶς εὐαφόρμως προφάσεις ἑαυτῶι δίδωσιν· ἐπειδὴ γὰρ ὑπολείπεται αὐτῶι εἰς τὸ κατὰ Κηφέα ὁ Περσεύς, ἐπὶ τὸν Κριὸν καὶ τὸν Ἵππον καὶ τοὺς Ἰχθῦς ἐξώκειλε τέως* (205—247). *ἁψάμενος* ⟨*δὲ*⟩ *διὰ τῶν Ἰχθύων τῆς Ἀνδρομέδας ἑτέραν πάλιν δίδωσιν ἀφορμήν. ὥστε τοῦ βορειοτέρου Ἰχθύος τεκμήριον γινέσθω ὁ ἀριστερὸς ὦμος τῆς Ἀνδρομέδας,* ⟨*οἱ δὲ πόδες*⟩ *συνάπτουσι τοῖς ὤμοις τοῦ Περσέως καὶ παρέχουσιν αὐτὸν εὐσημείωτον.*

ἄλλως. τὸν ὑποκείμενον ὑπὸ τοὺς πόδας αὐτῆς Περσέα διηγεῖσθαι βούλεται. § γαμβροῦ δὲ τοῦ νυμφίου κατὰ Αἰολέας. ἑλληνισμὸς δὲ τὸ σχῆμα ἀντὶ τοῦ 'γαμβρὸν οἱ πόδες αὐτῆς σημαίνοιεν τὸν Περσέα'· ἀεὶ γὰρ ὑπὲρ τῶν ὤμων αὐτοῦ φέρονται· τὸ γὰρ ἐπωμάδιοι κατὰ τῶν ὤμων τοῦ Περσέως.

ὁ ἀριστερὸς ὦμος τῆς Ἀνδρομέδας λαμπρός ἐστιν, ἐξ οὗ

1,2 *ἰ. χ.* Ald ‖ 2 *τὸ — κεφ.* om Ald ‖ 3—5 om AAld ‖ 6 lemma om M, *ἀ. ἐπ.* om Ald | *ἐν τῶι μ.* Ald ‖ 7 *οὐρῶν* M ‖ 12 *σφόδρα* om A ‖ 13 *ἀφόρμως* Ald ‖ 14 *τὰ* Ald | *μετὰ τὸν* AAld ‖ 15 *ἐξῆς* ante *καὶ* alt M ‖ 15—20 *Ἰ. ἀνέτρεψεν εἰς τὴν Ἀνδρομάχην* (*-έδην* Ald) *καὶ ἀπὸ ταύτης τὰ περὶ Περσέως διδάσκει, ἐπὶ τῶν ποδῶν δὲ τῆς Ἀνδρομέδας* (*-ης* Ald) *συνάψας τοὺς ὤμους τοῦ Περσέως διὰ τούτων εὐσύνοπτον αὐτὸν τίθησιν* AAld ‖ 18 supplevi ex Ar v. 248 ‖ 21,2 (*ἄλλως — βουλ.*) om Ald ‖ 22 *γαμβρῶ* A, *-ὸν* Ald | *ἀντὶ τοῦ τὸν νυμφίον* A, *τὸν νυμφίον* Ald ‖ 23,4 *ἀντὶ τοῦ οἱ πόδες αὐτοῦ* (*-ῆς* Ald) *τὸν γαμβρὸν ἐπισημέ(αί* Ald)*νοιεν τὸν* AAld ‖ 24 *ἐπὶ* AAld | *τὸν ὦμον* A | *ἀεὶ δὲ οἱ πόδες ἐπὶ τῶν ὤμων αὐτοῦ φ.* Ald ‖ 25 *γὰρ* AAld: *δὲ* M | *κατωμάδιοι* A | *κατὰ τὸν ὦμον* A, *ἐπὶ τὸν ὦμον* Ald | *δηλοῖ* post *Π.* AAld ‖ 26 scholia coniunxit M ‖ 26—384,4 *ἰστέον δέ, ὅτι ἀριστερὸς ὦμος τῆς Ἀνδρομέδης λαμπρός ἐστιν, ἐξ οὗ — Ἰχθύν. ἀλλ' ὅμως ἐν τῆι σχεδογραφίαι ὁ δεξιὸς αὐτῆς πλησιάζει τῶι Ἰχθύι, καίπερ ἐν τῆι οὐρανοθεσίαι ὁ ἀρ. — ὁρῶμεν. ἡμεῖς δὲ τὸ ἀνάπαλιν τὰ νῶτα πρὸς τὴν σφαῖραν γράφομεν· οὐ* Ald

διδάσκει τὸν ἀμυδρὸν Ἰχθύν. ὁ δὲ ἀριστερὸς ὦμος τῆς Ἀνδρομέδας πλησιάζει τῶι Ἰχθύι ἐν τῆι σφαιρογραφίαι, ὁ δὲ δεξιὸς ⟨ἐν⟩ τῆι οὐρανοθεσίαι· ἐμπέπτηγε γὰρ ἐπ' ὄψιν τῶι οὐρανῶι τὰ ζώιδια, καὶ τὰ νῶτα αὐτῶν ἡμεῖς ὁρῶμεν· οὐ γὰρ δυνατὸν ((αὐ))τὰ ἐν τῆι σφαίραι γραφῆναι οὕτως, ὡς ὁρῶμεν (cf ad v. 251).

250. αὐτὰρ ὅ γ' ἐν βορέω φέρεται: ὃ δὲ ἐν τῶι βορείωι ἐστὶ κύκλωι τῶν ἄλλων μᾶλλον, μείζων κατὰ φαντασίαν τῆς τε Κασσιεπείας καὶ αὐτοῦ τοῦ Κηφέως.

ἄλλως. ἀμφότεροι δὲ οἱ πόδες, οἵ ῥά οἱ αἰὲν ἑπωμάδιοι [Περσέως] φορέονται, γαμβροῦ τοῦ Περσέως τὸ εἴδωλον διασημαινέτωσάν σοι.

περιμήκετος ἄλλων: περὶ Ἀνδρομέδας εἰπὼν μετῆλθεν ἐπὶ τὸν Περσέα, τοὺς πόδας αὐτῆς λέγων ἐπὶ τοῖς ὤμοις τοῦ Περσέως κεῖσθαι. γαμβρὸν δὲ Αἰολικῶς τὸν ἄνδρα. Σαπφὼ (fr 103 B.) 'χαῖρε, νύμφα, χαιρέτω δ' ὁ γαμβρός'. φέρεται δὲ οὕτως ἐν τῶι βορείωι ἡμισφαιρίωι.

ἄλλως. τῶν ἄλλων μᾶλλον, μείζων κατὰ φαντασίαν τῶν ἐκ τοῦ αὐτοῦ γένους ἢ τῶν προειρημένων, οἷον Δελτωτοῦ Κριοῦ Ἀνδρομέδας Ἰχθύων Κασσιεπείας καὶ αὐτοῦ τοῦ Κηφέως.

251. καί οἱ δεξιτερὴ μέν: πάλιν ἐν οὐρανῶι ἡ τοῦ Περσέως δεξιὰ πρὸς τὴν τῆς Κασσιεπείας καθέδραν ἐκτέταται, ἐπειδὴ ἔνδον ὁρῶσι τὰ ζώιδια πρὸς τὸν οὐρανόν. ἡμεῖς δὲ τὰ νῶτα ὁρῶμεν ἐν ταῖς σφαίραις, ἐκεῖνα δὲ οὐκέτι οὕτως, ἀλλὰ τὰ νῶτα πρὸς τὴν σφαῖραν ἔχουσι πρὸς τὸ ὁρᾶσθαι τὴν ὄψιν. διό, ἐὰν λέγηι δεξιὰν χεῖρα ἢ ἀριστερὰν καὶ εὕρωμεν τὸ ἀνάπαλιν ἐν τῆι σφαίραι, μὴ ξενιζώμεθα· ἔνδον γὰρ ὤφειλε τὰ ζώιδια ὡς πρὸς τὴν σφαῖραν ἔχειν τὴν ὄψιν, ὡς καὶ ἐν οὐρανῶι,

---

1 τὸν βόρειον *I.* AAld | ἰχθῦν M | scripsi: ὁ δὲ δεξιὸς ὦμος, φησίν, τῆς A, τῶι δεξιῶι δὲ τῆι M ‖ 2 σφαιρογραφία M: σχεδογραφία AAld | τῶι δεξιῶι δὲ AM: correxi | supplevi ‖ 3 γουνοθεσία A ‖ 4 ((αὐ))τὰ scripsi: ... τὸν M, om AAld ‖ 5 σφ. γρ. οὕτως· οὐ γὰρ ἂν ἑωρῶμεν AS, σφ. οὕτως ὥσπερ ἐν οὐρανῶι γραφῆναι· οὐ γὰρ ἂν αὐτὰ ἑωρῶμεν Ald ‖ 6 φέρεται om Ald ‖ 7 τὴν φαντ. Ald ‖ 9–19 om AAld ‖ 10 seclusi ‖ 12 εἰπὼν scripsi: εἶπεν M ‖ 15 χαίροις ἀ νύμφα Hephaestionis codd (p. 14, 22 W.); χαίροισθα coni Neue, χαίροισα Bergk Westphal al ‖ 20 lemma om AAld ‖ 22—25 ἐν δὲ τῆι σχεδογραφίαι ἡ ἀριστερὰ διὰ τὴν εἰρημένην αἰτίαν· δεῖ γὰρ ἡμᾶς ὁρᾶν τὴν ὄψιν τοῦ ζωδίου. διὸ Ald ‖ 23 ὁρῶ M, ὁρᾶι A ‖ 24 νῶτα πρὸς τὴν σφαῖραν ἔχο (vel ἔχου) πρὸς τὸ ὁρᾶσθαι τὴν ὄψιν A ‖ 25, 6 ἀνάπαλιν αὐτῆς σφαῖρα A, ἀν. ἐπὶ τῆς σφαίρας Ald ‖ 26 ξενιζόμεθα A ‖ 27 καὶ om AAld

ἀλλ' ἐκτὸς γράφεται πρὸς τὸ καὶ ἡμᾶς ἀκριβῶς γνῶναι (cf ad v. 250). § *κατηστέριστο δὲ ὁ Περσεὺς ἐν τῶι οὐρανῶι ἀκριβῶς* Cat p. 226 b sq. *διὰ τὴν δόξαν, ὅτι ἐπὶ τὰς Γοργόνας σταλεὶς ὑπὸ τοῦ Πολυδέκτου τὸν ἆθλον κατώρθωσε λαβὼν παρ' Ἡφαίστου ἅρπην καὶ παρ' Ἑρμοῦ πέδιλα. θεωρεῖται δὲ ἐν τοῖς ἄστροις τὴν Γοργόνος κατέχων κεφαλήν.*

252. *τὰ δ' ἐν ποσὶν οἷα: τὰ δὲ ἐν τοῖς ποσὶν ἴχνη καὶ τὰς τῶν ποδῶν βάσεις ὥσπερ διώκων καὶ ἐπαίρων προσδρομὴν μηκύνει καὶ ἐκτείνει. ἔστι δὲ κατανοήσαντα ἰδεῖν ὡς ἀληθῶς ἐπὶ δρόμον σπεύδοντα αὐτόν. τὸ δὲ κεκονιμένος* (253) *διὰ τὴν ὑπόνοιαν τὴν προειρημένην τῆς σπουδῆς τοῦ δρόμου.*

253. *κεκονιμένος ἐν Διὶ πατρί: ἡ ἱστορία δίδωσιν αὐτῶι τὸν δρόμον μετὰ τὸν Ἡσίοδον* (Scut 228 sqq.), *ὅτε ὑπὸ τῶν ἄλλων Γοργόνων διὰ τὴν Μέδουσαν ἐδιώκετο.*

ἄλλως. κεκονιμένος: ἤτοι κόνιν ἐκ τῆς σποδοῦ ἐγείρων. καὶ Ὅμηρος (Il XIII 820) *'κονίοντες πεδίοιο' κονιόμενοι· καὶ γὰρ νεφελοειδεῖς εἰσι περὶ τοὺς πόδας αὐτοῦ συστροφαὶ καὶ κονιορτώδεις ἅτε τοῦ γαλαξίου κύκλου γειτνιῶντος. § τὸ ἐν Διὶ δὲ ἐν τῶι οὐρανῶι.*

254. *ἄγχι δέ οἱ σκαιῆς: τὸ ἀριστερὸν τοῦ Περσέως γόνυ ὀλίγον ἀνωτέρω ὀφείλει εἶναι τοῦ Ταυρείου διχοτομήματος, ὅπου καὶ τὰς Πλειάδας εἶναι ἐλέγομεν* (p. 370, 13), *ἐπὶ τὴν ἰξὺν βότρυος δίκην προσανακεκλιμένας [τῆι τοῦ Ταύρου ἰξύι], οὐρᾶς τρόπον ἀποπληρούσας. § τὸ δὲ ἤλιθα ἀντὶ τοῦ ἅμα καὶ κατὰ τὸ αὐτό· ἐπάγει γάρ, ὅτι οὐ πολύς ἐστι τόπος, ὃς ἐπέχει αὐτάς, ἀλλ' ὀλίγος· σφόδρα γὰρ πλησίον ἀλλήλων καὶ οὐ διεστῶσαί εἰσιν.*

---

1 ἔξω Ald | προσιτὸν καὶ A | αὐτὰ ἀκριβῶς ὁρᾶν Ald ‖ 2 κατηστέριστο ς: κατεστήρικται AAld, -ο M | ἐν τῶι οὐρ. om M | ἀκριβῶς om A Ald ‖ 3, 4 ἐπὶ Πολ. A | πολυδεύκους Ald ‖ 7 lemma om AAld | καὶ om A, ἤγουν pro καὶ Ald ‖ 8, 9 post βάσεις AAld πλατύνων (-ει Ald) διὰ τὴν προειρημένην τῆς σπονδοῦ (σποδοῦ Ald) αἰτίαν, ὅτι (ὅτε Ald) τὰς γοργόνας ἐδίωκε ‖ 8 πρὸς δρομὴν M ‖ 9—14 (ἔ. — δρ.) om Ald ‖ 10 κεκινημένος M ‖ 13 ὅτε scripsi: ὅτι M ‖ 15 ἄλλως om Ald | οὖν ἤγουν κ. Ald | σπονδοῦ A ‖ 16 κονίην πεδ. Ald | κονιώμενοι A ‖ 16, 7 πεδ. ἢ ὅτι κεκονιμέναι καὶ νεφελώδεις Ald ‖ 18, 9 τὸ δὲ ἐν Διὶ (τῶι add Ald) οὐρανῶι AAld ‖ 20 lemma om AAld | scholia coniunxit A, inserto δὲ Ald ‖ 21 βορείου AAld ‖ 22 sqq. περὶ Πλειάδων in margine M ‖ 22 λέγομεν AAld | ἐπὶ τὴν ἰξὺν om Ald ‖ 23 οὐρᾶς scripsi: οὐραίας M ‖ 23, 4 τῆι — ἀποπλ. om AAld ‖ 25 ἐπάγει γὰρ ὅτι om AAld | οὐ γὰρ Ald ‖ 26 καὶ om AAld | οὐ AAld: οἱ M

254, 5. *ἤλιθα πᾶσαι Πληϊάδες: τὸ μὲν ἤλιθα ἀθρόως παρὰ τὸ ἅλις, ἔνθεν καὶ ἁλίαν οἱ Δωριεῖς τὴν ἐκκλησίαν καλοῦσιν.*

φασὶν οἱ μῦθοι περὶ τῶν Πλειάδων, ὅτι ἀπὸ τοῦ Ἄτλαντος ἐγεννήθησαν καὶ Πλειόνης τῆς τοῦ Ὠκεανοῦ θυγατρός. ὁ δὲ Ἄτλας, μεθ' οὗ καὶ ὁ Προμηθεὺς καὶ ὁ Ἐπιμηθεύς, ἐγεννήθη ἐκ τοῦ Οὐρανοῦ καὶ Κλυμένης τῆς τοῦ Ὠκεανοῦ θυγατρός. γενηθεῖσαι δὲ οὕτως ἀπὸ τοῦ Ἄτλαντος καὶ τῆς Πλειόνης ἑδιώκοντο πέντε ὅλους ἐνιαυτοὺς κατὰ Βοιωτίαν ὑπὸ τοῦ Ὡρίωνος μετὰ καὶ τῆς μητρὸς αὐτοῦ, συγγενέσθαι ζητοῦντος αὐταῖς. καὶ τοῖς θεοῖς εὐξάμεναι εἰς π⟨ε⟩λειάδας ἠμείφθησαν. εἶτα οἰκτείρας αὐτὰς ὁ Ζεὺς τῆς κακοπαθείας ἐν τῶι οὐρανῶι κατηστέρισεν.

ἐκ τούτου δὴ τοῦ Ἄτλαντός φασιν οἱ μῦθοι καὶ τὰς Ὑάδας γενέσθαι καὶ υἱὸν Ὕαντα. ὃν ἐν Λιβύηι θηρῶντα ἐπειδὴ ὄφις ἀνεῖλεν, αἱ ἀδελφαὶ τῶι θρήνωι νικηθεῖσαι ἀπώλοντο. Ζεὺς δὲ ἀστέρας αὐτὰς πεποίηκε, τὰς καλουμένας Ὑάδας. ὧν τὰ ὀνόματα Ἡσίοδος ἐν τῆι Ἀστρικῆι αὐτοῦ βίβλωι διδάσκει λέγων (fr 14)·

Φαισύλη ἠδὲ Κορωνὶς ἐυστέφανός τε Κλέεια
Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος.

ἀλλὰ ταῦτα μὲν τὰ μυθικά. ἀλληγορικῶς δὲ Ἄτλαντα νόησον τὸν ὁρίζοντα καὶ Πλειόνην τὸν Ὠκεανόν. ἐκ τούτων γενέσθαι δοκοῦσι καὶ αἱ Πλειάδες καὶ αἱ Ὑάδες καὶ τὰ λοιπὰ τῶν ἄστρων, ὅτι ἐξ αὐτῶν ἀνερχόμεναι φαίνονται. καλοῦνται δὲ αἱ Πλειάδες τῶι ὀνόματι τούτωι ἀπὸ Πλειόνης τῆς ἑαυτῶν μητρός, ἢ ἀπὸ τοῦ π⟨ε⟩λειάδας γενέσθαι, φευγούσας τὸν Ὡρίωνα, ἢ ἀπὸ τοῦ εἰς πολλὰ χρησιμεύειν (σημάντριαι γὰρ καὶ θέρους καὶ σπόρου), ἢ ὅτι πλησίον ἀλλήλων κεῖνται παρὰ τὸ λαιὸν γόνυ τοῦ Περσέως, ἢ ὅτι χρήσιμοί εἰσι τοῖς πλέουσιν.

ἰστέον, ὡς ἡ ἑώια ἀνατολὴ τῶν Πλειάδων γίνεται ἀπὸ Μαΐου ἕως κγ' τοῦ Ἰουνίου, ἡ δὲ ἑσπερία ἀνατολὴ ἀπὸ Ὀκτωβρίου μέχρι Δεκεμβρίου ιϑ'.

---

1 πλειάδες A | lemma om Ald ‖ 1, 2 ἢ ἤλιθα ἤγουν ἀθρ. ἔστι δὲ παρὰ Ald ‖ 2 ὅθεν AAld ‖ 4—31 schol om M, cf p. 370, 8 ‖ 4 φασὶ δὲ Ald | τοῦ om Ald ‖ 5 θυγατέρος A | post θυγ. γεννηθεῖσαι δὲ οὕτως ἀπὸ τοῦ Ἄτλαντος καὶ Πλειόνης (quae iterum l. 7, 8) ὁ δὲ A ‖ 6 ἐγεννήθησαν Ald ‖ 9 κατὰ Ald: καὶ A ‖ 10 αὐτὰς Ald ‖ 11 εἰς scripsi: πρὸς AAld | πελειάδας Ald ‖ 12 κατεστέρησεν A ‖ 16, 7 ὧν καὶ Ἡ. ἐν τῆι Ἀστρ. αὐτοῦ τὰ ὀν. διδ. β. λ. Ald ‖ 18 φασύλη A ‖ 19 ἱμερόεντα A ‖ 20 δὲ om A ‖ 23 αὐτοῦ A | ἀνερχόμενα Ald | φαίνεται Ald ‖ 24 αὐτῶν Ald ‖ 25 πελειάδας Ald ‖ 26 σημαντικαὶ Ald ‖ 28 ἢ om A ‖ 29 δὲ post ἰστ. Ald ‖ 31 θ' A

Ἄτλαντος δὲ καὶ Πλειόνης γενεαλογοῦνται Πλειάδες. παρ' ὃ καὶ λέγονται, ⟨ἢ⟩ ἐπεὶ πλείοσίν εἰσι χρειώδεις, τοῖς τε πλέουσι καὶ γεωργοῦσιν, ἢ ὅτι εἰς πελειὰς μετεμορφώθησαν τὸν Ὡρίωνα φεύγουσαι, ἢ ἀπὸ τοῦ πολεῖν ἐκ περιόδου καὶ συμπληροῦν τὸν ἐνιαυτόν· ἀπὸ τούτων γὰρ κατ' ἐξοχὴν πλειὼν ἐκλήθη ὁ ἐνιαυτός. § ὁμοῦ μὲν ὁρώμεναι λαμπραί, καθ' ἑκάστην δὲ ἀμυδραί. καὶ ἔχουσι σχῆμα τριγωνον, οὗ ἡ βάσις ἐπ' ἀνατολὴν τέτραπται. Νίκανδρος μὲν οὖν (Ther v. 122, 3) ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου τίθησιν αὐτὰς 'αἳ θ' ὑπὸ Ταύρου ὀλκαίην ψαίρουσαι ὀλίζωνες φορέονται', Ἵππαρχος δὲ (II c. 6 p. 206, 2 M.) ἐπὶ ⟨τοῦ μετώπου⟩ τοῦ Ταύρου (καὶ γὰρ αὐτὸς ἡμίτομον τὸν Ταῦρον ποιεῖ), φησὶ δὲ (I c. 6 p. 60, 20 sqq.) τῶι μὲν ποδὶ τοῦ Περσέως μᾶλλον αὐτὰς πλησιάζειν, πόρρω δὲ τὴν κνήμην εἶναι τοῦ ἀριστεροῦ γόνατος. πρὸς ὃ Διόδωρος μὲν ὑπογουνίδος γράφει (Aratea p. 70), ὅπως ἡ κνήμη σημαίνοιτο, Μηνόφαντος δὲ (ib) ἐπιγουνίδα τὴν κνήμην ἀκούει διὰ τὸ εἶναι ἐπ' αὐτῆς τὸ γόνυ. δύναιτο δ' ἂν καὶ ἀπὸ μέρους ὅλον τὸ σκέλος ἀκούεσθαι. παρ' Ὁμήρωι δὲ (Od XVII 225) ἐπιγουνὶς τὸ ἄνω τοῦ γόνατος, ὡς Ἀρίσταρχος, ὡς δὲ Κράτης (p. 54 W.), ἐπωμίς, ὡς δὲ Χάρης, ἡ ἐφ' ὅλου τοῦ σώματος εὐσαρκία. § οὐκ ἐπὶ πολὺ δὲ αὐτὰς χωρίον ἐπέχειν φησίν, ἐπειδὴ κατὰ μὲν μῆκος μίαν μοῖραν ἐπέχουσι, κατὰ δὲ πλάτος ἥμισυ καὶ ὄγδοον. ἑώιαν δὲ ἐπιτολὴν ποιοῦνται μεθ' ἡμέρας νβ' τῆς ἐαρινῆς ἰσημερίας, ⟨ὅτε⟩ καὶ ὁ ἥλιός ἐστι μοιρῶν ιζ' ἐν Ταύρωι. δύνουσι δὲ μεθ' ἡμέρας νβ' τῆς φθινοπωρινῆς ἰσημερίας ἡλίου ὄντος ἐν Τοξότηι μοιρῶν ιϑ'. § φασὶ δέ, ὅτι μία τῶν Πλειάδων ἐκεραυνώθη. διὸ οὐ φαίνεται. Cat p. 230. 229 Cat p. 229

256. ⟨ἀφαυραί⟩: ἀμαυρόταται γάρ εἰσι κατὰ τὸ φῶς,

1, 2 πλειάδες post λέγονται A | 2 supplevi ‖ 3 ἢ ὅτι χρειώδους τοῖς περιπλέουσιν καὶ τοῖς γεωργοῦσιν A ‖ 1—4 om Ald quae sic καλοῖντο δ' ἄν ἔτι Πλειάδες καὶ ἀπὸ τοῦ πολεῖν κτλ. Ald ‖ 6 μὲν οὖν Ald | ἕκαστα Ald ‖ 9 ἀλκαίην codd nonnulli Nicandrei | ψαίρουσαι Nic: ψαίρουσιν AMAld | ὀλόζονες A, ὀλίζονες M ‖ 10 ὁ Ἵ. δὲ Ald | supplevi, ⟨τοῦ διχοτομήματος⟩ olim e schol Il XVIII 486, quod inferius editum est p. 388, 3 sqq., et Cat (cf Anal Eratosth p. 52) ‖ 11 ποιεῖ om AAld ‖ 11, 2 φασίν. ἀλλὰ τῶι μὲν π. Ald ‖ 13 τὴν κνήμην om M ‖ 14 ἐπιγουνίδα A ‖ 15 ὅπερ ἡ κν. σῆμα γένοιτο Ald | μονόφαντος AAld ‖ 15, 6 ἐπιγουνίδας Ald ‖ 16, 7 δ. οὖν ἀπὸ A, δ. δ' ἂν ἀπὸ Ald ‖ 18 ἐπίγουνος A ‖ 20 οὐ πολὺ δὲ Ald ‖ 23 ἐφ' ἡμ. Ald | πεντήκοντα δύο A Ald ‖ 24 T. καὶ τὴν ἑσπερίαν δὲ ἐφ' ἡμ. τοσαύτας τῆς φθ. Ald | δύνουσι δὲ om A | καθ' A | πεντήκοτα δύο A ‖ 25 μοιρῶν ιϑ' om AAld ‖ 26 καὶ διὰ τοῦτο οὐ φ. AAld

ἀλλ', ἐπειδὴ ἅμα εἰσί, διὰ τοῦτο γνώριμοι ἐκ τῆς συνόδου καθεστήκασιν.

(SCHOL AD IL XVIII 486 Πληϊάδας: ζ' ἀστέρες εἰσὶ κείμενοι ἐπὶ τῇι οὐρᾶι τοῦ Ταύρου, μᾶλλον δὲ ἐπὶ τοῦ διχοτομήματος αὐτοῦ· ὁ γὰρ Ταῦρος σῶιος οὐκ ἀνηστέρισται, ἀλλ' ἕως τῶν ἰσχίων. αὗται δέ εἰσιν Ἄτλαντος καὶ Πληϊόνης θυγατέρες. ὧν τὰ ὀνόματα Μαῖα Ταϋγέτη Κελαινὼ Μερόπη Ἠλέκτρα Στερόπη Ἀλκυόνη. Ἄτλας δὲ εἷς τῶν Γιγάντων μιγεὶς Πληϊόνηι τῆι Ὠκεανοῦ ἔσχε θυγατέρας ζ', αἳ τὴν παρθενείαν ἀγαπήσασαι συνεκυνήγουν τῆι Ἀρτέμιδι. θεασάμενος δὲ Ὠρίων ἠράσθη καὶ ἐδίωκεν αὐτὰς μιγῆναι βουλόμενος. αἱ δὲ περικατάληπτοι γενόμεναι θεοῖς ηὔξαντο μεταβαλεῖν τὴν φύσιν. Ζεὺς δὲ ἐλεήσας αὐτὰς πελειάδας ἐποίησε καὶ διὰ τῶν ἄστρων κατεστήριξεν. ὠνομάσθησαν δὲ Πληϊάδες ἀπὸ Πληϊόνης τῆς μητρὸς αὐτῶν.

φασὶ δὲ Ἠλέκτραν οὐ βουλομένην τὴν Ἰλίου πόρθησιν θεάσασθαι διὰ τὸ κτίσμα εἶναι τῶν ἀπογόνων καταλιπεῖν τὸν τόπον, οὗ κατηστέριστο. διόπερ οὖσας πρότερον ζ' γενέσθαι ς'. [ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς.] Cf ad p. 391, 9.

Ὑάδας: τοὺς ἐπὶ τῶν κεράτων τοῦ Ταύρου ζ' ἀστέρας κειμένους. καλοῦνται δὲ Ὑάδες ἤτοι διὰ τὴν πρὸς τὸ Υ στοιχεῖον ὁμοιότητα, ἢ ἐπειδὴ αἴτιαι ὄμβρων καὶ ὑετῶν καθίστανται. Cf p. 369, 18. 390, 5.

3—p. 390, 28 scholia Homerica ex Arateis orta huc inserui, et D quidem sumpsi ex 'Homeri interprete' (Argentorati, per Vuendelinum Rihelium, a. 1539) p. 477, ex Eu(stathio Stallbaumii) pauca enotavi, Etymologica (s. v. *Πλειάς* et *Ὑάδες*) omittere placuit.

3, 4 schol Nicandr Ther 123 *ὁλκαίην ψαίρουσαι* —: *αἵτινες ὑπὸ τὴν οὐρὰν τοῦ Ταύρου ἐγγίζουσαι καὶ ἁπτόμεναι. ἢ ψαίρουσαι ἀντὶ τοῦ κινούμεναι.* § *μικρόταται ἐπιφέρονται. λέγει δ' ἐν ταῖς ἐπιτολαῖς τῶν Πλειάδων. τότε οὖν (φησὶν) ἔκφυγε τὸ δῆγμα. ὁλκαίην δέ: τὴν οὐρὰν λέγει, παρὰ τὸ ἕλκεσθαι ὑπὸ τοῦ ὅλου σώματος. γράφεται καὶ ἀλκαίην καταχρηστικῶς· κυρίως γὰρ ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία καλεῖται, ὅτι δι' αὐτῆς ἑαυτὸν ἐποτρύνει καὶ ἐγείρει εἰς ἀλκήν. 'ἐὲ δ'* (*αἰεὶ δ'* codd) *αὐτὸν ἐποτρύνει μαχέσασθαι'* (Il XX 171). *Ἄρατος μὲν ἡμιτελῆ φησιν* (517) *εἶναι τὸν Ταῦρον, οὗτος δὲ ὁλόκληρον· ὁλκὴ γὰρ ἡ οὐρά.* cf schol Pind Nem II 16 ‖ 4 *ἐπὶ τὴν πλευρὰν* D ‖ 4—5 *μᾶλλον — αὐτοῦ* om D ‖ 4 *χοτομήματος* A ‖ 5 *ἀνιστόρηται* D ‖ 7 *Κελαίνη* Bekker ‖ 11 *αὐτὰς* om A ‖ 12 *γιγνόμεναι* D ‖ 13 *πελ. ἐποίησε* om A ‖ 13, 4 corr Robert (p. 42): *διὰ τῶν ἄρκτων κατηστέρισεν* A, *δι' αὐτῶν ἄστρον κατηστέρισεν* D ‖ 14 *ἀπὸ* om A ‖ 16 *οὐ* om A ‖ 17 *διὰ* om D | *εἶναι* om D ‖ 18 *ἔνθα* D | *πρότερον* om A ‖ 19 seclusi subscriptionem ‖ 20, 1 *οἱ — ἀστέρες κείμενοι* A ‖ 22 *αἴτιοι* Bekker

Ζεὺς ἐκ τοῦ μηροῦ γεννηθέντα Διόνυσον ταῖς Δωδωνίσι νύμφαις τρέφειν ἔδωκεν Ἀμβροσίαι Κορωνίδι Εὐδώρῃ Διώνῃι ⟨Φ⟩αισύλῃι Πολυξοῖ. αὗται θρέψασαι τὸν Διόνυσον περιήεσαν σὺν αὐτῶι τὴν εὑρεθεῖσαν ἄμπελον ὑπὸ τοῦ θεοῦ τοῖς ἀνθρώποις χαριζόμεναι. Λυκοῦργος δὲ μέχρι τῆς θαλάσσης συνεδίωξε τὸν Διόνυσον. ἐκείνας δὲ ὁ Ζεὺς ἐλεήσας κατεστέρισεν. [*ἡ ἱστορία παρὰ Φερεκύδει.*]

Πληϊάδας Ὑάδας τε: τὰς μὲν κατηστερισμένας ἐν τῶι μετώπωι τοῦ Ταύρου Ὑάδας φασὶν εἰρῆσθαι, τὰς δὲ ἐπὶ τῆς ἡμιτόμου πλευρᾶς Πληϊάδας καλεῖσθαι· Ἄτλαντι γὰρ ⟨τῶι⟩ τοῦ Ἰαπετοῦ καὶ Αἴθραι τῆι Ὠκεανοῦ, καθά φησι Τίμαιος (fr 25 M.), *θυγατέρες δώδεκα καὶ υἱὸς Ὑας. τοῦτον ἐν Λιβύηι κυνηγοῦντα ὄφις κτείνει. καὶ αἱ μὲν ε′ τὸν ἀδελφὸν θρηνοῦσαι ἀπόλλυνται, τὰς δὲ λοιπὰς δι' οἶκτον καταστερίσας Ζεὺς Ὑάδας ἐπωνόμασεν ἐπωνύμως τοῦ ἀδελφοῦ. αἱ δὲ ζ′ βραδέως μὲν πλείους δὲ ἀποθανοῦσαι Πληϊάδες εἴρηνται. Φερεκύδης δὲ* [*καθὰ εἴρηται* l. 7] *τὰς Ὑάδας Δωδωνίδας νύμφας φησὶν εἶναι καὶ Διονύσου τροφούς, ἃς παρακαταθέσθαι τὸν Διόνυσον Ἰνοῖ διὰ τὸν Ἥρας φόβον, καθ' ὃν καιρὸν αὐτὰς καὶ Λυκοῦργος ἐδίωξεν. τῶν δὲ Πληϊάδων οὐσῶν ἑπτὰ πάνυ ἀμαυρὸς ὁ ἕβδομος ἀστήρ ἐστιν, ὡς μὲν Ἄρατος ἐν τῶι Πρὸς Θεόπροπον ἐπικηδείωι* (Aratea p. 233; cf ad p. 391, 9) *φησί, ⟨διὰ τὸ⟩ Τροίας πορθουμένης τὴν Δαρδάνου μητέρα Ἠλέκτραν μίαν οὖσαν τῶν Πληϊάδων φυγεῖν τε τὴν τῶν ἀδελφῶν σύνοδον καὶ τὰς κόμας λύσασαν ἐνίοτε κομήτην ἀστέρα φαίνεσθαι.*

φησὶ δὲ καὶ Ἑλλάνικος ἐν τῶι πρώτωι τῶν Ἀτλαντικῶν (fr 56 M.) *τὰς μὲν ς′ θεοῖς συνελθεῖν, Ταϋγέτην Διΐ, ὧν γενέσθαι Λακεδαίμονα, Μαῖαν Διΐ, ἀφ' ὧν Ἑρμῆς, Ἠλέκτραν Διΐ, ὧν Δάρδανος, Ἀλκυόνην Ποσειδῶνι, ὧν Ὑριεύς, Στερόπην Ἄρει,*

---

1 ἄλλως praescribit Bekker ‖ 2 suppl Robert, cf schol Arateum (p. 386, 18) ‖ 3 Φαισοῖ post Πολ. supplet CMüller (FHG I p. 84) | περίεσαν A ‖ 6 ἐλεήσας ὁ Ζ. D ‖ 7 seclusi ut l. 17 | φερεκύδηι D ‖ 8 lemma om A; ἄλλως Bekker ‖ 10, 1 ἄτλαντα γὰρ τὸν A; Ἄτλαντος γὰρ τοῦ coni Bekker ‖ 10 supplevi ‖ 11 αἰθέρας τῆς A; Αἴθρας τῆς coni Bekker | Μουσαῖος coni Robert ‖ 12 υἷας A ‖ 13 κυνηγετοῦντα Eu Bekker ‖ 14 ἀπ. διὰ λύπην ἃς coni Wilam ‖ 15 υἱάδας A | ἐπωνυμίαι A ‖ 15, 6 αἱ δὲ πλείονς ζ′ βραδέως μὲν πλὴν ἀποθανοῦσαι AD: corr et traiecit Wilam ‖ 17 seclusi ut l. 7 | προείρηται A ‖ 23 supplevi | δαῦ A ‖ 25 συνοδίαν D ‖ 27 ἀτλαντίδων D ‖ 30 ὧν Ὑριεύς om A

ὧν Οἰνόμαος, Κελαινὼ Ποσειδῶνι καὶ αὐτὴν συγγενέσθαι, ὧν Λύκος, Μερόπην δὲ Σισύφωι θνητῶι ὄντι, ὧν Γλαῦκος. ἦν καὶ ἀμαυρὰν εἶναι.

Ὑάδας δὲ εἰρῆσθαι, ἤτοι παρὰ τὸ σχῆμα τῆς τῶν ἀστέρων θέσεως (τῶι γὰρ Υ στοιχείωι παραπλήσιόν ἐστιν), ἢ ἐπεὶ ἀνατελλουσῶν αὐτῶν καὶ δυνουσῶν ὗει ὁ Ζεύς.

αἱ δὲ Πληιάδες ἤτοι ἀπὸ τῆς μητρὸς αὐτῶν Πληϊόνης, ἢ ὅτι πλείους ὁμοῦ κατὰ μίαν συναγωγήν εἰσι (Βότρυν γὰρ αὐτὰς λέγουσιν), ἢ ὅτι πλείους μὲν εἶναι δοκοῦσιν, ἐπὶ δὲ τῆς ἀληθείας ἐλάττους εἰσίν, ἢ πλησιάδες (πλησίον γὰρ κεῖνται), ἢ ὅτι πλείους δι' αὐτῶν αἱ τῶν ὡρῶν ἐπισημασίαι, ἢ ὅτι πλειῶνος (ὅ ἐστιν ἐνιαυτοῦ) σημαντικαί· χειμῶνα γὰρ καὶ θέρος διορίζουσιν, καθὸ ἐπιφέρονται, καὶ διὰ μόνων αὐτῶν σημειοῦνται τὰς ἑώιας ἐπιτολὰς πρὸς θέρος καὶ τὰς ἑσπερίους πρὸς ἄροτον, ὡς Ἡσίοδος (Opp 383, 4) 'Πληϊάδων Ἀτληγενέων ἐπιτελλομενάων ἄρχησθ' ἀμήτου, ἀρότοιο δὲ δυσομενάων'. τὰς δὲ Ἄτλαντος ἀτυχίας κλαιούσας αὐτὰς καταστερισθῆναί φησιν ὁ Αἰσχύλος (fr 312 N.²).

Πληϊάδων δὲ ἀνατολὴ ἑώια ἡλίου ὄντος ἐν Διδύμοις, δύσις δὲ ἑώια κατὰ τὴν διάμετρον ἡλίου ὄντος ἐν Σκορπίωι. ⟨ἐν⟩ Ταύρωι δὲ ὄντος ἡλίου κατὰ τὸ εἰκὸς ἑκατέρωθεν ἐπίφασις γίνεται· καὶ γὰρ τὸν προανατέλλοντα Κριὸν ἐπὶ ε' ἡμέρας προκαταλάμπει κατ' ἀρχὰς ἐγγὺς ὢν αὐτοῦ καὶ τοὺς προανατέλλοντας Διδύμους ἐπ' ἄλλας ἡμέρας ε', ὥσπερ τὸ ἔν τινι καιόμενον πῦρ θέρμης ἀπόρροιαν ἔχει βραχεῖαν καὶ πρὸς τοὺς ἑκατέρωθεν. διὰ τοῦτο καὶ Ἡσίοδος ἔφη (Opp 385 sq.) 'αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα κεκρύφαται', διότι καταυγάζονται⟩.

257. ἑπτάποροι δὴ ταί γε: ἑπτὰ οὖσαι (φησί) δοξάζονται παρὰ τοῖς ἀνθρώποις ς' διὰ τὸ ἀμυδρῶς μὲν τὴν ζ' ὁρᾶσθαι, τὰς δὲ ς' ἐναργῶς.

1, 2 κελαινὼ ποσειδῶνι, ὧν λύκος, στερόπην ἄρει, ὃν οἰνόμαον, μερόπην A ‖ 2 ἦν D: διὸ A ‖ 4 ὑάδες εἴρηνται coni Dindorf ‖ 7 πλειάδες A ‖ 9 καὶ ζ' post μὲν A ‖ 10 πλησιάδας AD ‖ 11 μὲν πλείους A | αὐτὰς αἱ τῶν ὁρῶν D ‖ 13 καθότι D ‖ 15 ἄροτρον AD | ἀτλαγενάων D ‖ 16 ἀμήτοιο D | ἀρότροιο A ‖ 17 ὅς ἀχθοφορεῖ τὰς μυθευομένας κίονας addit Eu | κατηστερίσθαι D ‖ 19 πλειάδων A | ἀνατολὴν ἑῴαν A ‖ 20 ἐν om A | ταύρου AD ‖ 21 ἡλίωι A: om D | ἑκατέρωθι A ‖ 24, 5 ὥσπερ τι καιόμενον D

29 δὲ ταί γε A | δὲ post ἑπτὰ AAld ‖ 30 ς om AAld | μὲν om A Ald | ἑβδόμην A ‖ 31 τὰς — ἐναργῶς om AAld

ἄλλως. φασὶ ζ' εἶναι 'μετ' ἀνθρώπους', τῇι δὲ ἀληθείαι ς' εἰσὶ μόναι φαινόμεναι· ὁ γὰρ Εὐριπίδης (Orest 1005 sq.) *'ἑπτάπορον δρόμημα Π⟨ε⟩λειάδος ⟨εἰς⟩ ὁδόν'. § φασὶ δέ τινες τοιοῦτον μῦθον, ὅτι μία ἐκ τῶν ζ' τὸ τῆς Ἰλίου πάθος ἰδοῦσα, ἡ Ἠλέκτρα, ὑπεχώρησε τοῦ συστήματος (ἔστι γὰρ μήτηρ Δαρδάνου) καὶ ὑπὸ τὸν β' ἀστέρα τοῦ ῥυμοῦ, ὃς λέγεται εἶναι τῆς Ἄρκτου, ἦλθε πλησίον. τοῦτον δὲ τὸν ἀστέρα, τὸν ὑπὸ τὸν ῥυμὸν τῆς Ἄρκτου, ἐκ τῶν Πλειάδων ἀναχωρήσαντα Ἀλώπεκά τινες καλοῦσιν.* Cf p. 388, 16. 389, 21. 391, 20. 392, 13.

259. *οὐ μέν πως ἀπόλωλεν ἀπευθής: τοῦτο χαριεντιζόμενος ἐπὶ τῆι μυθολογίαι, ὅτι ἑπτά εἰσι, φησίν. 'οὐδέποτε ἀνήκουστος ὢν ἀστὴρ ἀπόλωλεν, οὐδὲ τοῦτο ἠκούσαμεν, ἀφ' οὗ ἐγεννήθημεν καὶ ἀφ' οὗ τὰ ἄστρα γεγένηνται, ἀπολωλότα καὶ ἀνήκουστον γεγενημένον ἀστέρα. εἰ οὖν 'οὐδέποτε', διὰ τί οἱ ζ', ὡς λέγουσιν, οὐ φαίνονται ἀστέρες; ἀλλὰ τοῦτο (φασὶ) τὸ περὶ τοῦ ὅτι ἑπτὰ εἶναι λέγονται μάταιόν ἐστιν· καὶ γάρ εἰσιν ἀληθῶς. ὅμως δὲ ἐπιῤῥήδην* (261) *καὶ ἐκ τοῦ φανεροῦ ἁπλῶς μυθολογοῦντες ἑπτὰ αὐτάς φασιν. καὶ τὰ ὀνόματα αὐτῶν ἐφρονται.*

ἄλλως. τοῦτο πρὸς τοὺς εἰπόντας, ὧν ἐστι καὶ αὐτὸς ἐν τῶι εἰς Θεόπροπον ποιήματι (cf ad l. 9), *τὴν Ἠλέκτραν φυγεῖν καὶ μὴ ὑπομεῖναι ἰδεῖν τὴν Ἴλιον ἁλισκομένην καὶ τοὺς ἐκγόνους δυστυχοῦντας· τὸν γὰρ Δάρδανον παῖδα Διὸς καὶ Ἠλέκτρας εἰρήκασιν. δύναιτο δ' ἂν καὶ ὑπερβατὸν εἶναι 'ἑπτάποροι οὖσαι καὶ ἐπόψιαι ὀφθαλμοῖσιν ἓξ οἷαι παρ' ἀνθρώποις ὑδέονται'.*

---

1 φ. εἶναι τὰς πλειάδας ἑπτὰ τῇ A, omisso lemmate πλὴν εἰ καὶ ἑπτὰ ταύτας φησὶν εἶναι ἀλλὰ τῇι Ald ‖ 2 ἓξ AAld | μόναι om M ‖ 2–3 ὁ γὰρ — ὁδόν om AAld | ἑπταπόρου τε Euripidis codd ‖ 4 ἑπτὰ διὰ τὸ τοῦ ἡλίου πάθος ὑπ. (ceteris omissis) AAld ‖ 5, 6 ἔστι — Δαρδάνου om AAld ‖ 5 ἡ μ. M ‖ 6 δεύτερον A Ald ‖ 6, 7 ὃς λέγ. εἶναι τῆς ἄρκτου (τῆς ἠλέκτρας MAld, τῆς ἠλέκτρας γέγονεν A: correxi) post πλησίον M ‖ 7 ἦλθε πλησίον om AAld ‖ 8 ἐκ τῶν Πλ. om M ‖ 10 ἀπευθής om M ‖ 10, 1 φησὶ ante χ. Ald ‖ 11 ζ' Ald | ὅτι post φ. A, καὶ Ald: om M ‖ 12 ὢν om Ald | ὁ ἀ. AM: om Ald | ἀπόλωλεν Ald: om AM | οὐδὲ τοῦτο ἠκούσαμεν post γεγένηται iterum A | ἠκ. τοῦτο Ald ‖ 14 γενόμενον AAld ‖ 14–19 εἰ — φέρονται om AAld ‖ 16 ὅτι tentavi: νοτίου M ‖ 18 φησίν M ‖ 20 ἄλλως in margine iteratum M; omisso lemmate πρὸς οὓς τοὺς τὸν μῦθον εἰπόντας φησὶ τοῦτο — ἐν γὰρ τῶι — π. φησι φεύγειν τ. Ἠ. Ald ‖ 21 θεοπρομον AMAld, cf Suid s. v. Ἄρατος (Aratea p. 223) schol Il (p. 389, 22) | φυγεῖν corr Wilam: φεύγειν AMAld ‖ 22 τὸν ἥλιον ἁλ. Ald ‖ 24 εὑρήκασι A, εἶναι Ald, ἠκούσαμεν ς | ἔστι δὲ ὑπ. τὸ ἑπτ. οὕτως ἑπτ. Ald ‖ 25 ἓξ οἷς A

τῶν γὰρ ζ' ὀνομάτων λέγων τὸν κατάλογον σύνδηλός ἐστι συμβαίνων τῶι ἀριθμῶι τούτωι καὶ συντιθέμενος. § ὑδέοντσι δέ (257): σημαίνουσιν αἱ Πλειάδες καιρούς· ἑῶιαι μὲν γὰρ ἀνατέλλουσαι σημαίνουσι θέρους ἀρχήν, ἑῶιαι δὲ δύνουσαι ἀντίληψιν τῶν κατὰ σπόρον ἔργων. ἑσπερίαν δὲ ἀνατολὴν ποιούμεναι χειμῶνος ἀρχὴν σημαίνουσιν. τῆς δὲ ἑσπερίου δύσεως οὐκ ἐμνήσθη διὰ τὸ συμβαίνειν αὐτὴν περὶ τὴν ἐαρινὴν ἰσημερίαν καὶ μηδὲν ἐξαίρετον περιέχειν σημεῖον.

ἀπόλωλεν ἀπευθής —: ἄπυστος ἐκ τοῦ οὐρανοῦ. § φασὶ
= p. 387, 25 δέ, ὅτι μία τῶν Πλειάδων ἐκεραννώθη. διὸ οὐ φαίνεται. § τὸ δὲ ἐξ οὗ καὶ γενεῆθεν (260) ἀποσκευάζεται τὸν μῦθον τὸν ἐπ' αὐτα⟨ῖ⟩ς λέγοντα φυγεῖν τὴν μίαν, τὴν Μερόπην, ὑπ' αἰδοῦς θνητῶι μιγεῖσαν τῶι Σισύφωι ἢ τὴν ἐκ Διὸς τεκοῦσαν Δάρδανον Ἠλέκτραν (ad 391, 9).

264. αἳ μὲν ὁμῶς: μικρὸν κατειληφυῖαι τόπον καὶ ἐξ ἀμαυρῶν συγκείμεναι ἄστρων.

ἀλλ' ὀνομασταί: ἀντὶ τοῦ ὀνομασταί εἰσι καὶ ἐπίδοξοι διὰ τὸ καὶ τὴν ἀνατολὴν αὐτῶν καὶ τὴν δύσιν πως ἀναγκαίαν εἶναι τοῖς ἀνθρώποις· ἐπιτελλομένων γὰρ 'ἄρχεσθ' ἀμήτου, ἀρότοιο δὲ δυσομενάων' (Hesiod Opp 384). Cf p. 390, 15.

265. ἦρι καὶ ἑσπέριαι: ἦρι τὸν ὄρθρον ἀντὶ τοῦ τὴν ἀνατολήν, ὅτε ὑπὸ τὸν ὄρθρον ἀνατέλλουσι σὺν ἡλίωι ὄντι ἐν τῶι Ταύρωι, ἀπὸ ε καὶ εἰκάδος τοῦ Φαρμουθὶ μηνός, ὅς ἐστι κατὰ Ῥωμαίους Ἀπρίλιος, ὅτε καὶ τοῦ θερίζειν ὁ καιρὸς παρ' Αἰγυπτίοις. ἑσπέριαι δὲ δυτικαὶ ἀπὸ τῆς ἑσπέρας, ὅτε ἑῶιαι δύνουσιν ἡλίου ὄντος ἐν Σκορπίωι Ἀθὺρ μηνί, ὅς ἐστι κατὰ Ῥωμαίους Νοέμβριος, ὅτε ἐστὶ καὶ καιρὸς τοῦ ἀροτριᾶν· τότε

1, 2 *συμβαίνων* scripsi: *σημαίνων* AMAld, cf p. 64. 400, 2 ‖ 3, 4 *ἑῶαν γὰρ ἀνατολὴν ἀνατέλλουσαι* AAld ‖ 4 *ἑώιαν δὲ δύσιν δύνουσαι* AAld ‖ 6 *σημαίνουσιν* om Ald | *ἑσπερίας* Ald ‖ 8 *παρέχειν* coni Bekker ‖ 9—14 om Ald ‖ 9 *ἀπόλωλεν* om M ‖ 9, 10 *φησὶν ὅτι* A ‖ 10—14 *τὸ δὲ — Ἠλέκτραν* om A ‖ 12 supplevi ‖ 15 *αἱ μ. ὀ. ὀλίγαι* Ald, om A ‖ 15, 6 *ὀλίγας αὐτάς φησι διὰ τὸ ἐξ ἀμυδρῶν συγκεῖσθαι ἀστέρων, ὀνομασταὶ δὲ ὅμως καὶ ἐπίδοξοι* Ald ‖ 18 *δ. προσαναγκαῖον* AAld ‖ 19, 20 *τοῦ ἀμήτου ἀρχ. δυομένων δὲ τοῦ ἀρότου* Ald ‖ 19 *ἀμήτοιο* AM ‖ 20 *δυομένων* AAld ‖ 21 lemma om AAld | *ἦρι οὖν* Ald | *ὁ. ἤγουν τὴν ἀ. φησιν ὑπὸ τ. ὄρθρον γὰρ ἀν.* Ald ‖ 22 *ὅτε* M: *αὗται* A ‖ 23 *τῶι* om M ‖ 24 *ῥωμαίοις* A | *ἀπρίλλιος* AMAld ‖ 25 *δυτικαὶ* om AAld | *τῆς* om AAld | post *ἑσπέρας* AAld *ἀνατέλλουσιν ἡλίου ὄντος* ‖ 26 *ἐν* om M | *παρὰ* Ald ‖ 27 *ῥωμαίοις* AAld | *καὶ* om AAld

γὰρ ἑσπέριαι οὐκ εἰσι πρὸς ἑσπέραν δύνουσαι (οὐδὲ γάρ εἰσι πρὸς ἑσπέραν δυόμεναι), ἀλλὰ κατὰ τῆς ἑσπέρας τὴν δύσιν ποιοῦνται· ὅτε γὰρ σὺν Σκορπίωι ἀνατέλλει ὁ ἥλιος, τότε Ταῦρος εἰς δύσιν ἑῶιος καταφέρεται. § τὸ δὲ ἑξῆς τοῦ ῥητοῦ οὕτως ἔχει· αἱ δὲ ὀνομασταὶ ἠρι καὶ ἑσπέριαι εἱλίσσονται καὶ συμπεριφέρονται τῶι οὐρανῶι. καὶ τούτων ὁ Ζεὺς αἴτιος, ὃς κατηστέρισεν αὐτάς, ὅστις αὐταῖς καὶ θέρους ἀρχομένου καὶ χειμῶνος σημεῖα φέρειν ἐποίησεν. § ληπτέον· ἑῶιαι Φαρμουθὶ ἀρχομένου θέρους ἀνατέλλουσιν, ἑῶιαι δὲ δύνουσι τῶι Ἀθὺρ μηνὶ ἀρχομένου χειμῶνος.

268. καὶ χέλυς, ἥ τ' ὀλίγη: τὰ ὑπολειπόμενα τῶι βορείωι διδάσκει, τήν τε Χέλυν καὶ τὸν Ὄρνιν. οὐκ ἀφ' ἑαυτοῦ δὲ ταῦτα διδάσκει, ἀλλ' ἐκ τῶν προεγνωσμένων· ((ὑποκ))ατιὼν γάρ φησι (270) καδ δ' ἔθετο προπάροιθεν ἀπευθέος εἰδώλοιο. § χέλυς δέ, ὅτι χελώνην ὁ Ἑρμῆς ἐκδείρας αὐτὴν κατεσκεύασε τὴν κιθάραν. καὶ Νίκανδρός φησι περὶ αὐτῆς (Ther 700 sqq.).

καὶ παρὰ λίκνωι: σφόδρα νήπιος ὢν καὶ βραχὺς ὁ Ἑρμῆς τὴν κιθάραν κατεσκεύασεν. ἐν δὲ τοῖς λικμητηρίοις γεννώμενα τὰ βρέφη ἐτίθεσαν εἰς σύμβολον εὐτροφίας· Δήμητρος γὰρ καρπῶν τὸ ἐργαλεῖον. § ἡ ἱστορία δέ, ὅτι τριταῖος ὢν ἀπὸ τοῦ τόκου ὁ Ἑρμῆς καὶ σφόδρα μικρὸς ὢν ἐποίησε τὴν λύραν· ὡς γὰρ ἐάλω κεκλοφὼς τοὺς Ἀπόλλωνος βοῦς, ἐπὶ ποινῆι τῆς κλοπῆς ἐδωρήσατο αὐτῶι τὴν λύραν κατασκευάσας. ἣν φασι κατηστερίσθαι. § παρὰ λίκνωι δὲ ἤτοι κουνίωι, ἐν ὧι τὰ νήπια κατετίθεσαν. Cat p. 230 b sq.

λίκνον παρὰ τὸ λίαν κινεῖσθαι.

1—4 post ἑσπ. AAld εἰσὶν (omisso οὐκ) ὅτι (ὅτε Ald) πρὸς ἑσπέραν ἀνατέλλουσι (ceteris usque ad κατεφέρετο [sic M] omissis) AAld ‖ 4 δὲ om A ‖ 5 ἑλίσσονται AAld ‖ 6 δὲ ὁ Ald ‖ 7 αὐτὰς om AAld ‖ 7, 8 καὶ χειμ. om M ‖ 8 σημαίνειν ἐκέλευσεν (267) ς, om M | οὖν post ληπτ. Ald ‖ 9 δὲ om M | τοῦ Ἀθὺρ M ‖ 11 ἥ τ' ὀλίγη om AAld ‖ 12 τὸν χ. M | καὶ ante ταῦτα Ald ‖ 13—15 ὑποκατιὼν | ὅτι om AAld ‖ 15 χελώνην δὲ ὁ AAld | 16 τὴν κιθάραν om Ald | καὶ Νίκ. φ. π. αὐτῆς om Ald ‖ 17—21 habet A post 25, om Ald ‖ 17 καὶ βραχὺς om A ‖ 18, 9 λικμητηρίοις δὲ ἐτίθεσαν τῶ πρώτω τὰ βρέφη τὰ γεννώμενα εἰς A ‖ 20 δὲ ἱστ. A | ὁ τριταῖος A ‖ 21 καὶ om A ‖ 21—25 ὡς — κατηστερίσθαι om A (κατεστηρίχθαι M) ‖ 24, 5 schol post p. 395, 4 (Λύρα) A ‖ 24—26 λίκνον δὲ τὸ κουνίον φησὶ παρὰ τὸ λίαν κινεῖσθαι, ἐν ᾧι τὰ νήπια κατετίθεσαν. § ἢ λίκνον τὸ λικμητήριόν φησιν· τὰ γὰρ βρέφη τὸ πρῶτον γεννώμενα ἐν τῶι λικμητηρίωι ἐτίθεσαν εἰς σύμβολον εὐτροφίας· Δημ. γ. καρποῦ τὸ ἐργ. σφόδρα γοῦν νήπιος ὁ Ἑρμῆς τὴν λ. κατ. Ald post p. 394, 16 ‖ 24 καὶ παρὰ λίκνωι A | ἤτοι κουνίωι om M ‖ 25 subsequitur schol p. 394, 15—24 in A ‖ 26 λίκνον — κινεῖσθαι om MAld (cf l. 24—26 adn)

269. *Λύρην δέ μιν εἶπε λέγεσθαι: αὐτὸς (φησὶ) καὶ τὴν ὀνομασίαν δέδωκε τῶι ὀργάνωι κατασκευάσας αὐτήν.* § *αὕτη* Cat p. 230 b sqq. *δὲ κατεσκευάσθη μὲν ὑφ' Ἑρμοῦ πρῶτον ἐκ τῆς χελώνης ἑπτάχορδος ἀπὸ τοῦ ἀριθμοῦ τῶν Ἀτλαντίδων, μετέλαβε δὲ αὐτὴν ὁ Ἀπόλλων καὶ Ὀρφεῖ παρέδωκεν, ὃς ἐννεάχορδον ἐποίησεν ἀπὸ τοῦ τῶν Μουσῶν ἀριθμοῦ. καὶ μετὰ θάνατον αὐτοῦ τὴν λύραν αἱ Μοῦσαι ἔδωκαν Μουσαίωι ἀξιώσαντι τὸν Δία, ὅπως αὐτοῦ μνημόσυνον εἴη ἐν τοῖς ἄστροις.* § *λίκνον δέ ἐστι σκεῦος, ἐν ὧι διαχωρίζουσιν ἀπὸ τοῦ πυροῦ τὴν ἀκαθαρσίαν, τὸ λεγόμενον λικμητήριον.* § *τὸ δὲ ἥ τ' ὀλίγη* (268) *ἤτοι ὀλίγων ἀστέρων (κατὰ μὲν Ἵππαρχον, ι', ὡς δὲ Τιμόχαρίς φησιν* [cf Anal Eratosth p. 30], *η', ὡς δὲ Εὔδημος, ἐννέα* [fr nov]), *ἢ ὅτι ὀλίγας ἐπέχει* Cat p. 190 b (Hyg II 6 p. 42) *μοίρας.* § *ἀπευθέος* (270) *δὲ τοῦ Ἐν γούνασιν, ἐπεὶ οἱ μὲν Ἡρακλέα, ἄλλοι δὲ Ἰξίονα λέγουσιν.*

271. *τὸ δ' ἐπὶ σκελέεσσι πέτηλον: τὸ τοῦ Ἐν γούνασιν εἴδωλον ἐπὶ τοῖς σκέλεσι πῖπτον.* § *πέτηλον δὲ ἢ τὸ ἀναπεπ((τ))αμένον ἢ τὸ πεπτωκός.*

Cat p. 233 b sq. 273. *ἀντιπέρην Ὄρνιθος: τοῦτον τὸν Ὄρνιν οἱ μὲν λέγουσι Κύκνον ὄντα καταστερισθῆναι μὲν εἰς τιμὴν τοῦ Ἀπόλλωνος, ἅτε μουσικὸν ὄντα, οἱ δέ, ὧι Ζεὺς εἰκασθεὶς ὡμίλησε Λήδαι, κατὰ δὲ τοὺς πλείστους Νεμέσει· ἐκ τῆς Λήδας γὰρ τὴν Ἑλένην γενέσθαι καὶ τοὺς Διοσκούρους ἐν ὠιῶι λέγουσιν.* § *τὸ δὲ αἰόλος* (275), *ἐπεὶ τὰ μέν εἰσιν αὐτοῦ ἀνάστερα, τὰ δὲ ἠστέρωται.*

2,3 *αὐτὴ δὲ* M | *κ. ταύτην δὲ κατασκευασθεῖσαν ὑφ'* A ‖ 3—5 *ἑπτάχορδος δὲ ἦν αὕτη, ἣν Ἑρμῆς κατ' ἀριθμὸν τῶν πλανήτων ἐκ χελώνης κατασκευάσας Ἀπόλλωνι δέδωκεν, ὁ δὲ Ὀρφεῖ παρ.* Ald ‖ 3, 4 *ἑπτάχορδον* A ‖ 4 *πλανήτων* pro *Ἀτλ.* AAld ‖ 4, 5 *μετέλαβεν ὁ Ἀπόλλων* A ‖ 5 *ἐννάχορδον* M ‖ 6 *αὐτὴν* ante *ἀπὸ* Ald ‖ 7 *λ. ἔδωκε* (omisso *αἱ Μοῦσαι*) *Μουσαίω. οὗ ἀξιώσαντος ὁ Ζεὺς αὐτὴν κατηστέρισεν, ὅπως* AAld ‖ 8 *ἦι* Ald ‖ 8—10 *λίκνον — λικμητήριον* om AAld ‖ 10 *ἀντὶ τοῦ* pro *ἤτοι* AAld ‖ 11 *δέκα* Ald | *τιμοχάρης* A Ald | *φησὶν* om M ‖ 12 *ὀκτώ* Ald | *ὡς δὲ Εὔδημος ἐννέα* om AAld | *ὀλίγον* M ‖ 13 *ἀπευθέα δὲ τὸν* Ald ‖ 14 *Ἰξίωνα* AAld ‖ 15 *σκέλεσι* A | *ἢ* ante *τὸ* alt A ‖ 15, 6 post *Ἐν γ.* AAld *πέτηλον, τουτέστι τὸ εἴδωλον τοῦ ἐν γούνασιν, ἢ τὸ πέτηλον τῆς χέλυος ἐν τῶι ἀριστερῶι γούνατι τοῦ ἐπὶ σκελέεσσιν (σκελέεσιν* A), *ἤτοι τοῦ ἐν γούνασι, κεῖται* ‖ 16 *πίπτει* M ‖ 16, 7 *ἀναπεπεταμένον* AAld ‖ 17 *ἀναπεπτωκός* AAld ‖ 18—24 post p. 396, 6 AAld ‖ 18—22 *περὶ τοῦ (τοῦ* om A) *κύκνου* in margine AM ‖ 18 lemma om AAld ‖ 19 *ὄντα K.* Ald | *μὲν* om AAld ‖ 20 *ὅτι Ζ. εἰκ. κύκνω* AAld ‖ 21 *πολλοὺς* A | *νεμέση* A, cf Ald ‖ 21, 2 *κατὰ μὲν τοὺς πολλοὺς ὡμίλησε νεμέσση, κατὰ δὲ ἐνίους λήδα, ἐκ δὲ τῆς λ. τ.* Ald ‖ 21 *τῆς λήδας* AAld: *ταύτης* M ‖ 22 *λέγουσιν* om M ‖ 23 *εἰσιν* om AAld ‖ 24 *κατηστέρωται* Ald

ἢ δὲ μεσηγύ: ἡ Λύρα δοκεῖ Ἑρμοῦ ἔργον εἶναι. κεῖται δὲ πρὸ τοῦ Ἐν γούνασι παρὰ τὸ ἀριστερὸν αὐτοῦ γόνυ. τῆς δὲ κεφαλῆς τοῦ Ἐν γούνασι πλησίον ἐστὶν ὄρνις Κύκνος, οὗ μεταξὺ καὶ τοῦ γόνατος τοῦ Ἐν γούνασι κεῖται ἡ Λύρα. ἐπειδὴ δὲ ἀμυδρά ἐστιν ἡ Χέλυς, ὡς ἔφαμεν (p. 394, 10), διὰ πολλῶν εὐκατάληπτον αὐτὴν πειρᾶται δεικνύναι, καί φησιν ‘ἢ δὲ μεταξὺ τῆς Ὄρνιθος κεφαλῆ⟨ς⟩ καὶ τοῦ γόνατος τοῦ εἰδώλου κεῖται, ὥστε ἴσον ἀπέχειν διάστημα τὴν Λύραν τοῦ τε γόνατος καὶ τῆς Ὄρνιθος κεφαλῆς· τοῦτο γὰρ σημαίνει τὸ μεσηγύ. πάλιν δὲ λαβὼν καιρὸν συντόμως ⟨μνημονεύει⟩ τὸν Ἐν γο⟨ύ⟩νασιν. § τὸ δὲ γούνατί οἱ σκαιῶι: ἐνταῦθα φανερόν, ὅτι τὸν δεξιὸν ἐν τῆι κεφαλῆι τοῦ Δράκοντος ἔχει πόδα ὁ Ἐν γο⟨ύ⟩νασιν (70, cf p. 352).

275. ἤτοι γὰρ καὶ Ζηνὶ παρατρέχει: πάλιν ‘τῶι οὐρανῶι’ (p. 392, 9). § τὸ δὲ παρατρέχει: ἢ ὅτι τὰς πτέρυγας ἁπλώσας ἔμφασιν δρόμου καὶ πτήσεως ἐμφαίνει, [καὶ] διὰ τοῦτο εἶπε παρατρέχει, ἢ ὅτι τῶι οὐρανῶι συμπεριφέρεται· τοῦτο γὰρ τὸ Ζηνὶ παρατρέχει. οὐκ ἀπεικὸς δὲ ὡς μουσικὸν ὄντα τὸν Ὄρνιν πλησίον εἶναι τῆς Λύρας.

παρατρέχει: οἱ μὲν παροξύνουσι τὴν παρα, ἵν’ ᾖι ‘παρὰ Διί’, ἄμεινον δὲ ὑφ’ ἓν ἀναγινώσκειν, ἵν’ ᾖι παρατρέχει.

276. ἀλλ’ ὃ μὲν ἠερόεις: ἀλλ’ ὁ μὲν Κύκνος ἀμυδρός πώς ἐστι, τὰ δὲ πτερὰ αὐτοῦ τετράχυνται καὶ αὐτά, οὐ πάνυ λαμπρὰ ⟨ὄντα⟩. λαμπρὸς δέ ἐστιν ὁ ἐπὶ τοῦ ῥάμφους καὶ ὁ ἐπὶ τοῦ ὀρθοπυγίου.

277. ἀστράσιν οὔτι λίην μεγάλοις: ἤτοι ὅτι πολλοὶ ἀστέρες τὰς ἁπλώσεις τῶν πτερῶν ἀποτελοῦσι (διὸ τετρήχυνται 276), ἢ ὅτι τοῦ πτεροῦ ἐπιψαύει ὁ γαλαξίας κύκλος (διὸ ὥσπερ τραχὺ τοῦτο ἀποτελεῖ). ὅπερ καὶ ἐπὶ τοῦ Περσέως ⟨ἐ⟩λέγο-

---

1 lemma om AAld | οὖν post λύρα Ald | εἶναι ἔργον A ‖ 2 ἐν γόνασι A | περὶ τὸ Ald ‖ 4 γούνατος Ald | τοῦ ἐν γούνασι γόνατος M ‖ 4—12 ἐπειδὴ — Ἐν γούνασιν om AAld ‖ 8 γούνατος M ‖ 8, 9 τῆς ante κεφ. iterum M ‖ 9 σημαίνει scripsi: σημεῖον M ‖ 10 supplevi ‖ 14 παρατρέχει om M | post lemma Ζηνὶ τῶι οὐρανῶι λέγει AAld ‖ 16, 7 seclusi; καὶ διὰ — παρατρέχει om AAld ‖ 17 συμφέρεται M ‖ 17, 8 τοῦτο — παρατρέχει om AAld ‖ 18—21 om A ‖ 20, 1 om Ald ‖ 21 παρατρέχειν M ‖ 22—26 post ἀμυδρός Ald περὶ δὲ τὰ πτερὰ αὐτοῦ τετράχυνται ἢ ὅτι πολλοὶ ‖ 23—25 καὶ — ὀρθοπυγίου om A ‖ 24 supplevi ‖ 26 lemma om et scholia coniunxit AAld | ἢ ὅτι AAld ‖ 27, 8 δ. καὶ τετρ. Ald | τετράχυνται M ‖ 29 τοῦτο om M

μεν (?, cf p. 385, 22). § τὸ δὲ οὐ μὲν ἀφαυροῖς ἀμαυροῖς μέν, οὐ παντελῶς δὲ ἀφανέσιν.

279. οὖριος εἰς ἑτέρην φέρεται: ἐπὶ τὴν δύσιν, ὡς πρὸς ἀντιδιαστολὴν τῆς ἀνατολῆς. § τὸ δὲ φέρεται ὡς πρὸς τὴν τῆς πτήσεως ἔμφασιν διὰ τὸ ἡπλῶσθαι τὰς πτέρυγας. ἢ συμπεριφέρεται τῶι οὐρανῶι. § τὸ δὲ εὐδιόωντι (278), ⟨ὅτι⟩ δύνει ὀρθός. ἠρεμαίας δὲ (φησίν) ἀποτέτακε τὰς πτέρυγας· οἱ γὰρ ἐπειγόμενοι κατὰ τάχος χειμῶνι βιαζόμενοι κραδαίνουσιν.

280. ταρσοῖο τὰ δεξιά: ὁ νοῦς· φέρεται ὁ Κύκνος τῆς Κηφείας χειρὸς κατὰ δεξιὸν [ταρσοῦ τέλος]· παράκειται γὰρ τῆι τοῦ Κηφέως δεξιᾶι ὁ δεξιὸς ταρσὸς τοῦ Κύκνου, ἤγουν ἡ πτέρυξ.

281. σκαρθμός: ἡ συνεχὴς κίνησις τῶν ποδῶν· σκαρθμὸς γὰρ σημαίνει τὸν πόδα κατὰ πλεονασμὸν τοῦ θῖτα παρὰ τὸ σκαίρειν.

282. τὸν δὲ μετασκαίροντα: τὸν Ἵππον φησίν. σφόδρα δὲ πάλιν καθαρὰν ἑαυτῶι δέδωκε πρόφασιν, ὥστε ἐλθεῖν ἐπὶ Περσέα καὶ Χέλυν καὶ Ὄρνιν, καὶ ἀπὸ τοῦ Ἵππου πάλιν ἐπὶ τοὺς ὑποκειμένους Ἰχθῖς, εἶτα ἀπὸ τῶν ἐγνωσμένων Ἰχθύων καὶ τοῦ Ἵππου ἐπάγει (283) πὰρ δ' ἄρα οἱ κεφαλῆι ‘παρὰ δὲ τῆι κεφαλῆι τοῦ Ἵππου ἡ τοῦ Ὑδροχόου χείρ’.

Cat p. 236 b 283. χεὶρ Ὑδροχόοιο: ὁ Ὑδροχόος οὗτος δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς πράξεως· ἔχων γὰρ ἕστηκεν οἰνοχόην καὶ ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ, ἥτις εἰκάζεται τῶι νέκταρι· Γανυμήδην γὰρ αὐτὸν ἔφησαν. οἱ δὲ τὸν παρὰ τῶι Πινδάρωι (fr 282 B.) ἑκατονόργυιον ἀνδριάντα, ἀφ' οὗ τῆς κινήσεως τῶν ποδῶν τὸν Νεῖλον πλημ-

---

1 lemma αὐτὰρ οὐ μὲν ἀφαυροῖς A | οὐ λαμπροῖς μὲν κτλ. A Ald ‖ 3 φέρεται om AAld ‖ 4 περιφέρεται A ‖ 6 τῶι οὐρανῶι AAld: om M ‖ 6—8 τὸ δὲ — κραδαίνουσιν om A subiuncta de Olore historiola (p. 394, 18) et Ald ‖ 9 ταρσοῖο — νοῦς om AAld | δὲ ὁ Ald ‖ 9, 10 κύκνος κατὰ τὰ δεξιὰ τῆς κηφείας χειρός· τὰ (γὰρ add Ald) δεξιὰ τῆς πτέρυγος· ὃ δηλοῖ τὸ ταρσοῦ AAld ‖ 10 γὰρ om Ald ‖ 11 οὖν post ὁ δεξ. Ald | τοντέστιν ἡ Ald ‖ 13, 4 ὁ δὲ (om utrumque A) σκαρθμὸς σημαίνει τὸν πόδα AAld ‖ 14 post πόδα Ald περὶ σκαίρειν πλεονασμῶι τοῦ θ' Ald: om AM | τοῦ σ̄ A ‖ 14, 5 τοῦ σκ. A ‖ 16 μετασκαίροντα AAld: μετὰ σκαίροντα M ‖ 16, 7 σφόδρα πάλιν post lemma (omissis τ. Ἵ. φ.) AAld ‖ 17 ἑαυτῶι AAld post δέδ., αὐτῶι post καθ. M ‖ 19 ἰχθύας AAld ‖ 20 ἐπάγει: — A | παρὰ δ' ἄρα Ald | ἤγουν περὶ Ald ‖ 22—26 in margine περὶ ὑδροχόου M ‖ 22 ὁ Υ. om M; omisso lemmate ὁ δὲ Υ. οὗτος δ. κ. Ald | δοκεῖν A ‖ 24 εἰκάζει M | τοῦ γαν(ν A)υμήδους post νέκταρι AAld | τὸν γαν(ν A)υμήδην γὰρ AAld ‖ 25 ἔφασαν A Ald | δὲ τὸν om AAld | περὶ πίνδαρον Ald | ἑκατοντόργυ(ι add Ald)ον AMAld

μυρεῖν. § *ὁ δὲ Αἰγόκερως ὅμοιός ἐστι τῶι Αἰγίπανι. κατηστερίσθη δὲ εἰς τιμὴν τοῦ Πανός (εἰς γὰρ τοῦτον μετεβλήθη διωκόμενος μετὰ τῶν ἄλλων θεῶν), ἢ ὅτι σύντροφός ἐστι τοῦ Διός. εὗρε δὲ οὗτος τὸν κόχλακα ἐν τῆι θαλάσσηι. διὸ παράσημον οὐρὰν ἰχθύος ἔχει. τῶι δὲ ἤχωι αὐτοῦ ⟨τῶι⟩ Πανικῶι καλουμένωι τοὺς Τιτᾶνας ἐτρέψατο.* Cat p. 237 b sq.

285. *αὐτὰρ ὅ γε πρότερος καὶ νειόθι μᾶλλον: ὁ Αἰγόκερως πρότερός ἐστιν αὐτοῦ τῆι θέσει. διὸ καὶ πρότερον αὐτοῦ ἀνατέλλει, ἤγουν τοῦ Ὑδροχόου.* § *τὸ δὲ νειόθι κατωτέρω, πρότερος. καὶ μᾶλλον πρὸς νότον ὁ Αἰγόκερως τοῦ Ὑδροχόου κεῖται καί ἐστι πάντων τῶν δώδεκα ζωιδίων νοτιώτερος.*

286. *ἵνα τρέπεται ἠελίοιο ἴς: ὅπου συμβαίνει τὰς χειμερινὰς τροπὰς γίνεσθαι. ἐντεῦθεν ἐπὶ τὰ βόρεια καὶ εἰς εὐδίαν ἐκ τοῦ χειμῶνος ἀνατρέχει.*

287,8. *μὴ κείνωι ἐνὶ μηνὶ —: πολλάκις εἴπομεν* (p. 357,18. 361,15 al), *ὅτι οὐ μόνον ἕνεκα τῆς γνώσεως τῶν φαινομένων γράφει ὁ Ἄρατος, ἀλλὰ καὶ διὰ τούτων βιωφελεῖς εἰσάγει καιροὺς τοῖς ἀνθρώποις, καὶ νῦν τὸν χειμερινὸν καιρὸν διαγράφων φησίν· ἀρχὴ γὰρ χειμῶνος, ὅτε ⟨ἐν⟩ τῶι Αἰγοκέρωτι γίνεται ὁ ἥλιος. ἐπάγει γοῦν, ὅτι 'μὴ κατ' ἐκεῖνον τὸν καιρὸν (λέγει δὲ τὸν Τυβὶ μῆνα, ὅς ἐστι κατὰ Ῥωμαίους Ἰανουάριος· τότε γὰρ σφοδρός ἐστι χειμών) ὑπὸ τῆς θαλάσσης περικλύζου πλέων καὶ ναυτιλλόμενος, ἐν ἀναπεπταμένωι πελάγει τὸν πλοῦν ποιούμενος'.*

288. *οὔτε κεν ἠοῖ —: οὔτε γὰρ πολλὴν θάλασσαν δυνατὸς εἶ διαπερᾶσαι διὰ μιᾶς ἡμέρας (μικραὶ γὰρ τὸ τηνικαῦτα αἱ ἡμέραι), οὔτε ἐν νυκτί σοι φόβον καὶ κίνδυνον ἐκ τοῦ χει-*

---

1 *τῆ αἰγί* AAld ‖ 4 *κόγχλακα* M | *τῆι* om M ‖ 5 *αὐτοῦ* AMAld ‖ 7 lemma om AAld | *ὁ οὖν* Ald, *ὁ* om A ‖ 8 *πρῶτος* AMAld | *τοῦ ὑδροχόου τῆι* Ald | *διὸ* Ald: *ὅς* AM ‖ 9 *ἤγουν τ. Ὑ.* om Ald ‖ 10—12 *πρότερος ἢ ὅτι πρὸς νότον ἐστίν* (ceteris omissis) A, *ἢ πρῶτός ἐστιν, ἐπειδὴ πρὸς νότον ἐστίν* (ceteris omissis) Ald ‖ 13 lemma om scholiis coniunctis AAld | de lemmatis vitiis cf ed ‖ 14 *καὶ* om AAld | *εἰς εὐωδίαν* A ‖ 16 *κείνων* M; lemma om A; *ἵνα τρέπεται πολλάκις ὡς* (omisso *ὅτι*) Ald ‖ 17 *ἕνεκεν* M ‖ 18 *καὶ* ante *β.* Ald, om A ‖ 20 *γὰρ* om AAld | *ὅταν — γένηται* Ald ‖ 21 *οὖν* AAld | *καιρὸν πλεύσης* Ald, *μῆνα πλεύσης* A | *λιβὶν* A ‖ 22 *ἰαννουάριος* AM ‖ 23 post *χ.* Ald *τὸ δὲ ὑπὸ τ. θ. περικλυζόμενος πλέων δηλαδὴ κ. ν.* | *μηδὲ* ante *ὑπὸ* A: om M | *θ. εἶης περικλυζόμενος* A ‖ 24 *ἐν* AM: *καὶ* Ald ‖ 25 lemma om AAld ‖ 26 *διαπεράσαι* AMAld ‖ 26,7 *μικρὰ — ἡ ἡμέρα* Ald

μῶνος ἔχοντι μετ᾽ ὀλίγον ἂν ἐπέλθοι ἡ ἡμέρα· μακρόταται γὰρ αἱ νύκτες. ‘μακραὶ γὰρ ἐπίρροθοι εὐφρόναι εἰσί’ (Hesiod Opp 560). ταχέως δὲ τὴν ἑσπέραν προσδόκα, βραδέως δὲ τὴν ἠῶ καὶ τὴν διὰ νυκτὸς δυστυχίαν κατὰ τὸ ποιητικὸν ‘ἐκ νυκτῶν ἄνεμοι χαλεποί, δηλήματα νηῶν’ (Od XII 286). § τὸ δὲ ταχινώταταί εἰσιν (289) αἱ ἡμέραι δηλονότι.

291. ⟨καὶ μάλα⟩ πολλὰ βοωμένωι: καὶ σφόδρα ἐπικαλουμένωι, ὥστε ἐλθεῖν τὴν ἡμέραν διὰ τὸν παρόντα κίνδυνον. μηδὲ τῆι νυκτὶ (φησί) πίστευε· μακρὰ γὰρ ἤδη, καὶ βραδέως ἡ ἡμέρα ἐπιφαίνεται. τὸ τηνικαῦτα δὲ καὶ ὁ νότος πολὺς πνεῖ.

294. ναύτηι μαλκιόωντι: ναρκῶντι τῶι ναύτηι. μάλκη δέ ἐστιν ἡ ἐκ ψύχους ἐπὶ ἄκρας χεῖρας καὶ πόδας ἐπανάστασις τοῦ χείματος, τὰ λεγόμενα χειμετλα. μαλκιόωντι οὖν τῶι εἰωθότι ἐν ψυχροῖς τόποις καὶ ὑγροῖς διάγειν. τινὲς δὲ μαλκιόωντι τῶι ἐντὸς ἔχοντι τὰς χεῖρας διὰ τὸ κρύος ὥρισαν.

ἀλλὰ καὶ ἔμπης: τοῦτο ὡς πρὸς τὸ ἑτοίμους εἶναι τοὺς ἀνθρώπους διὰ χρήματα ἀποκινδυνεύειν καὶ μὴ τὸν τοιοῦτον καιρὸν παραιτεῖσθαι. ὁ δὲ λόγος· ἀλλ᾽ ὅμως (φησίν), εἰ καὶ τοιαῦτα κακά ἐστι τοῖς κατὰ τὴν θάλασσαν πλέουσι καὶ τοσούτων ἐπηρτημένων κινδύνων τοῖς ἐν χειμῶνι πλωΐζομένοις.

295. ἤδη πάντ᾽ ἐνιαυτόν: ἤδη πάντοτε, ἐν παντὶ καιρῶι τοῦ ἐνιαυτοῦ, ἡ θάλασσα διαπεράται.

στείρησι: ναυσίν.

296. πορφύρει: μελαίνεται, κινεῖται ὑπὸ τῶν νηῶν.

296. ἴκελοι δὲ κολυμβίσιν: ἡ αἴθυια ἐν τοῖς παραλίοις τόποις ζῆι. ὁμοίους δὲ αἰθυίαις τοὺς διόλου βιοῦντας ἐν τοῖς

---

1 τὸ δὲ ἐγγύθεν ἠώς post ἔχοντι M: om scholiis coniunctis AAld | ἂν Ald: om AM | ἐπέλθη AAld ‖ 3 καὶ AM: διὸ Ald ‖ 4 δυστυχίαν μεγάλην ἡγητέον ὡς καὶ ὁ ποιητής· ἐκ ν. Ald ‖ 5 τότε A, τὸ οὖν Ald | ταχινώτεραι A ‖ 6 sequitur schol ad 294 sq. M ‖ 7 τὸ δὲ πολλὰ β. Ald | καὶ om AAld ‖ 9 μὴ δὴ Ald | μακρὰ γὰρ βρ. δὲ ἡ Ald ‖ 10 τὸ — πνεῖ om Ald ‖ 11 τὸ δὲ ν. μαλκιόωντι Ald | ναρκοῦντι Ald ‖ 12 ἡ Ald: om AM | ἄκρα (om Ald) χειρῶν καὶ ποδῶν AAld ‖ 13 τοῦ χ. om Ald | ἃ δὴ καὶ χ. λέγονται ἢ μ. Ald | οὖν om AAld | τῶι om M ‖ 15 διὰ τὸ κρύος om AAld | ὥρισαν om M ‖ 16 τὸ M: τοὺς Ald, om A | εἶναι τοὺς om AAld ‖ 17 κ. μηδὲ τ. A Ald ‖ 18 αὐτὰ post καιρὸν AAld | εἰ om A ‖ 18,9 κ. τὰ τ. AAld ‖ 19 πλ. κατὰ θ. AAld ‖ 18—21 καὶ τοσοῦτοι κίνδυνοι ἐπήρτηνται ἑσμός τις αὐτῶν ἐν χειμῶνι πλέει. τὸ δὲ ἤδη π. ἐ. Ald ‖ 20 εὔμουσον ut videtur post κινδ. A ‖ 21 ἀντὶ τοῦ πάντοτε Ald | ἤδη om etiam A ‖ 23 στείρουσι δὲ Ald ‖ 25 lemma om AAld | ἡ δὲ αἴθ. Ald | παραλλήλοις Ald ‖ 26 ὁμοίους οὖν ταῖς αἰθυίαις φησὶ τοὺς Ald | αἰθ. τὸ δ. AM | βιοῦν AM

ὑγροῖς ⟨λέγει⟩ δίκην αἰθυιῶν ἐν τῇι θαλάσσηι διὰ παντὸς διάγοντας.

298. ἥμεθ' ἐπ' αἰγιαλούς: ἐπὶ ταῖς χειμαζομέναις πολλάκις ναυσὶν ἥμεθα τὸ πέλαγος περιβλέποντες καὶ περισκοποῦντες τοὺς αἰγιαλούς, εὐχόμενοι λιμένος τυχεῖν.

298, 9. οἳ δ' ἔτι πόρσω κλύζονται: ἀντὶ τοῦ 'πόρρω δέ εἰσιν οἱ αἰγιαλοί'.

299. ὀλίγον δὲ διὰ ξύλον: ὀλίγον δὲ καὶ εὐτελὲς ξύλον διείργει τὸν θάνατον, ἀντὶ τοῦ ἡ ναῦς. καὶ Ἡσίοδος (Opp 686) 'χρήματα δὲ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι' καὶ Καλλίμαχος (fr 111; cf Aratea p. 261) 'ἀλλ' ἐμὸς αἰὼν κύμασιν αἰθυίης μᾶλλον ἐσωικίσατο'.

300. καὶ δ' ἂν ἔτι προτέρωι: ἀπὸ κοινοῦ τὸ μηνί (287). πρότερος δὲ μὴν τοῦ Αἰγόκερω ὁ Χοιάχ, ὅς ἐστι κατὰ Ῥωμαίους Δεκέμβριος, ὅτε ἐν Τοξότηι ὁ ἥλιος. ὁ δὲ νοῦς· 'καὶ ἐν προτέρωι μηνὶ τοῦ Τυβί, ὅς ἐστιν Ἰανουάριος (λέγει δὲ καὶ κατὰ τὸν Χοιὰχ μῆνα), πολλὰ κακὰ παθὼν κατὰ θάλασσαν πρὸς τὴν ἑσπέραν ὁρμίζου'· μακραὶ γάρ εἰσι τότε αἱ νύκτες, καὶ οὐκ ἔστι σοι εὐχερὲς τότε διαπεραιοῦσθαι.

προτέρωι: πρότερος γάρ ἐστιν ὁ Τοξότης τοῦ Αἰγοκέρωτος· ὁ γὰρ ἥλιος ἐπὶ ἀνατολὰς τὰ ζώιδια ⟨δια⟩πορεύεται, ὁ μέντοι οὐρανὸς ἐπὶ δυσμὰς καταφέρε⟨τα⟩ι κινούμενος καὶ ἑκάστην μοῖραν τοῦ ζωιδιακοῦ ἀνύει. διὸ Εὐριπίδης τὸ φυσικὸν ὡς μυθικὸν παρείληφε λέγων (Orest 1006, cf p. 391, 2) 'εἰς ὁδὸν ἄλλη⟨ν⟩ Ζεὺς μεταβάλλει'. § τὸ δὲ καὶ δ' ἂν ἔτι προτέρωι φησὶ τοὺς πλέοντας ἡσυχάζειν καὶ μὴ πελαγίζειν οὐ μόνον τῇι χειμερινῇι τροπῇι, ἀλλὰ καὶ τῶι προτέρωι μηνί, ἐν ὧι ὁ ἥλιος διέρχεται Τοξότην. § καλῶς δὲ ἔχει ⟨τὸ⟩ ἑσπέρας κατάγεσθαι καὶ μὴ πιστεύειν ταῖς νυξίν, ἐπειδὴ καὶ ὁ Τοξότης ἀόρατός ἐστιν. τὸ

---

1 supplevi ‖ 3 lemma om AAld ‖ 3, 4 *πολλάκι ἐπὶ τ. χ. πολλ.* Ald | *πολλάκις* om M ‖ 4 *περὶ τὸ π.* A, *πρὸς τὸ π.* Ald | *βλέποντες* AAld ‖ 6 *κλύζονται* om M ‖ 6, 7 *ἤγουν πόρρω εἰσὶν* Ald ‖ 8 *ἀντὶ τοῦ ὁ. ξ.* Ald | *καὶ* om A ‖ 9 *τοῦ θανάτου* M | *ἤγουν ἡ ναῦς* Ald ‖ 10 *γὰρ* Hesiodi codd ‖ 11 *ἐὼν* AAld | *αἰθύης* M ‖ 11, 2 *μᾶλλον* om Ald ‖ 13 *ἐπὶ* AAld | *κατὰ κοινοῦ τῶι μ.* Ald ‖ 14 *πρ. δ. μ.* om M | *τῶ* M | *αἰγοκέρωτος* AM | *κατὰ Ῥωμαίους* om AAld ‖ 15 *δεκέβριος* A | *τῶι πρ.* Ald ‖ 16 *τοῦ* AAld: *τῶ* M | *ἰαννουάριος* M ‖ 16, 7 cf p. 400, 2 | *ἤτοι (ἤγουν* Ald) *τοῦ ἰαν(νν* A)*ουαρίου. λέγει δὲ διὰ τὸν δεκέμ(μ* om A)*βριον μῆνα· οὗτος γάρ ἐστιν ὁ πρὸ τοῦ ἰαν(νν* A)*ουαρίου (-ιος* A)· *πολλὰ παθὼν κατὰ θάλασσαν* AAld ‖ 19 *σοι* om A | *τὸ δ.* Ald ‖ 20 — p. 400, 5 om AAld ‖ 20 *πρότερος* scripsi: *πρῶτος* M ‖ 21, 24 supplevi

τηνικαῦτα δὲ τὰ σημεῖα τοῦ καιροῦ δίδωσιν. § τὸ δὲ Τόξον ὅτ' ηέλιος (301) τοῦτο σημαντικόν ἐστι τοῦ προειρημένου μηνὸς Χοιάχ (p. 399, 14). τὸ δὲ πεποιθὼς οὐκέτι νυκτί (302) μηκέτι (φησί) τῇι νυκτὶ πίστευε· μακρὰ γὰρ ἤδη καὶ βραδέως ἡ ἡμέρα τοῖς κινδυνεύουσιν ἐπιφαίνεται.

303. σῆμα δέ τοι κείνης ὥρης: ἐπειδὴ ἐν τῶι Τοξότηι ὢν ὁ ἥλιος οὐκ ἐᾶι αὐτὸν φαίνεσθαι, ἐξ ἄλλων τεκμηρίων τοῦ μηνός σοι δίδωσι κατάληψιν. ὁ δὲ νοῦς· τεκμήριόν σοι ἔστω τοῦ καιροῦ καὶ τοῦ μηνὸς ἐκείνου ὁ Σκορπίος ἀνατέλλων ἐπὶ τῆς ἑσχάτης νυκτός, ἤγουν ἐπὶ ὄρθρου· περὶ γὰρ ἑνδεκάτην καὶ δωδεκάτην ὥραν ὁ Σκορπίος ἀνατέλλει· αὐτὸς γὰρ ὁ Τοξότης ὑπὸ τοῦ ἡλίου τότε κατέχεται.

304. Σκορπίος ἀντέλλων: ὁ Σκορπίος μικρὸν πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς θεωρεῖται ἐπὶ τῆς ἀνατολῆς τοῦ ὁρίζοντος· τότε γὰρ συμβαίνει τὸ κέντρον τοῦ Σκορπίου ἀνατέλλον θεωρεῖσθαι καὶ τὴν τοῦ Τοξότου κορωνίδα συνάπτουσαν τῶι κέντρωι.

308. τῆμος καὶ κεφαλή: ἐπειδὴ συμβαίνει τὸ τηνικαῦτα χειμῶνος ὄντος συστάσεις νεφελώδεις γίνεσθαι καὶ ὁ Σκορπίος ἀφανής ἐστιν, ἐξ ἄλλων πειρᾶται φανερὰν ποιῆσαι τοῦ μηνὸς τὴν κατάληψιν· τὸ τηνικαῦτα γὰρ (φησί) καὶ τῆς Κυνοσουρίδος ἡ κεφαλὴ περὶ τὸ ὄρθρον ἀνατέλλει, ὅτε αὐτὸς ὁ ἥλιος Σκορπίωι ⟨συν⟩ανατέλλει.

309. ὕψι μάλα τροχάει: εἰς ὕψος ἀνατέλλει ἡ κεφαλὴ τῆς Κυνοσουρίδος ὡς ἐπὶ τὴν ἰξὺν τῆς μεγάλης Ἄρκτου ἐν τῶι ἀνατρέχειν ἀποβλέπουσα. εἶτα καὶ ἕτερον τεκμήριον δίδωσι καὶ 'ὁ Ὡρίων' φησὶ 'τὸ τηνικαῦτα ἀθρόος πᾶς καταδύεται πρὸ τῆς ἡμέρας'· ὀλίγον γὰρ πρὸ τῆς ἡμέρας δύεται δωδεκάτηι ὥραι

---

6 lemma om A, δὲ — ὥρης om Ald ‖ 12 κατέχεται Ald: κατάγεται AM ‖ 13 lemma om AAld | ὁ γὰρ Ald ‖ 15 συμβαίνει Ald, cf l. 18 p. 392, 1: σημαίνει AM ‖ 16 τοῦ om A ‖ 18 lemma om A, Ὡρίων (323) pro lemmate Ald ‖ 20 ἐμφανής A | γὰρ post πειρ. A ‖ 19—27 καὶ τὸν Σκορπίον μὴ εἶναι ἐμφανῆ, πειρᾶται καὶ ἐξ ἄλλων φανερὰν ποιῆσαι τὴν τοῦ Τοξότου κατάληψιν καί φησιν, ὅτι ὁ Ὡρίων τὸ τηνικαῦτα ἀθρόως Ald ‖ 20 τοῦ τοξότου A Ald ‖ 21, 2 separavit et duo scholia fecit A ‖ 22 τὸ περὶ AM: traieci ‖ 23 supplevi ‖ 24—26 (δίδωσι) post p. 401, 5 A ‖ 24 τῆμος καὶ κεφαλὴν (sic) κυνοσουρίδος (308) pro lemmate A ‖ 24—p. 401, 1 τῆμος δὲ ἤγουν τότε καὶ ἡ κ. τ. Κυν. εἰς ὕ. ἀνατ. ἡ γὰρ κεφ. τ. Κυν. ἐπὶ τὴν ἰξὺν τῆς μ. — ἀποβλέπει. § τὰ περὶ τ. π. δὲ Ὠ. Ald ‖ 27 ἀθρόως AAld, ἀθρόος M | 28 δωδεκάτη ὥρα M, -ην -αν AAld

τῆς νυκτός. ἔστι δὲ ὁ Ὠρίων λαμπρότατος ἀστὴρ νότιος. καὶ ὁ Κηφεὺς (φησίν) ἀπὸ χειρὸς ἐπ' ἰξύν (310)· τὰ γὰρ λοιπὰ μέρη αὐτοῦ ἄδυτα. πλείω δὲ ἐξεπίτηδες τὰ σημεῖα τοῦ χρόνου τίθεται, ὥστε κἄν, εἰ μὴ πάντα τις δύναιτο ἀλλ' οὖν γε ἓν ἐξ αὐτῶν φυλάξαι, σώιζεσθαι.

311. ἔστι δέ τις προτέρω: τὰ περὶ τοῦ παρακειμένου Οιστοῦ καὶ τοῦ Ἀετοῦ οὐκ ἀπό τινος διδάσκει προεγνωσμένου. κατὰ τοῦτο δὲ μόνον τὴν συνήθειαν παρέλειψεν. μικρὸν δὲ ἔμπροσθεν τοῦ Τοξότου βέλος κατεστήρικται δίχα Τόξου, πλησίον δὲ αὐτοῦ θεωρεῖται Ὄρνις βορειοτέραν ἔχων τὴν θέσιν. παράκειται δὲ αὐτῶι Ὄρνις ἕτερος ἐκ τοῦ σύνεγγυς, τῶι μὲν μεγέθει λειπόμενος ἐκείνου, χειμεριώτατος δὲ γινόμενος κατὰ τὴν ἑώιαν ἀνατολήν. καλεῖται δὲ Ἀετός. § προειπὼν οὖν περὶ τοῦ Τοξότου φησὶν 'ἔστι δὲ καὶ ἕτερος Οἰστὸς περὶ τὸν ὑπὸ τὴν τοῦ Τόξου προβολὴν ἡτοιμασμένος'. § τὸ δὲ αὐτός (312) ἀντὶ τοῦ μόνος. 'Τυδείδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη' (Il VIII 99). § τὸ δὲ προτέρω (311) οὐκ ἔμπροσθεν τοῦ Τοξότου, ἀλλὰ προτέρω προσωτέρω ἀνωτέρω, ὡς καὶ ἐπὶ τὰ βόρεια βεβλημένος, οὐχ ὑπὸ τοῦ Τοξότου βληθείς, ἀλλ' ἁπλῶς κείμενος, ὡς καὶ οὗτος ἐπιφέρει, ἄνευ τόξου καὶ τοξεύσαντος (312).

312. ὁ δέ οἱ παραπέπταται Ὄρνις: περιπέπταται, τὰς πτέρυγας ἁπλοῖ. § ἀσσότερον δὲ (313) πλησίον τοῦ βορέου· σφόδρα γάρ ἐστι βόρειος ὁ Ὄρνις.

Ὄρνις τοῦ Οἰστοῦ νοτιώτερος περιπέπταται καὶ ἐκ τοῦ κύκλου ἤδη προγνωσθέντος τὴν κατάληψιν τῶι Τοξότηι καὶ τῶι Ἀετῶι δίδωσιν.

314. χαλεπός γε μέν: τὴν ἑώιαν ἐπιτολὴν ποιούμενος ὁ Ἀετὸς μέγαν χειμῶνα συνάγει τοῦ ἡλίου ὄντος τότε περὶ τὰ μέσα τοῦ Τοξότου.

---

1 νότιος om M ‖ 2 γὰρ om M ‖ 4 γε om AAld | ἐνὶ AAld ‖ 5 πιστεύσας σώζεσθαι AAld ‖ 6 lemma om AAld ‖ 6, 7 παρακειμένου δὲ Ὀ. Ald ‖ 8 κ. τοῦδε Ald | μόνον MAld | παρέλειψεν: — A, παραλείψας Ald, sequente sine lemmate scholio ad v. 314 (τὴν ἑώιαν —) AAld; μικρὸν κτλ. post p. 400, 17 (κέντρωι) scripta AAld ‖ 9 τόξου β. M ‖ 10 αὐτῶ A ‖ 11 ὁ ante Ὄρν. MAld | 12 λαμπόμενος A ‖ 13 αὐτοῦ ante ἀν. AAld | δὲ om M | αἰετός A, ἀητός Ald ‖ 13—20 om AAld ‖ 14 παρὰ M ‖ 15 προσβολὴν Ald ‖ 16 ὡς τὸ T. Ald | Τυδ. — ἐμίχθη om M ‖ 17—20 τὸ δὲ — τοξεύσαντος om AAld ‖ 21 περιπέπταται scripsi: περιπέτεται M ‖ 25 ἤδη scripsi: εἴδη M ‖ 27 δὲ post ἑώιαν Ald ‖ 28 ἀητὸς Ald ‖ 29 τόξου A

315. *νυκτὸς ἀπερχομένης*: *ὅτε λοιπὸν ἀνατέλλοντος ἡλίου σὺν τῶι Τοξότηι καὶ αὐτὸς ἅμα ἀνατέλλει. ὁ δὲ λόγος· χαλεπὸς οὗτος καὶ δεινὸς ἀνατείλας παριούσης νυκτός· ἑῶιος γὰρ ἀνατέλλων σὺν τῶι Τοξότηι ἐν τῶι Χοιάχ, ὃς ἐστι κατὰ Ῥωμαίους Δεκέμβριος, χειμῶνός ἐστι σημεῖον. διὸ εἶπε 'τοῖς πλέουσι χαλεπός'* (314) *διὰ τὸ τότε κρύος.*

καί μιν καλέουσιν Ἀητόν: *Ἀετὸν αὐτὸν καλοῦσιν. οἱ δὲ ἐτυμολογήσαντες αὐτὸν εἶπον παρὰ τοὺς ἀήτας καὶ τὰ χειμερινὰ πνεύματα, ἃ δηλοῖ χειμερινὸς ἀνατέλλων.*

316. *Δελφὶς δ', οὐ μάλα πολλός*: *πάλιν τὸν Δελφῖνα ἀπὸ τοῦ προεγνωσμένου διδάσκει Αἰγόκερω.*

οὐ μάλα πολλός: *οὐ σφόδρα λαμπρός.*

τὸ δὲ ἐπιτρέχει: *ὅτι ἄνω ἐστὶ τοῦ Αἰγόκερω ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐπιτρέχων καὶ σπεύδων (τὴν γὰρ ὄψιν ὁ Δελφὶς ὡς ἐπὶ τὸν Αἰγόκερων σπεύδων ἔχει), διὰ τοῦτο ἐπιτρέχειν εἶπεν. καὶ ὑπέρκειται δὲ τοῦ Αἰγόκερω ὁ Δελφίς, οἷον ἐπιφερόμενος αὐτῶι.* § *τὸ δὲ μεσσόθεν ἠερόεις* (317), *ὅτι τὸ μέσον αὐτοῦ σφόδρα σκοτεινόν ἐστιν. ἔχει δὲ τέσσαρας ἀστέρας λαμπρούς. διδάσκει δὲ καί, οἵαν ἔχουσι τὴν θέσιν· καὶ γὰρ ἔχει αὐτοὺς ἐν παραλλήλωι σχήματι θεωρουμένους τοὺς σημαίνοντας αὐτοῦ τὴν διατύπωσιν.* § *τὸ δὲ δύο πὰρ δύο* (318) *οὐκ ὄντας ἐν τετραγώνωι σχήματι δύο ἐπὶ δύο, ἀλλὰ δύο παρὰ δύο παραβεβλημένους καὶ ποιοῦντας παραλληλόγραμμον ῥομβοειδές.* § *πεπτηῶτα δὲ δυϊκῶς τὰ γλήνεα. γλήνεα δὲ ἐκλήθησαν ἀπὸ τοῦ λάμπειν. καὶ Ὅμηρος* (Il XXIV 192) *'ὃς γλήνεα πολλὰ κεχάνδει' ἀντὶ τοῦ λαμπρά. ἔνθεν καὶ ἡ κόρη γλήνη λέγεται διὰ τὸ στίλβειν.*

ἄλλως. Δελφὶς — οὐ μάλα πολλός: *τῶι Αἰγοκέρωτι*

---

1 lemma om Ald | *ὅτι* M ‖ 1, 2 *ἀνατέλλει σὺν αὐτοῖς* (omisso *ἅμα*) A ‖ 4 *ἀνατέλλει* libri | *ἐν* om AM ‖ 4, 5 *τὸ X. μηνὶ ἤτοι δεκεβρίῳ* A | *X. μηνὶ ἤγουν τῷ Δ.* Ald ‖ 5 *χ. ἐ. σ.* om M ‖ 7—9 om Ald ‖ 7, 8 omisso lemmate *ὃν καλοῦσιν ἀητὸν ἐτυμολογοῦντες παρὰ* Ald ‖ 7 *αἱ μιν* A | *ἀητὸν* post lemma A ‖ 8 *δὲ* om A | *αὐτὸν εἶπον* om A ‖ 9 *ἃ — ἀνατ.* om A | *ἀνατείλας* Ald ‖ 10 *ελφὶς* A ‖ 11 *ἐγνωσμένου* Ald | *αἰγοκέρωτος* AAld ‖ 12 *οὐ μάλα πολλός* om AAld ‖ 10, 12, 3 scholia coniunxit M ‖ 13—17 *οὐ γὰρ σφ. φησὶν ἔκλαμπρος. ἐπιφέρει οὖν μεσόθεν ἠερόεις ὅτι* (ceteris omissis) AAld ‖ 17 *τὸ* alt om M ‖ 18 *ἐστιν*: — AAld ‖ 18—27 om AAld ‖ 19 *οἵαν* scripsi: *ὅταν* M ‖ 21 *παρὰ* M ‖ 28 lemmata om Ald, *ἄλλως* om A ‖ 28—403, 1 *ἐπικατ. οὖν τῶι αἰγ.* Ald

ἐπικαταφέρεται ὁ Δελφὶς ἀνάστερος τὰ πολλά, δ' ἔχων ἀστέρας ἐπισήμους ἐν [τῶι] παραλλήλωι [κύκλωι] κειμένους.

318. *γλήνεα, παρβολάδην —: οὕτως ⟨sequebatur figura adscripta⟩· ῥομβοειδὲς γὰρ τὸ τοιοῦτον σχῆμα. ποιητικῶς δὲ εἶπε τοὺς ἀστέρας γλήνεα· γλήνη γὰρ νῦν ἐστιν ἡ ἐν τῶι ὀφθαλμῶι κόρη. § κατηστέρισται δὲ εἰς τιμὴν τοῦ Ποσειδῶνος· ἐρασθέντος γὰρ τῆς Ἀμφιτρίτης αὐτοῦ συνήργησε τῶι γάμωι. Ἕρμιππος δὲ* (p. 54 M.) *ἐπὶ Ἀπόλλωνος τιμῆι ἡγησαμένου Κρησὶν εἰς Δελφοὺς δελφῖνι ὁμοιωθέντος. ἔνιοι δὲ τὸν κομίσαντα Ἄρίονα τὸν κιθαρωιδὸν εἰς γῆν.* Cat p. 244 b sqq. (Hyg II 17 p. 67)

Μέχρι τούτου τὰ περὶ τῶν βορείων ἀστέρων. μέτεισι δὲ ἐντεῦθεν ἐπὶ τὰ νότια.

319. *καὶ τὰ μὲν — βορέω: τριμερῆ τὸν τῆς ἀστροθεσίας ἐποιήσατο λόγον, τὸν μὲν περὶ τῶν βορείων, τὸν δὲ περὶ τῶν ἐν τῶι ζωιδιακῶι κειμένων, ἃ δὴ μεταξύ ἐστι τῶν βορείων καὶ τῶν νοτίων, ⟨τὸν δὲ περὶ τῶν νοτίων⟩. ἐπλήρωσε δὲ πάντα τὰ ἐν τῶι βορείωι μέχρι τοῦ ζωιδιακοῦ κύκλου καὶ αὐτὰ τὰ ιβ' ζώιδια, καί φησι 'πάντα ταῦτα τὰ προειρημένα ζώιδια μεταξύ ἐστι τοῦ βορείου καὶ τῆς τοῦ ἡλίου πορείας καὶ πλάνης', ἵνα λέγηι μέσον βορείου καὶ τοῦ ζωιδιακοῦ κύκλου. § ἀλήσιος δέ, ὅτι καὶ ὁ ἥλιος εἷς τῶν πλανητῶν ἐστι, τὰ μέντοι φαινόμενα ἀπλανῆ.*

320, 1. *τὰ δὲ νειόθι —: τὰ νότια· κάτω γὰρ ἐκεῖνα ὡς πρὸς τὸ ἔγκλιμα τοῦ κόσμου, ὥσπερ ἄνω τὰ βόρεια διὰ τὸ ἔξαρμα. ὁ δὲ νοῦς 'τὰ δὲ ἄλλα ζώιδια κάτω ὡς πρὸς τὸν νότον τέλλεται καί ἐστι πολλα⟨χοῦ⟩ μεταξὺ τοῦ τε νότου καὶ τοῦ ζωιδιακοῦ κύκλου, καὶ ἄλλ' ἐν ἄλλοις κέχυται τόποις. τὰ δὲ ὑπὸ ταῦτα λέγεται φέρεσθαι μεταξὺ νότου καὶ τῆς τοῦ ἡλίου κελεύθου.*

---

1 *τέσσαρας* AAld ‖ 2 *παραλλήλως* A | *κύκλωι* om AAld ‖ 2, 3 *κ. φησὶ δὲ (οὖν* Ald) *τὰ δέ οἱ περὶ τέσσαρα κεῖται γλήνεα* scholiis coniunctis AAld ‖ 3 cf p. 374 al ‖ 3, 4 *ἔοικε δὲ ῥομβ. ἔχειν τὸ σχ.* Ald ‖ 5 *γὰρ* om M | *νῦν* om AAld ‖ 6 *κατηστέρηται* A ‖ 7 *αὐτοῦ τ. Ἀ.* AAld | *συνεργῆσαι* M ‖ 8, 9 *δέ φησιν ὅτι ἐπὶ — ἡγήσατο — Δελφούς. ἔνιοι δὲ* AAld ‖ 9 *ὁμοιωθέντος* scripsi: *-α* M | *ἀρίωνα* libri ‖ 10 *ἐν τῆ γῆ* M ‖ 11 *δὲ* AAld: om M ‖ 13—16 *καὶ — νοτίων* om AAld ‖ 16 supplevi | *πλήρωσε* A | *δὲ* om AAld ‖ 17 *ζώδια* post *βορ.* M: om hic AAld ‖ 18 *ταῦτα πάντα* AAld ‖ 19 *καὶ πλάνης* om AAld ‖ 20 *βορέου* M ‖ 23—28 post p. 404, 7 AAld ‖ 23 *νειόθι τέλλεται* pro lemmate AAld ‖ 23, 4 *ν. γὰρ κάτω κεῖνται ὡς πρὸς τὸ κλίμα τοῦ* AAld ‖ 24 *ἔγκλημα* M ‖ 25 *ἄστρα* pro ζ. AAld | *ὡς πρ. τ. ν.* om Ald ‖ 26 supplevi; *πολλὰ* AM, om Ald ‖ 27 *καὶ* ante *ἄλλ'* om M | *τόποις κέχυται* AAld

321. *καὶ ἠελίοιο κελεύθου*: *ἡλίου κέλευθός ἐστιν ἡ διὰ μέσου τῶν ιβ΄ ζωιδίων ἐξ ἐναντίας τῶι παντὶ κινησις. ἣν ἄλην εἶπεν* (319) *οὐκ ἀπεικός· ἀνώμαλος γὰρ καὶ βραδεῖα· ἀγόμενος γὰρ ὁ ἥλιος ὑπὸ τῆς τοῦ οὐρανοῦ περιφερείας αὐτὸς εἰς τοὐπίσω κατὰ μικρὸν ὑπονοστεῖ. καὶ τὴν ἰδίαν αὐτοῦ κίνησιν λέγουσιν ἄνισον ἐν ἰσημερίαις καὶ τοῖς διαστήμασι τοῦ χρόνου θεωρουμένην.*

322. *λοξὸς μὲν Ταύροιο*: *πληρώσας πάντα τὰ ἐν τῶι βορείωι καὶ ἐξ ἐκείνων διδάξας τὰ ιβ΄ ζώιδια ἔρχεται ἐπὶ τὰ νότια. καὶ πάντων τῶν ἐν αὐτῶι διδασκαλίαν ποιούμενος ἐκ τοῦ ἐπισημοτέρου καὶ λαμπροτέρου ὑπὲρ πάντα τὰ νότια ἦρξατο, ὅτι καὶ τῆς Ὁμηρικῆς χρήσεως ἔτυχεν· ἐν βραχεῖ γὰρ ὁ ποιητὴς ἀπὸ β΄ ζωιδίων ἐπισήμων τά τε βόρεια καὶ τὰ νότια ἐδήλωσε, καὶ ὅτι ὥσπερ εὐθειά τίς ἐστιν ἀπὸ τῆς ὄψεως τῆς Ἄρκτου μέχρις Ὠρίωνος· κατὰ γὰρ τὸν ποιητὴν ἀστρονομικῶς εἰπόντα* (Il XVIII 488. Od V 274) *'ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει' εἰκότως ἐν τοῖς βορείοις ἐκείνης πρῶτον μνήμην ποιησάμενος* (37) *νῦν ἐν τοῖς νοτίοις τοῦ ἀντικειμένου μνημονεύει.*

εἰς τὸ αὐτό. ἐπεὶ τὴν διὰ τῶν πόλων ἀγομένην περιφέρειαν τέμνων φωρᾶται, ἐν ἀμφοτέροις δὲ κείμενος τοῖς ἡμισφαιρίοις ἐπέχει μοίρας κατὰ μῆκος ιζ΄, κατὰ δὲ πλάτος λ΄.

Ταύροιο τομῆι ὑποκέκλιται: μέμφοιτο ἄν τις Ἀράτωι ὡς μὴ ἀκριβῶς προσσχόντι τῆι τοῦ Ὠρίωνος θέσει· οὐ γὰρ ὑπὸ τὸ διχοτόμημα τοῦ Ταύρου ἐστίν, ἀλλ' ἔτι τοῦ Ταύρου ἀνατολικώτερος. ἆρα οὖν ἐν πᾶσι τὴν ἀκρίβειαν ἐνδειξάμενος κατὰ τοῦτο μόνον ἐσφάλη; οὐδαμῶς· ἀλλά φαμεν, ὅτι νῦν τομὴν

---

1 *καὶ* om AAld | *ελιου* A ‖ 2 *μέσον* A | *ζωδίων ιβ΄* A | *ἐξ* scripsi: *τῆς* libri | *κινήσεως* libri | *ἄλλην* A, *ἄλην* M ‖ 3 *ἐστι* post *γὰρ* Ald ‖ 4 *δὲ* pro *γὰρ* AAld | *περιφορᾶς* AAld | *αὐτὸς* om Ald ‖ 5 *ὑπονοσθῆ* A | *ταύτην ἰ.* libri | *αὐτοῦ ἰδίαν* AAld ‖ 6 *ἰσημερίοις* M | *τοῖς* om AAld | *τοῦ* om AAld | 8 *Ταύροιο* om Ald, lemma om A | praescripserunt *περὶ τοῦ Ὠρίωνος* (*νῦν λέγει* add Ald) AAld ‖ 8, 9 *πάντα γὰρ τὰ ἐν τῶι β. καὶ τὰ ἐξ ἑ. δ.* Ald | 9, 10 *τὸν νότιον* M ‖ 10, 1 *ἀπὸ τοῦ* AAld ‖ 11 *ἐπισημοτάτου* AAld | *λαμπροτάτου* Ald ‖ 13 *δύο ζ.* AAld | *τά τε νότια καὶ τὰ β.* AAld ‖ 15, 6 omisso *κ. γ. τ. π.* AAld *ἀστρ. εἰπὼν* ‖ 16 *τὸν Ὠ.* A, *ὁ Ὠ.* Ald ‖ 17 *οὖν ἐν* Ald ‖ 20 lemma om AAld | *ἐπεὶ* Ald: *ἐπὶ* AM | *πόλων* Ald: *πολλῶν* AM | *ἀγομένην* om M ‖ 21 cf p. 136, 8 sqq. ‖ 22 *μοιρῶν μῆκος* A ‖ 23 lemma om scholiis coniunctis AAld | *δὲ* post *μ.* AAld | *ἄν* om M ‖ 24 *προσέχοντι* Ald | *τῆι* om A ‖ 26 *ἐστὶν* post *ἀνατ.* iterum AAld ‖ 27 *λέγομεν* AAld

λέγει τὴν περιγραφὴν καὶ τὸ διαμεμετρημένον χωρίον, τόν τε Ταῦρον καὶ τοὺς Διδύμους· ὑπὸ γὰρ τὸ τμῆμα ⟨τοῦτό⟩ ἐστιν ὁ Ὠρίων· ὁ γὰρ πᾶς ζωιδιακὸς κύκλος ιβ′ τομὰς ἔχει, αἷς διείργεται ἕκαστον ζώιδιον. τομὴ οὖν λέγεται τὸ διαχωρίζον μέρος τόν τε Ταῦρον καὶ τοὺς Διδύμους· ὑπὸ γὰρ τὸ τμῆμα τοῦτό ἐστιν ὁ Ὠρίων.

τομῆι ὑποκέκλιται: ὅτι οὐκ ἐξωρθωμένος ἐστίν, ἀλλὰ σχῆμα ἔχων κυνηγετικὸν καὶ ὥσπερ ἐπισπεύδων κυνηγετεῖ, ὡς συντρέχειν τῆι ἱστορίαι καὶ τὸν καταστερισμόν· ἔχει γὰρ τὴν δεξιὰν ὥσπερ ῥόπαλον ἐπιφέρουσαν καὶ ἐπινεύει διὰ τοῦ βλέμματος σπουδὴν ἐνδεικνύμενος. καὶ Ὅμηρος (Od XI 572—5)·

τὸν δὲ μέτ' Ὠρίωνα πελώριον εἰσενόησα
θῆρας ὁμοῦ εἰλεῦντα κατ' ἀσφοδελὸν λειμῶνα,
τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσ(σ)ι
χερσὶν ἔχων ῥόπαλον — αἰὲν ἀαγές.

322, 3. *ὑποκέκλιται αὐτὸς Ὠρίων: τοῦτον μὲν ὁ Ἡσίοδός φησιν* (fr 17) *Εὐρυάλης τῆς Μίνω καὶ Ποσειδῶνος εἶναι, δωρεὰν δὲ ἔχειν παρὰ τοῦ πατρός, ὡς καὶ ἐπὶ τῶν κυμάτων πορεύεσθαι. ἐλθόντα δὲ εἰς Χίον Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα. τὸν δὲ Οἰνοπίωνα χαλεπήναντα αὐτὸν ἐκτυφλῶσαι. ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίστωι συμμῖξαι. ὃς αὐτὸν ἐλεήσας δίδωσιν αἰτῶι ποδηγέτην Κηδαλίωνα. ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε τὰς ὁδοὺς σημαίνοντα. ἐλθὼν δὲ εἰς ἀνατολὰς καὶ ἡλίωι συμμίξας ὑγιάσθη. καὶ οὕτως ἐπὶ τὸν Οἰνοπίωνα ἐλθὼν τιμωρήσασθαι ἔμελλεν. ὁ δὲ μαθὼν ὑπὸ γῆν ἐκρύβη. ἀπελπίσας δὲ αὐτὸν εὑρεῖν εἰς Κρήτην ἦλθε καὶ τῆι Ἀρτέμιδι σύνθηρος ἦν ..... ἐπιχειρήσας οὖν καὶ ταύτην* Cat p. 247 b sqq.

---

1 *διαμεμετρημένον* Ald: *διάμετρον* AM ‖ 1, 2 *τόν — Διδ.* om AAld ‖ 2 *ὑφ' ὃ τμ.* Ald | *τὸ* om A | *Ὠρίων*: — A ‖ 3 *τομαῖς διαιρεῖται* AAld | *ἑκάστου* ante *ἔχ.* Ald ‖ 4 *τὸ μὲν* A, *τομὴν* Ald | *λέγει* AAld ‖ 4, 5 *μέρος ἕκαστον* (*ἕκ. μ.* Ald) *τῶν ζωδίων ὑπὸ τοιοῦτον τὸ* (*γὰρ* pro *τὸ* Ald) *τμῆμα* AAld ‖ 6 *τομῆ* M ‖ 6—10 post p. 406, 29 AAld ‖ 6 *τὸ δὲ ὑποκέκλιται ἀντὶ τοῦ οὐκ* AAld ‖ 7 *κυνηγετεῖν* Ald ‖ 8 *καταστερισμὸν* AAld ‖ 9 *φέρουσαν* AAld | *ἐπιβλέπει* AAld ‖ 9, 10 *νεύματος* AAld ‖ 10—14 *καὶ Ὅμ. — ἀαγές* om AAld ‖ 15 lemma om AAld | *τ. δὲ Ἡσ.* Ald | *ὁ* om AAld ‖ 16 *Εὐρυάλης* Cat alii: *βούλλης* A, *βρύλλης* MAld | *μίνωος* AAld | 17 *ὡς* om Ald | *καὶ* om AAld ‖ 18 *ἐς* AAld | *οἰνωπίωνος* A ‖ 19 *χαλεπαίνοντα* AAld ‖ 19, 20 *ἐκτ. αὐτόν* Ald ‖ 20 *λίμην* A | *ἀ(ἀ* Ald)*λιτεύοντα* AAld | *τῶι Ἡ.* Ald ‖ 21 *δ. αὐτὸν* A ‖ 21, 2 *κηδαλλίωνα* M, *κυδαλίωνα* Ald ‖ 22 *αὐτῶι* post *ὁδοὺς* AAld ‖ 23 *καὶ ὑγιὴς ἐγένετο* post *ὑγ.* A: om MAld ‖ 24 *οἰνωπίωνα* A | *ἦλθε τ. μέλλων* AAld ‖ 25 *εὑρεῖν* om AM ‖ 26 lacunam indicavi, om libri finem narrationis Hesiodeae, add aliena, cf Cat p. 249 b

βιάσασθαι ὑπὸ σκορπίου πληγεὶς ἐτελεύτησεν. § ἦρκται δὲ ὁ ποιητὴς ἀπὸ τούτου, διότι συνεγγίζει μᾶλλον τοῖς βορείοις· ἔχει γὰρ τὴν ζώνην κατὰ τὸν ἰσημερινὸν καὶ τῇ δεξιᾷ καλαύροπα κρατῶν ἐφάπτεται τοῦ ζωιδιακοῦ, ἐπὶ δὲ τῆς ἀριστερᾶς δορὰν ἔχει ἐννάστερον.

323. μή, κεῖνον ὅτις: τοῦτον τὸν Ὠρίωνα ὅστις παρέρχεται μεσουρανοῦντα, μηκέτι προσδοκάτω ἐν τῇι ⟨αὐτῇι⟩ νυκτὶ ἄλλα ἄστρα λαμπρότερα ἰδεῖν, ἐπειδὴ τούτου μεσουρανοῦντος τὰ λοιπὰ λαμπρὰ ἄστρα ὑπὲρ γῆς εἰσιν, οἷον ὁ Ταῦρος ⟨καὶ⟩ οἱ Δίδυμοι καὶ ὁ Καρκίνος ⟨καὶ⟩ ὁ Κύων καὶ ὁ Ἡνίοχος.

324. ὑψοῦ πεπτηῶτα: ἐν οὐρανῶι σφόδρα ἐκτεταμένος ἐστὶν ὁ Ὠρίων, ὡς καὶ ζῶν ἐκτράπελος εἶναι ἐλέγετο· λέγει γὰρ ὁ ποιητὴς (Od XI 311 sq.) ‘ἐννέωροι γάρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν — ἀτὰρ μῆκος — ἐννεόργυιοι’. ὕστερον δὲ ἀποφαίνεται ἐλάττους Ὠρίωνος, ἐν οἷς φησι ‘μετά γε κλυτὸν Ὠρίωνα’ (Od XI 310). ὅτι δὲ ἔχει σφόδρα λαμπροὺς ἀστέρας, καὶ μάλιστα μὲν τοὺς τὸ ζῶμα ἀποτελοῦντας, ἑτέρους δὲ τοὺς περὶ ⟨τοὺς⟩ ἱμάντας καὶ ⟨τοὺς τὸ⟩ ξίφος μιμουμένους καὶ δύο λαμπροὺς τοὺς ἐπ’ ἄκρων ποδῶν, φησὶ καὶ Εὐφορίων (fr nov)· ‘οὐδὲ νεογνοὶ παῖδες ἐδιζήσαντο πελώριον Ὠρίωνα —’.

325. οὐρανὸν εἰσανιδών: ὁ ἀναβλέψας (φησίν) ἐν καθαρᾶι καὶ ἀσελήνωι νυκτὶ εἰς τὸν οὐρανὸν οὐκ ἂν εὕροι ἄλλα λαμπρότερα τοῦ Ὠρίωνος ἄστρα· περιέχεται γὰρ εὐμεγέθης. ἢ τάχα τοῦτο εἶπεν, ἐπειδὴ μεσουρανοῦντος Ὠρίωνος τὰ λαμπρότατα τῶν ἄστρων ὑπὲρ γῆς ὁρᾶται, Ταῦρος Ἡνίοχος Δίδυμοι Περσεὺς Ἀνδρομέδα Κασσιέπεια· τὸ γὰρ ὑψοῦ πεπτηῶτα (324) ἀντὶ τοῦ μεσουρανοῦντα. § τὸ δὲ παρέρχεται —: τοιοῦτόν ἐστιν· ὅστις αὐτὸν παρέρχεται, μὴ νομίσηι ἄλλα αὐτοῦ λαμπρότερα θεάσεσθαι.

326. τοῖός οἱ καὶ φρουρός: κάτω τοῦ Ὠρίωνος νοτιώτερός ἐστιν ὁ Κύων, ὁ Σείριος καλούμενος, ὃν Ὠρίωνος κύνα

1—5 om AAld ‖ 4 pedum, non clavam Orionis praeter imagines Germanicus novit v. 651 (*nudabatque feris angusto stipite silvas*) e globo vel libro picto ‖ 6 schol v. 323 om Ald ‖ 9 ὑπὸ γῆν AM, cf l. 24 ‖ 11 schol v. 324 om AAld | ἐκτεταμμένος M ‖ 14 αὐτὰρ M ‖ 17, 8 supplevi ‖ 22 πανσελήνωι Ald ‖ 22, 3 ἄλλο λαμπρότερον — ἄστρον Ald ‖ 23 τοῦ om AAld | περιέχεται γ. εὐμ. om AAld ‖ 24 τάχα om AAld ‖ 25 ἀστέρων M | γῆν AAld ‖ 26 Περσεὺς Ἀνδρομέδα om AAld ‖ 27 ἀντὶ τοῦ om AAld | μεσουρανοῦντος A | σημαίνει post μ. Ald ‖ 28, 9 ἀ. αὐτοῦ κρείττω παρέρχεται (om Ald) θεάσασθαι AAld ‖ 29 θεάσασθαι etiam M ‖ 30 lemma om AAld ‖ 30, 1 φαίνεται κάτω omisso ἐστιν Ald

καλοῦσι κατ' ἐπίκλησιν, ὡς φησιν Ὅμηρος (Il XXII 29 sq.) 'ὃν τε κί' Ὠρίωνος ἐπίκλησιν καλέουσιν. λαμπρότατος μὲν ὅ γ' ἐστίν'. τὸ δὲ φρουρός, ὅτι κυνηγῶι ὄντι τῶι Ὠρίωνι συνακολουθεῖ ὁ Κύων καὶ ἐστιν αὐτοῦ φύλαξ.

327. φαίνεται ἀμφοτέροισι Κύων: ἤτοι τοῖς ὀπισθίοις (ἐπ' αὐτῶν γὰρ βεβηκώς ἐστιν) ἢ ἀμφοτέροισι τοῖς ἐμπροσθίοις. ὃ καὶ μᾶλλον· τὰ γὰρ σφυρὰ αὐτοῦ τῶν ποδῶν τῶν ὀπισθίων [νότια], ἐφ' ὧν βέβηκεν, ἀφανῆ ἡμῖν καὶ οὐ πάνυ εὐσύνοπτά ἐστιν. διὰ τοῦτο ἀμφοτέροις λέγει τοῖς ἐμπροσθίοις καὶ προδήλοις μᾶλλον διὰ τὴν κατάληψιν. νοείσθω τοίνυν τὸ βεβηκώς οἷον ὁρμῶν καὶ ἀνατέλλων τοῖς ἐμπροσθίοις ποσίν· μετὰ γὰρ τῆς κεφαλῆς οἱ ἐμπρόσθιοι πόδες ἀνατέλλουσιν.

328. ποικίλος, οὐ μὲν πάντα πεφασμένος: πρόκειται, ὅτι ποικιλίαν ἀστέρων ἔστιν ἰδεῖν, ἄστρον τι ἔχον καὶ ἀμυδροὺς καὶ λαμπροὺς ἀστέρας παραλλήλους· οὕτω γὰρ ποικιλία λέγεται. τὸ δὲ 'παραλλήλους' εἴπομεν, ὅτι οὐ δεῖ εἶναι ὁμοῦ μόνους λαμπροὺς οὔτε τὸ ἀνάπαλιν, ἀλλὰ δεῖ κρᾶσιν εἶναί τινα. ἔστιν οὖν ὁ Κύων πεποικιλμένος, ἐξ ὧν καὶ αὐτὸς ἐπιφέρει ἀλλ' οὐ πάντα πεφασμένος· οὐ γὰρ ἐκ μόνων συγκείμενος λαμπρῶν ἀστέρων ἐστίν, ἀλλ' ἔχων καί τινας ἀμυδρούς. εἰκότως οὖν ποικίλος ἐστίν. ἢ ποικίλος διὰ τὸν ἐπ' ἄκρας αὐτοῦ τῆς γένυος ἀστέρα, ὃς ἰδίως Σείριος καλεῖται, παρ' ὅσον σέσηρεν αὐτοῦ τὸ φῶς. καί ἐστι πορφυρίζων ἐκ τοῦ παλμοῦ τῆς λαμπηδόνος. καὶ κατὰ τοῦτο οὖν ποικίλος, κατὰ τὰς τοῦ ἀστέρος μαρμαρυγὰς ὥσπερ πορφυριζούσας.

329. γαστέρα κυάνεος περιτέλλεται: οὐδὲ γὰρ οἱ τὴν γαστέρα αὐτοῦ ἀποτελοῦντες ἀστέρες σφόδρα λαμπροί εἰσιν.

---

1 λέγουσι AAld ‖ 2 λαμπρ. — ἐστί om AAld, sequentia seiunxit A ‖ 3 συνηκολούθει Ald ‖ 5 ποσὶν omisi post φ.: φαίνεται ποσὶν om M, Κύων om A Ald; τὸ δὲ ποσὶν ἀμφ. Ald ‖ 6 βεβηκός A Ald | ἢ om M ‖ 8 τῶν ὀπισθίων om M | νότια om AAld ‖ 9 εἰσιν Ald ‖ 10 πρόδηλον AAld | διὰ om AAld | δίδωσιν post κατάλ. A, post καὶ Ald: om M ‖ 11 βεβηκός A ‖ 12 οἱ π. ἀνατ. οἱ ἐμπρόσθιοι AAld ‖ 13 sequitur p. 409, 2 (οἱ δὲ) 3 A ‖ 14 ποικίλως A ‖ 14, 5 οὐ — ὅτι om M ‖ 14 π. ἀλλ' οὐ π. Ald | τὸ ποικίλος πρ. ὅτι Ald ‖ 15 ὅτε post ἰδεῖν M: omisi | ἰδεῖν ἔχει γὰρ καὶ ἀ. AAld ‖ 17 ὁμοῦ om AAld ‖ 18 δὴ A ‖ 21 ἀστέρων om M | ἐστὶν om Ald | ἀλλὰ A | οὖν om M ‖ 22 ποικίλως A | ὁ post ἢ AM: om Ald ‖ 23 ἰδία Ald ‖ 25 καὶ om A Ald ‖ 25, 6 τὰς ἀστερομαρμαρυγὰς AAld ‖ 27 lemma om AAld | οὐ γὰρ A Ald ‖ 28 αὐτοῦ om A | εἰσιν om A

330. *ὃς ῥα μάλιστα*: *ὅστις. οὗτος ὁ ἀστὴρ ὁ παρακείμενος αὐτοῦ τῇ γένυι ὀξέα καὶ σφόδρα στιλβόντως τὸ φῶς ἀποπέμπει. σειριάει οὖν* (331) *ἀντὶ τοῦ τὸ φῶς ἀφίησι σεσηρότως· οὐ γὰρ ἐν ἑαυτῷ πεπυκνωμένην ἔχει ὁ ἀστὴρ τὴν λαμπηδόνα, ἀλλὰ διαχάσκουσαν καὶ ὡς ἐν παλμῷ οὖσαν. § ἦ ὀξέα σειριάει: πυκνὰς καὶ ἀλλοχρόους ἀφίησι λαμπηδόνας, ποικίλα διαδεικνύμενος χρώματα.*

331. *καί μιν καλέουσι: ἀντὶ τοῦ 'καὶ δὴ ἐκεῖνον τὸν οὕτω λάμποντα ἀστέρα Σείριόν φασι' παρὰ τὸ φῶς αὐτοῦ καὶ τὰ προειρημένα.*

332. *ἅμ' ἠελίωι ἀνιόντι: συνανατέλλει τῶι ἡλίωι ὁ Σείριος, ὅτε γίνεται εἰς τὸν θερινὸν τροπικὸν ἐν τῶι Καρκίνωι περὶ τὸν Ἐπιφὶ μῆνα, ὃς ἐστι κατὰ Ῥωμαίους Ἰούλιος, ὅτε καὶ 'φέρει — πυρετὸν δειλοῖσι βροτοῖσιν'* (Il XXII 31). *τὸ τηνικαῦτα σφοδροῦ γινομένου τοῦ καύματος πάντες οἱ πρόσφοροι καρποὶ πέπειροι γίνονται, φησίν. § τὸ δὲ 'οὐκέτι ἐκεῖνον' (τὸν Σείριον) ἑλληνισμός· οὐκέτι ἐκείνου ἀνιόντος ἅμα ἡλίωι αἱ ἄρουραι ψεύδονται.*

333. *ἀναλδέα φυλλιόωσαι: ἀναυξῆ θάλλουσαι. ἀλλὰ τὰ ἰσχυρὰ καὶ ἀντέχοντα πρὸς τὸ καῦμα [τὸν καρπὸν] πέπειρα ποιεῖ καὶ τὰ ἐξασθενήσαντα διαφθείρει. § τὸ δὲ κείνου καὶ κατιόντος ἀκούομεν* (336) *ἀντὶ τοῦ 'Σειρίου οὐ μόνον τῆς ἀνατολῆς διὰ τὸ καῦμα καὶ τὸν πολὺν ἱπ' αὐτοῦ γινόμενον πυρετὸν αἴσθησιν λαμβάνομεν, ἀλλὰ καὶ δύνοντος αὐτοῦ τῆς ψύξεως αἰσθανόμεθα'· ἑῶιος γὰρ δίεται ὁ Σείριος, ὅτε γίνεται ὁ ἥλιος ἐν τῶι χειμερινῶι τροπικῶι ἐν τῶι Αἰγοκέρωτι, ὅτε σφόδρα ἐστὶ χειμών. § τὸ δὲ ἔρρωσεν* (335) *εὐερνέστερα καὶ ἰσχυρότερα ἐποίησεν.*

336. *οἱ δὲ δὴ ἄλλοι: ἐπειδὴ οὗτος ὁ ἀστήρ ἐστιν ἐν*

---

1 lemma om AAld | *ὁ* alt om M ‖ 1, 2 *περικείμενος* M ‖ 2 *τὴν γέννν* M | *καὶ* om M ‖ 3 *ἀποπέμπων* A | *τὸ* om M ‖ 5—10 *ἦ — προειρημένα* om AAld ‖ 11 *οὐκέτι* Ald, lemma om A; *ἠελίοιο* M ‖ 12 *τὸ* M ‖ 16 *γίγνονται* A | *φησίν* om Ald | *φησὶ γὰρ ὅτι οὐκέτι* A ‖ 17 *ἑλλ. ἐστὶ ἀντὶ τοῦ* Ald | *κείνου* A | *ἡλίου* AM ‖ 17, 8 *ψεύδονται* (αἱ add Ald) *ἄρουραι* AAld ‖ 20 *τὰ μὲν ἰσχ. διανέχονται* Ald | *ἀνέχοντα* A | *τῶν καρπῶν* Ald; an *τ. καῦσον?* | *πέπειρα γίνονται* M ‖ 21 *ἦ* AM | *π. τὰ δὲ ἐξασθ.* Ald | *δ' ἐκείνου* M ‖ 21—28 *ἀκούομεν* (δὲ add Ald) *ἀντὶ τοῦ αἰσθανόμεθα· ἀνατέλλοντος γὰρ αὐτοῦ ἀντιλαμβανόμεθα, καὶ ὅτε τροπὴν* (ποιεῖται add Ald) *καὶ δύσιν, πάλιν γινώσκομεν. ἐπειδὴ* (γὰρ add Ald) *οὗτος* AAld ‖ 29 lemma om A

παντὶ τῶι Κυνὶ ἐπισημότατος, φησίν, ὅτι καὶ ἀνατολῆς καὶ δύσεως αὐτοῦ αἰσθανόμεθα, οἱ δὲ ἄλλοι οἱ τὸ λοιπὸν αὐτοῦ ἀποπληροῦντες σῶμα ἀστέρες ἐλαφροὶ καὶ ἀνεπαχθεῖς εἰσιν ἡμῖν. ὑπὲρ δὲ τοῦ ἀποπληροῦν αὐτοῦ τὸ σῶμά φησι περίκεινται (337).

338. ποσὶ⟨ν⟩ δ' Ὡρίωνος: εὖ καὶ προσηκόντως ἐστὶν ἔχουσα ἡ τῶν ἄστρων θέσις· τῶι γὰρ κυνηγῶι εἰκότως ὁ κύων φρουρὸς πρόσκειται καὶ ὁ ἐν τῆι ἄγραι λαγωὸς παρὰ πόδας τοῦ κυνηγοῦ.

ἄλλως. ὑπὸ δὲ τοῖς ποσὶ τοῦ Ὡρίωνος Λαγωός, ὡς ἂν διωκόμενος ὑπὸ τοῦ Κυνὸς ἤγουν. προανατέλλονται αὐτοῦ παραλλήλως τὰ ἄστρα. § κατηστερίσθαι δὲ αὐτὸν λέγουσιν ὑφ' Ἑρμοῦ διὰ τὴν ταχυτῆτα καὶ τὴν πολυγονίαν. μόνωι δὲ τούτωι ἐδόθη κύειν πολλά, ὧν τὰ μὲν τίκτει, τὰ δὲ ἔχει ἐν τῆι κοιλίαι. Cat p. 254 b
§ τὸ δὲ ἐμμενὲς ἤματα πάντα διώκεται (339) εἶπε πρὸς τὸ ποιητικὸν καὶ χαριεντίζεται ἅμα καὶ πρὸς τὸ διηνεκὲς τῆς φύσεως τοῦ κόσμου καὶ τὸ εἰς ἀεὶ τοῦ κόσμου καὶ τοῦ οὐρανοῦ. φησὶ δὲ 'ὁ Λαγωὸς ἀδιαλείπτως διώκεται'. § τὸ δὲ ἐμμενές διηνεκῶς. σημαίνει δὲ καὶ τὸ αἰώνιον τοῦ κόσμου καὶ ἄφθαρτον.
§ τὸ δὲ μετιόντι (340) διώκοντι κατὰ τὴν γῆν τὸν Λαγωόν· ἔχει γὰρ καὶ τὸ στόμα σεσηρός.

341. καί μιν κατιόντα διώκει: ὥσπερ ἐπικαταφερόμενός ἐστιν εἰς τὸν Λαγωὸν ὁ Κύων. § τὸ δὲ μετιόντι (340) οὐ καλῶς προσέθηκεν, ἐπειδὴ τὰ ὕστερον ἀνατέλλοντα πρότερα δύνει τῶν βορειοτάτων, μάλιστα τὰ πρὸς τὸν νότον κείμενα. καὶ ὁ Τοξότης ἐπανατέλλων τῆι Λύραι πρότερος αὐτῆς ἐπὶ τὴν δύσιν παραγίνεται.

---

1 ἐπισημότερος M | ἀνατολῶν M ‖ 2, 3 (οἱ — ἡμῖν) post v. 327 A (p. 407, 13) ‖ 2 οἱ alt om A ‖ 3 καὶ MAld: δὲ A ‖ 4, 5 περίκεινται Aratus: πρόσκεινται M; ὑπὲρ — πρόσκεινται om A ‖ 6sqq. περὶ τοῦ λαγωοῦ in margine M ‖ 6 λαγωός pro lemmate AAld | ἐστὶν om MAld ‖ 7 ἀστέρων M ‖ 8 πρόσκειται om AAld | ἐν τῆι ἄγραι om AAld ‖ 10 lemma om AAld | οὖν (pro δὲ) Ald ‖ 11 corrupta | κυνὸς ἤγουν M: κυνὸς οὖ AAld | αὐτοῦ om AAld ‖ 11, 2 παραλλήλου M ‖ 12 τὰ AAld: om M ‖ 13 γὰρ Ald ‖ 14 πλείονα AAld ‖ 15 τὸ δὲ M: om AAld | ἤματα πάντα AAld: om M | διώκεται M: om AAld ‖ 16 post lemma Ald ποιητικῶς χαριεντιζόμενος ἅμα Ald ‖ 17 καὶ τὴν εἰσαεὶ Ald ‖ 17, 8 ἀεὶ τοῦ οὐρανοῦ διαμένειν φ. δὲ A, ἀεὶ τ. οὐρ. διαμονὴν ἀποβλέπων φησὶν Ald ‖ 19 σημαίνοι M, συμβαίνει Ald | καὶ prius om Ald ‖ 20, 1 τὸ — σεσηρός om AAld ‖ 21, 2 coniunxit A ‖ 22 γὰρ post ὥσπερ Ald ‖ 22, 3 καταφερόμενος AAld | ὡς post κατ. A ‖ 23 ἐστιν post Λ. AAld | μετιόντα M ‖ 23—27 (τὸ — παραγ.) om AAld ‖ 25 τὸν νότον cum primitus scripsisset τῶ νότω M

342. *ἡ δὲ Κυνὸς μεγάλοιο*: *τὸ μεγάλοιο ὡς πρὸς ἀντιδιαστολὴν τοῦ μικροῦ Κυνός, ὃς καλεῖται Προκύων διὰ τὸ καὶ πρὸ τοῦ Σειρίου ἀνατέλλειν. περὶ ὃν μικρὸν Κύνα ἐπίκειται καὶ ὁ γαλαξίας. ὁ δὲ νοῦς· ὄπισθεν δὲ τοῦ Σειρίου Κυνός ἐστιν ἡ Ἀργὼ καὶ ἐπιψαύει τῆς οὐρᾶς αὐτοῦ. αὕτη δὲ ἡμίτομος φαίνεται ἐν τῶι οὐρανῶι, ἤτοι οὕτως ἔχουσα θέσεως, ἢ ὅτι [τὰ περὶ] τὴν πρῶιραν ἔχει προνενευκυῖαν καὶ προπλέουσαν, εἴγε ἐν τῆι Ὀρθογραφίαι περὶ τοῦ προσκειμένου ῑ τῶι ῶ λέγων ὁ Ἡρωδιανὸς παρετυμολογεῖ* (II 1 p. 410 L.), *πρόιραν αὐτὴν εἰπὼν παρὰ τὸ προϊέναι καὶ προπορεύεσθαι. ἐπεὶ οὖν τὴν πρῶιραν οὐκ ἔχει ἡ Ἀργώ, φησίν, ὅτι πρὸς τὸ ἐναντίον πρυμνόθεν ἕλκεται* (343, 2) *ἤτοι ὄπισθεν φέρεται. καὶ αὕτη δὲ ἡ τοῦ ποιητοῦ λέξις ἔχει τινὰ ἔμφασιν· πρὸς τὸ βίαιον γάρ φησιν ἕλκεται.*

344. *ἀλλ' ὄπισθεν φέρεται*: *ἡ Ἀργὼ κατ' οὐρὰν ἕλκεται τοῦ Κυνός· φέρεται γὰρ ὡς ἐπὶ πρύμναν ὁμοίως ταῖς καταγομέναις τῶν νηῶν· καὶ γάρ ἐστιν ἡμίτομος.* § *τὸ δὲ ἕλκεται* (342) *ἴσως μέν, ὅτι σκάφος, μᾶλλον δὲ ὑπὸ τοῦ οὐρανοῦ περιάγεται. οὐκ εἰς δέον δὲ (φησίν) ἐστὶν αὐτῆς ὁ πλοῦς, ὅτι μὴ ἐπὶ πρῶιραν, ἐπὶ πρύμναν δὲ φέρεται.* § *κορώνην δὲ* (345) *τὸ τῆς πρύμνης ἐπικαμπές. ὁ δὲ Ἄρατος λέγει τὴν πρύμναν αὐτήν* (343). *ὅθεν καὶ Ὅμηρος* (passim) *κορωνίδας ναῦς.*

ἄλλως. ὄπισθεν φέρεται: *ἀλλ' εἰς τὸ ἐναντίον φέρεται ὡς ἐπὶ τὴν πρύμναν τραπεῖσα, ὥσπερ καὶ αἱ ἄλλαι νῆες ἐπὶ τὴν πρύμναν στρέφονται, ὅταν μόνον προσορμίζωνται, ἵν' ᾖι 'ἡ δὲ πρύμνα ὡς ἐπὶ γῆν ἐν τῶι ὅρμωι εἰσάγεται'. ὅθεν καὶ*

---

1 *ἡ δὲ Κ. κατ' οὐρὴν μεγάλοιο πρὸς* Ald | *μεγάλοιο τὸ μεγάλοιο* om A ‖ 2 *τοῦ μεγάλου Κ.* A ‖ 3 *ὃν τὸν μ.* Ald | *μικρὸν Κύνα* om A ‖ 4 post *γαλ.* A *εἰς τὸν μικρὸν κύνα* ‖ 4 sqq. *περὶ τῆς ἀργοῦς* in margine M ‖ 4 *Κυνός* MAld: *ὃς* A ‖ 5 post *Ἀργὼ* (omisso *ἐστιν*) AAld *φαίνεται*; deinde *ἢ τοιούτως ἔχουσα θ.* A | *οὐραίας* M ‖ 5—10 *οὐκ ἔχουσα τὴν θέσιν κατὰ τὴν φύσιν, ἐπειδὴ αὐτὴν πρῶιραν ἔχει προνενευκυῖαν καὶ πρ., ὥσπερ ὤφειλεν· διὰ γὰρ τοῦτο καὶ πρῶιρα καλεῖται κατὰ Ἡρωδιανὸν ἐτυμολογοῦντα αὐτὴν παρὰ τ. πρ. τὸ πρ., πρώϊρά τις οὖσα καὶ πρῶιρα προσγεγραμμένον ἔχουσα τὸ ῑ. ἐπεὶ οὖν* Ald ‖ 7 seclusi cf Ald | *πρώραν* M | *προσνενευκυῖαν* A | *προσπλέουσαν* A ‖ 8 *προκειμένου* A | *τὸ ῶ* A ‖ 9 *ὁ* om M | *πρώιραν* AM Ald ‖ 12 *ἤτοι — φερ.* om M | *αὐτὴ* M ‖ 12, 3 *καὶ — ἕλκεται* om AAld ‖ 14 lemma om Ald ‖ 14, 5 *ἡ ἀργὼ περὶ πρύμναν ὁμ.* Ald ‖ 15 *τοῦ Κυνός* om A | *γὰρ περὶ* A, cf Ald ‖ 16 *νηῶν περὶ πρύμναν καὶ* Ald | *γάρ* om AAld ‖ 17 *ἴσως ὡς σκ. ἢ ὅτι ὑπὸ* AAld ‖ 18 *ἐστὶν* om AAld ‖ 18, 9 *πρώραν* AM ‖ 19 *κορώνη* A Ald ‖ 21 *καὶ* om AAld ‖ 22 lemma om AAld | *ἡ εἰς τοὺν.* Ald | *εἰς τὸ ἐν. φ.* om A ‖ 23 *αἱ* om Ald ‖ 24 *μόνον* om Bekker ‖ 25 *ὅρμω* M: *οὐρανῶ* AAld

τὰ πρυμνήσια δεσμοί εἰσιν. ὅπερ οὖν κατά τινα καιρὸν αἱ ἄλλαι ἔχουσι, τοῦτο αὕτη δι' ὅλου διὰ τὸ μὴ ἔχειν τὴν πρῶιραν.

345. ἐπιστρέψωσι κορώνην: αὐτὸ τὸ τῆς πρύμνης ἀκροστόλιον· παρὰ γὰρ τὸ ἐπικαμπές. ὁ δὲ νοῦς· ὥσπερ καὶ αἱ ἄλλαι νῆες, ἐπειδὰν οἱ ναῦται ἐπιστρέψωσι τὴν κορώνην καὶ τὴν πρύμναν ἐν τῶι ὁρμίζεσθαι. § τὸ δὲ ⟨τὴν δὲ —⟩ πᾶς ἀνακόπτει (346) τὴν δὲ εἰσορμιζομένην πᾶς τῶν ναυτῶν [ἀνακόπτει δὲ] ἀνωθεῖ εἰς τὸ ἐναντίον καὶ ἀνακρούει, ἵνα μὴ ὁρμῆι χρησαμένη ἡ ναῦς ἀθρόως ἐμπέσηι τῆι γῆι. εἰς τοὐπίσω οὖν ἠρέμα κωπηλατοῦντες κατ' ὀλίγον αὐτὴν προσορμίσαι ποιοῦσιν. διὸ καὶ αὐτός φησι (347) παλιρροθίη δὲ καθάπτεται ἠπείροιο ἡ εἰς τὸ ἐναντίον κωπηλασία. ἀνακρουομένη δὲ καθορμίζεται τῆι ἠπείρωι. § ἣ ἀνακόπτει (346) ἐπέχει τοῦ πρόσω δρόμου καὶ εἰς τοὐναντίον βιαζόμενος ἄγει. § ἠερίη δὲ (349) ἀντὶ τοῦ ἀμαυρά. § καὶ ἀνάστ⟨ε⟩ρος ἡ ναῦς: καὶ ἀλαμπής.

348. ὣς ἥ γε πρύμνηθεν Ἰησονίς: ὡς Ἰάσονος σκάφος. § αὕτη δὲ κατηστερίσθη διὰ τὴν Ἀθηνᾶν, ὅτι πρώτη ναῦς ἐδείχθη παρ' αὐτῆς. § ἀλλ' εἰς τὸ ἐναντίον φέρεται (344). Cat p. 255 b sq.

351. καί οἱ πηδάλιον: παρηιωρημένον τὸ πηδάλιον κεῖται παρὰ τοῖς ὀπισθίοις ποσὶ τοῦ Κυνός, ὅστις Κύων τῆς Ἀργοῦς ἔμπροσθεν πορεύεται.

ἄλλως. κεχάλασται γὰρ τὸ πηδάλιον, ὡς ὁρμίζονται αἱ νῆες. ⟨ἤ⟩ ἐπειδὴ πρύμναν ἔχει μόνην καὶ ὥσπερ δι' ὅλου εἰσορμιζομένη ἐστίν. § ἐπ' ἄκρου δὲ τοῦ πηδαλίου κεῖται μέγας ἀστὴρ ἐπώνυμος τοῦ Κανώβου τοῦ κυβερνήτου Μενελάου. οὐ μνημονεύει δὲ τοῦ ἀστέρος ὁ Ἄρατος· οὐδὲ γὰρ κατὰ τοὺς περὶ τὴν Ἑλλάδα τόπους, οὐδὲ τοὶς ἔτι βορειοτέρους ἐπέχει τόπους, Posidonius (Aratea p. 368)

---

1 *δεσμοί εἰσιν* scripsi: *δεσμοῦσιν* AMAld ‖ 1—4 *ὅπερ — νοῦς* om A Ald ‖ 2 *πρώραν* Ald ‖ 4 ante *ὥσπερ* pro lemmate *οἷα καὶ αὐταὶ νῆες* A | *καὶ* om A ‖ 4, 5 *καὶ γὰρ καὶ ἐπὶ τῶν ἄλλων νηῶν ἐπειδὰν* Ald ‖ 5 *ἀποστρέψωσι* AAld | *ἤγουν τὴν* Ald ‖ 6 *πρύμνην* AAld ‖ 6—8 *τότε πᾶς αὐτὴν τὴν ναῦν ἀνακόπτει καὶ ἀνορθοῖ εἰς τὸ ἐν., ἵνα* Ald ‖ 7, 8 *τὴν — δὲ* om A ‖ 8 *ἀνορθοῖ* AAld | *καὶ ἀνακρούει* om AAld | *ὁρμὴ* Ald ‖ 10 *αὐτὴν* om AAld ‖ 11 *καθάπτεται ἠπ.* om M ‖ 12 *τῆι* (*ἤγουν τῆι* Ald) *εἰς τοὐν.* AAld | *ἀνακρ. δὲ* om AAld ‖ 13, 4 *ἣ — ἄγει* om AAld ‖ 15 *ἀμαυρὰ καὶ* om AAld | *ἡ ναῦς* om M | *καὶ ἀλαμπής* om AAld ‖ 16 *Ἰησονίς* om A, lemma om Ald | *Ἰησονὶς δὲ ἡ ναῦς τοῦ Ἰάσονος* Ald ‖ 17 *κατηστερίσθη δὲ αὕτη* Ald ‖ 18 *τοὐν.* Ald ‖ 20 *ὅτι ὁ Κ.* AAld ‖ 22 *ἄλλως* om Ald | *δὲ* (pro *γὰρ*) Ald ‖ 22, 3 *π. αὐτῆς ὥσπερ ὁρμιζομένης νηὸς ἐπ.* Ald | *αἱ ναῦς* M ‖ 23 supplevi | *ὡς τὴν δι'* A ‖ 24—p. 412, 4 (*ἐπ' — ἀνιοῦσιν*) om AAld

ἀλλ' ἔστιν ἀφανὴς ὑπὸ γῆν φερόμενος, φαίνεται δὲ πρῶτον ἀπὸ Ῥόδου τοῖς ἐπ' Αἴγυπτον πλέουσι καὶ τοῖς ἤδη καταίρουσιν, ἔτι μᾶλλον τοῖς διὰ τοῦ Νείλου πρὸς Αἰθίοπας ἀνιοῦσιν.

353, 4. *τὴν δὲ καὶ οὐκ ὀλίγον περ —: διαλαμβάνει περὶ τοῦ Κήτους, ὃ ὁ Ποσειδῶν ἔπεμψε τῶι Κηφεῖ, καὶ περὶ τῆς Ἀνδρομέδας, καὶ διδάσκει αὐτὸ τὸ Κῆτος ἀπό τινων προεγνωσμένων, τοῦ τε Κριοῦ καὶ τῶν Ἰχθύων. ὁ δὲ νοῖς· τὴν δὲ Ἀνδρομέδαν καίπερ πολὺ πόρρω τοῦ Κήτους οὖσαν ὅμως ἐκφοβεῖ. § πεπτηνῖαν δὲ ἤτοι ὡς πρὸς τὸ δεδέσθαι, ἑτοίμην οὖσαν τῶι Κήτει, ἢ ὅτι ἔμφασιν παρέχει τοῦ δέους· ἀπεστράφη γὰρ καὶ οὐκ ἀφορᾶι πρὸς τὸ Κῆτος, ἐπὶ τὰ βόρεια τὴν ὄψιν φέρουσα.*

355. *ἡ μὲν γὰρ Θρῄκιος: τὸ διάστημα τοῦ Κήτους καὶ τῆς Ἀνδρομέδας φησίν· ἡ μὲν γὰρ Ἀνδρομέδα βόρειός ἐστι, τὸ δὲ Κῆτος πόλεμον αὐτῆι φέρει. ὅπερ 'αἰθέριον' (390. 720) εἶπεν ὁ Ἄρατος, εἰς τὰ νότια ὂν κάτω τοῦ Κριοῦ καὶ τῶν Ἰχθύων ἀμφοτέρων, ὀλίγον ἄνω κείμενον τοῦ ἀστερώδους Ποταμοῦ· ἔστι γάρ τι σύστημα νεφελῶδες ἐξ ἀστέρων, ὕδατος ῥύσιν μιμούμενον, ὅπερ φησὶν Ἠριδανοῦ εἶναι λείψανον (360) — καὶ γὰρ ἐκεραυνώθη μετασχὼν τοῦ κεραυνοῦ τοῦ Φαέθοντος — εἰς αὐτὸν γὰρ κατηνέχθη* Hyg II 42 p. 79 al *ὁ Φαέθων ὑπὸ Διὸς καταφλεχθεὶς διὰ τὸ ἐπιβῆναι τῶι τοῦ Ἡλίου ἅρματι. πολυκλαύτου δὲ (360) εἶπεν, ὅτι αἱ Ἡλιάδες παρὰ ταῖς τοῦ Ἠριδανοῦ ὄχθαις ὀδυρόμεναι τὸν ἀδελφὸν εἰς αἰγείρους μετεβάλοντο, ὅπου αὐτῶν καὶ τὸ δάκρυον ἤλεκτρον ποιεῖ.*

359. *οἷον γὰρ κἀκεῖνο: θαυμαστικῶς ἐδέξατο ἐκ τοῦ Κήτους διδάξαι τὸν παρακείμενον Ποταμόν. καὶ τὸ μὲν Ἠριδανοῦ καλούμενον λείψανον (360) ὑπὸ τὸν τοῦ Ὡρίωνος κεῖται ἀριστερὸν πόδα, οἱ δὲ οὐραῖοι δεσμοὶ τῶν Ἰχθύων, οἷς ἀμφότεροι δέδενται, συμπεριφέρονται καὶ ἐπιψαύουσι τῆς τοῦ Κήτους ἀκάνθης· ἡ γὰρ τοῦ θηρίου ἄκανθα ἡ περὶ τὴν οὐρὰν*

---

5 *πεπτηνῖαν Ἀνδρομέδα(η Ald)ν* pro lemmate AAld ‖ 6 *ὁ* om Ald ‖ 6, 7 *ἀνδρομέδης* Ald ‖ 8 *ἀνδρομέδην* Ald ‖ 10 *πρὸς τὸ δεδέσθαι* Bekker: *ὡς προσδεδέχθαι* libri ‖ 10, 1 *τῶ κήτει* AAld: *τὸ κῆτος* M ‖ 11 *περιέχει* Ald ‖ 12 *δὲ* post *ἐπὶ* AAld | *φέρει* Ald ‖ 14 *ἀνδρομέδης* Ald | *φασὶν* M | *ἀνδρομέδη* Ald ‖ 15 *πολέμιον* Ald | *τῆ ἀνδρομέδα* omisso *φέρει* AAld | *αἰθέριον* scripsi: *θηρίον* libri ‖ 15, 6 *ὁ Ἄρατος* om AAld ‖ 16 *τὸ κῆτος* post *Ἄρ.* M: om AAld ‖ 17 *ὀλίγοι* A | *κείμενα* A ‖ 22–25 om AAld ‖ 26 *οἷον* MAld ‖ 27 *παρακείμενον* Bekker: *περικείμενον* AMAld ‖ 31 *ἀκάνθη* alt AAld

σεληνοειδὴς οὖσα ἄκρως ἐπιψαύει ἀμφοτέρων τῶν δεσμῶν, οἷς καὶ αἱ τῶν Ἰχθύων οὐραὶ δέδενται. § ἔστι δὲ ὁ Ἠριδανὸς τῆς γειτνιώσης τῇι Ἰταλίαι θαλάσσης τῆς Γαλατίας, καλεῖται δὲ ὑπὸ τῶν ἐγχωρίων Βόχερσος. Αἰγύπτιοι δέ φασι Νεῖλον εἶναι τὸν κατηστερισμένον. Cat? Cat p. 259 b 12 sqq.

364. Κητείης δ' ὄπιθεν λοφιῆς ἀναμὶξ φορέονται: περὶ τῶν δεσμῶν τῶν Ἰχθύων διαλέγεται. ὄπιθεν δὲ τῆς τοῖ Κήτους λοφιᾶς ἀναμὶξ ὁρῶνται οἱ δεσμοὶ εἰς ταύτην περατούμενοι, καὶ εἰς τὸ τέλος ἔρχονται οἱ δεσμοί. § τὸ δὲ ὃς κείνου — (366) ἀντὶ τοῦ ὅστις ἀστὴρ τοῦ προειρημένου Κήτους ἐπ' ἄκραν κεῖται ἄκανθαν· τὸ γὰρ τῶν δεσμῶν τέλος ἕως τῆς ἀρχῆς τῆς οὐρᾶς τοῦ Κήτους· ὁ γὰρ ἐπὶ τῆς ἀκάνθης ἀστὴρ τέλος ἐστὶ τῶν δεσμῶν τῶν Ἰχθύων.

367. οἱ δ' ὀλίγωι μέτρωι: μέτρωι λέγει τῶι μεγέθει. σμικροὶ δὲ καὶ ἀμυδροί. φησὶ δὲ περὶ τῶν νοτίων ἀστέρων τῶν μεταξὺ τοῦ πηδαλίου καὶ τοῦ Κήτους διηκόντων κατὰ τῶν τοῖ Λαγωοῦ πλευρῶν. οὗτοι δὲ οἱ ἀστέρες παρὰ τῶν παλαιῶν ἀστρονόμων οὐ διετυπώθησαν οὐδὲ εἰδωλοπεποίηνται, ὥσπερ ἅπαντα τὰ προειρημένα, ἀλλ' ἐπειδὴ ἀφανεῖς εἰσιν ὄντες σφόδρα νότιοι καὶ ἡμῖν οὐκ εὐσύνοπτοι, διὰ τοῦτο οὐδὲ τυπώσεως ἔτυχον παρὰ τῶν παλαιοτέρων. οὕτω δὲ αὐτοὺς ψιλῶς μνημονεύει ὑπὲρ τοῦ μή τινα ἐν τοῖς νοτίοις τούτους τοὺς ἀστέρας θεασάμενον πλανηθῆναι. τίνες οὖν οὗτοί εἰσιν οἱ ἀστέρες, οὐ λέγει, ἀλλὰ προδιδάσκει, ὅτι μάτην φέρονται. εἰσὶ δὲ οἱ νοτιώτεροι ἀστέρες ἀμυδροί. τίνος ἕνεκεν; ὅτι προσγειότεροί εἰσι τῶν βορείων, αἱ δὲ τῆς γῆς ἀναθυμιάσεις ἀναδιδόμεναι ἀμαυροῦσι τοὺς ἀστέρας.

ἄλλως. οἱ δ' ὀλίγωι μέτρωι: μεταξὺ δὲ τοῦ Κήτους καὶ τοῦ πηδαλίου εἰσὶν ἀστέρες ἔν τε ὀλίγωι χωρίωι καὶ οὐ πάνυ ἐμφανεῖς ὑπὸ τῶι Λαγωῶι κείμενοι. § γλαυκοῦ δὲ (369)

---

3 τῆς Γαλατίας om AAld ‖ 4 βόχερνος AAld ‖ 6 λοφιῆς — φορέονται om M ‖ 7,8 περὶ — ὁρῶνται om AAld ‖ 8 δηλαδὴ post δεσμοὶ Ald ‖ 9 ἐρχόμενοι τὸ Ald ‖ 10—12 ἐπ' — Κήτους om A, ὅ. ἀ. ἐπίκειται τῇι ἀκάνθηι τοῦ πρ. Κ. ὁ γὰρ Ald ‖ 14 μέτρον λ. τὸ μέγεθος Ald ‖ 14,5 λέγει οὖν, ὅτι μικροί εἰσι καὶ Ald ‖ 15 μικροὶ A ‖ 18 εἰδωλοπεποίηνται corr Bekker: εἰδώλοις πεποίηνται AMAld ‖ 20 καὶ — εὐσύνοπτοι om AAld | οὐ τ. AAld ‖ 21 ἔλαχον AAld | αὐτῶν Ald ‖ 22 τινας AAld ‖ 23 θεασαμένους AAld | οὗτοι post ἀστέρες AAld ‖ 24 διδάσκει Ald | λέγονται A ‖ 24,5 ἀμ. δέ εἰσιν οἱ νοτ. ἀστ. Ald | νοτιώτατοι A ‖ 25 τίνος ἕν. om Ald | ἐπειδὴ Ald | περιγειότεροι M ‖ 26 διδόμεναι A, διδώμεναι Ald ‖ 28—414,6 M: om AAld

εἶπεν ἤτοι ἀναφέρων ἐπὶ τὸ ζώιδιον ἢ καὶ τὸν τοῦ οὐρανοῦ τόπον, ἐν ὧι ὁ Λαγωός, οὐ πάνυ εὐάστερον ὄντα, χρῶμα δὲ καὶ μόνον οὐρανοῦ παρεχόμενον οἷον γλαυκίζον· οὐδὲν γὰρ εἴδωλον ἐξ αὐτοῦ μεμόρφωται, οἷα δὴ τὰ κατὰ τὸν ἄλλον οὐρανὸν φέρεται. τὰ μὲν οὖν πλεῖστα τῶν ἄστρων διετυπώθη, οἱ δὲ ὑπὸ τὸν Λαγωὸν ἀερώδεις τέ εἰσι καὶ ἀνώνυμοι.

370 sqq. *νώνυμοι —: οὐ γὰρ μορφωθέντος εἰδώλου ἐπὶ τοῖς μέλεσι κεῖνται, ὁποῖα πολλὰ εἴδωλα, τὰ προειρημένα, πάντα ἐφεξῆς καὶ κατὰ τάξιν κείμενα ἀνύει τὰς αὐτὰς ὁδοὺς ἐπιγιγνομένων τῶν χρόνων. ἐδίδαξεν οὖν ἡμᾶς, ὅτι εἰδωλοποίησαν οἱ παλαιοὶ τοὺς ἀστέρας ὑπὲρ τοῦ εὐσυνόπτους εἶναι. οὗτοι μέντοι οὐκ εἰδωλοποιήθησαν, ὡς τὰ προειρημένα.* § *τὸ δὲ ἐξείης στιχόωντα* (372) *ἐφεξῆς καὶ κατὰ τάξιν κείμενα, τὰ προειρημένα εἴδωλα.*

οὐ γὰρ τοί — τετυγμένου: οὐ γὰρ οὗτοι οἱ ἀστέρες ἐοικότες εἰσὶν ἀστράσι τοῖς ἐν τοῖς μέλεσι [βεβλημένοις] τῶν εἰς εἴδωλον βεβλημένων.

372. *αὐτὰ κέλευθα: περὶ τῶν λοιπῶν διαλέγεται ἀστέρων, ὅτι ἕκαστον αὐτῶν τὰς αὐτὰς ὁδοὺς καὶ περιφορὰς ἔχει· ἀφ' οὗ γὰρ ἂν σημείου τοῦ ὁρίζοντος ἀνατείλῃ ὁ Αἰγόκερως, πάλιν ἀνατέλλων ἐξ ἐκείνου τοῦ σημείου ἀνατέλλει, καὶ εἰς οἷον μέρος ἂν δύσιν ποιήσηται, πάλιν δυόμενος οὐκ εἰς ἕτερον μέρος δύσεται ἀλλ' εἰς τὸ αὐτό. τὸ δὲ αὐτὸ τοῦτο καὶ ἐπὶ πάντων· ἕκαστον γὰρ κατὰ τῶν αὐτῶν σημείων ἀνατέλλει τε καὶ δύνει.*

373. *τά τις ἀνδρῶν οὐκέτ' ἐόντων —: τὰ εἴδωλα τῶν οὐκέτι ὄντων ἀνδρῶν [ἀλλὰ] παλαιὸς ἀνὴρ ἐσκέψατο καὶ διενοήθη ἅπαντα ἀθρόα καὶ ὁμοῦ μορφῶσαι καὶ ὄνομα ἑκάστωι θέσθαι· οὐ γὰρ ⟨ἂν⟩ ἠδυνήθη πάντων τῶν ἀστέρων καθ' ἕνα διακρίνων*

---

3 *παρεχόμενον* corr Bekker: *παρερχόμενον* AMAld ‖ 7 *οὐ γάρ τοι* (*γε* add Ald) *τετυγμένου* pro lemmate AAld ‖ 8 *κεῖνται* om AAld ‖ 9 *πάντα* om M ‖ 10 *ἐπιγινομένων* A ‖ 12 *δὲ οὐκ* AAld | *εἰδολοποιήθησαν* M | *καὶ* post *ὡς* M: om AAld | *εἰδωλοποιήθησαν* post *προειρ.* iterum M: om A Ald ‖ 12—17 (*τὸ — βεβλημένων*) om AAld ‖ 16 seclusi ‖ 18 *ἐξείης στιχόωντα* pro lemmate AAld | 20 *ὁ Αἰγ. ἀνατέλλει* (*-η* Ald) AAld ‖ 21 *ἀνατέλλων* scripsi: *δύνει καὶ* AM; *εἰς ἐκεῖνο πάλιν τὸ σημεῖον ἀνατέλλει, καὶ εἰς οἷον ἂν μέρος* Ald ‖ 22 *ἂν* Ald: *ἐὰν* M, om A ‖ 23 *δύεται* M | *ἀλλ' εἰς τὸ αὐτό* om AAld ‖ 24 *τὰ αὐτὰ σημεῖα* AAld | *τε* om AAld ‖ 27 *ἀλλὰ* om Ald; seclusi | *τις* post *παλ.* Ald ‖ 28 *μορφῶσα* A, *-ώσας* Ald | *τὸ ὄν.* A | *θέσθαι ἑκάστω* A | *θεὶς* Ald ‖ 29 supplevi ex Arato | *ἄστρων* A

ὄνομα εἰπεῖν ἢ μαθεῖν, ἀλλ᾽ ἀπὸ πολλῶν Κηφέα ⟨καὶ⟩ Λέοντα καὶ Τοξότην εἰπὼν καὶ τἆλλα πάντα διετύπωσε καὶ προσηγορίαν πάσηι τῆι διατυπώσει δέδωκε, Τοξότην εἰπὼν καὶ Λέοντα καὶ τὰ ἑξῆς. ἐδίδαξε δὲ ἡμᾶς, καὶ πῶς εἰδωλοποιήθησαν καὶ δι᾽ ἣν αἰτίαν.

375. *οὐ γάρ κε δυνήσατο πάντων: πολλοὶ γὰρ ἀστέρες κατὰ πᾶν μέρος τοῦ οὐρανοῦ καὶ πολλῶν ἴσα τὰ μεγέθη εἰσὶ καὶ τὸ φῶς, καὶ αἱ χρόαι ὅμοιαι καὶ πάντες εἰσὶν ἀμφιέλικτοι* (378), *οἷον συμπεριφερόμενοι τῶι οὐρανῶι, ἀνατέλλοντές τε καὶ δύνοντες. ἐπεὶ οὖν πολλά εἰσι τὰ ὁμοιούμενα αὐτῶν, οὐκ ἠδύνατο ἰδίως καὶ καθ᾽ ἕνα σκοπεῖν. διὸ καὶ ἐπὶ τὸ αὐτὸ ἀθρόως ἔδοξεν αὐτῶι συναγαγεῖν πλείους ἀστέρας εὐεπίγνωστον τὸ σχῆμα ἀπεργαζομένους.*

379 sqq. *τῶι καὶ ὁμηγερέας —: διὰ ταύτην, φησί, τὴν αἰτίαν αὐτῶι τῶι ἐξ ἀρχῆς τὴν διατύπωσιν ποιησαμένωι ἔδοξεν ὁμηγερέας καὶ ἅμα πλείονας ποιήσασθαι καὶ διατάξαι ἀστέρας, ὅπως ἐφεξῆς καὶ κατὰ τάξιν ἄλλωι παρακείμενος ἄλλος ἰδέας καὶ μορφώσεις ἀποτελοίη. εὐθέως οὖν ἐγένετο τὰ εἴδωλα τὰ προειρημένα ταῦτα τὰ παρ᾽ ἐκείνου μορφωθέντα ὀνομαστά. καὶ νῦν οὐκέτι ἐν θαύματι ἀνατέλλει ἀστὴρ οὐδὲ ξενίζει τῆι καινότητι τῆς ὄψεως· πάλαι γὰρ τὴν ὄψιν αὐτοῦ ἔσχομέν τε καὶ ἔγνωμεν.*

381. *εἴδεα σημαίνοιεν: τοῖς προειρημένοις εἰδώλοις. ἢ οὐδετέρως εἶπε τὰς ἰδέας αὐτῶν. § τὸ δὲ ἄφαρ ... οὐ γὰρ ἠδύνατο πάντων ἰδίαι καὶ καθ᾽ ἕνα κεχωρισμένων ὄνομα ἐπιθεῖναι, οὐδὲ μαθεῖν ἕκαστον καὶ γνῶναι οὕτω καθ᾽ ἕνα πολλῶν ὄντων δυνατὸν ἦν.*

383. *ἀλλ᾽ οἳ μὲν καθαροῖς: ἐπὶ τὰ ἐφεξῆς κατὰ τάξιν*

---

1 *κηφέως* A | suppl Bekker ‖ 1, 2 *λέγει καὶ* AAld ‖ 2 *δὲ* post *εἰπὼν* Ald ‖ 4 *δὲ* om Ald | *εἰδολοποιήθησαν* M ‖ 5 *χρείαν* AAld ‖ 6 *ἤλιθα μορφώσας* pro lemmate AAld | *πάντα* M ‖ 7 *ἴσα* AAld: *ἴσαι* M ‖ 8 *αἱ* om M | *πάντα* AAld ‖ 9 *συμπεριφερόμενα* A ‖ 9, 10 *ἀνατέλλοντα* A ‖ 10 *δύνοντ* A | *ἐστι* AAld ‖ 11 *αὐτῶν* AAld: *ἑαυτοῖς* M | *ἓν* A ‖ 12 *ἀθρόως* om AAld | *αστέρας πλείους* AAld ‖ 13 *ἀπεργαζόμενος* M ‖ 14 *τῶ* A ‖ 15 *αὐτοῖς τοῖς — -οις* Ald | *ποιησάμενος* A ‖ 16 *ὁμηγερέας* Ald: *-ες* AM ‖ 19 *ἐκείνω* Ald ‖ 20 *καινίζει* AAld ‖ 21 *αὐτοῦ* om A | *ἔχομεν* Ald ‖ 24 *αὐτοῦ* A | lacunam signavit Bekker ‖ 25 *πάντα* A | *κεχωρισμένον* AMAld: correxi ‖ 25, 6 *ὀνομάσαι* Ald ‖ 26, 7 *πολλῶν* om A | *οὕτω μεμιγμένων ὄντων δ. ἦν* Ald ‖ 28 *καθαροῖσι* AAld | *τὸ* AAld | *ἑξῆς* Ald; *ἐπὶ τὰ ἐφεξῆς* om Bekker

ἦλθε λοιπὸν εἰς τὸ προκείμενον. 'ἀλλ' οἱ μὲν προειρημένοι πάντες ἀστέρες εὐσύνοπτοι εἰδώλοις ἡρμοσμένοι ἡμῖν φανεροί εἰσι, τὰ δὲ προκείμενα ἄστρα κατωτέρω κείμενα τοῦ ἐπιδιωκομένου Λαγωοῦ (εἴπομεν δέ, πῶς διάκεινται [p. 413, 15 sqq.]) *πάντα ἐστὶ σκοτεινὰ καὶ ἀνονόμαστα'· οὐ γὰρ μορφωθέντα ὀνομασίας ἔτυχεν, ἀλλ' ἀχλυώδη ὄντα διὰ τὸ εἶναι νότια καὶ ἀπροσηγόρευτά ἐστιν. δι' ἣν δὲ αἰτίαν μέμνηται μόνων αὐτῶν, προεξεθέμεθα* (ad v. 316, cf ad v. 386).

386. *νειόθι δ' Αἰγοκερῆος*: *διαλαμβάνει περὶ τοῦ καλουμένου Νοτίου Ἰχθύος καὶ τοῦτον πάλιν ἀπὸ τῶν προεγνωσμένων διδάσκει, ἀπὸ τοῦ Αἰγοκέρωτος ἐν ταῖς τοῦ νότου πνοαῖς· σφόδρα γὰρ νοτι⟨ώτερ⟩ός ἐστι καὶ τοῦ Αἰγόκερω ὁ*
Cat p. 261 b *Ἰχθύς. § οὗτος δέ ἐστιν ὁ Ἰχθὺς ὁ Μέγας καλούμενος, ὃν κάπτειν λέγουσιν ὕδωρ ἀπὸ τῆς τοῦ Ὑδροχόου ἐκχύσεως. τούτου δὲ ἐκγόνους καὶ τοὺς δύο Ἰχθύας εἶναι λέγουσιν* (cf p. 224 b).

387. *ἐς Κῆτος τετραμμένος*: *τὴν γὰρ ὄψιν ἐπὶ τὸ Κῆτος ἀφορῶσαν ἔχει. δύο οὖν δίδωσι τεκμήρια, τῆς καταλήψεως ἀπὸ τοῦ Αἰγόκερω, τῆς δὲ θέσεως τῆς ποιᾶς ἀπὸ τοῦ Κήτους. § τὸ δὲ αἰωρεῖται ἤτοι ἁπλῶς φέρεται. ἢ τὸ κυριώτερον, ἐπειδήπερ ἐπὶ νότον ἐστὶ καὶ ἄνω αἰωρουμένην καὶ μετεωριζομένην ἔχει τὴν ὄψιν ὡς ἐπὶ τὸ Κῆτος.*

388. *οἷος ἀπὸ προτέρων*: *σφόδρα ἀκριβῶς. ἵνα μὴ περὶ Ἰχθύος διαλαβὼν σφόδρα πλανᾶι τὸν ἀκούοντα, ὡς πρὸς τοὺς προειρημένους παρατηρήσας φησὶ τὸ οἷος ἀπὸ προτέρων, τῶν προειρημένων ἐν τῶι ζωδιακῶι κύκλωι. § καλοῦσι δὲ καὶ τὸν Ἰχθὺν Νότιον ἀπὸ τῆς θέσεως, ἢ ὅτι πρὸς τὸν νότιόν ἐστι κύκλον.*

1, 2 *πρ. πῶς εἰσιν ἀ.* A ‖ 2 *εὐσυνόπτως* Ald | *ἡρμοσμένοις* A | *καὶ ἡ.* Ald | *φανεροί* om M ‖ 3 *κατωτέρου κειμένου* A ‖ 4 *εἴπωμεν* A | *διώκεται* A ‖ 5, 6 *ὀνομασίαν ἔσχεν* A ‖ 9, 10 *διαλαμβάνει* post *Ἰ.* AAld | *καλουμένου* om AAld ‖ 10 *τοῦτο* AAld ‖ 12 suppl Bekker | *καὶ* om A | *ὁ τοῦ αἰγοκέρωτος* AAld ‖ 13 *ἰχθῦς* M | *ὁ ἰχθὺς ἐστιν* AAld ‖ 13, 4 *ὃς κ. λέγεται* AAld ‖ 14 *κάπτειν* Bekker, cf Cat p. 261 b 3: *κάμπτειν* AMAld | *χύσεως* AAld ‖ 15 *ἐγγόνους* A | *ἰχθῦς* AAld | *λέγεται* AAld ‖ 17 *ἔχει ἀφορῶσαν* AAld | *δίο* Ald: *διὸ* AM | *τὰ τ.* AM ‖ 18 *αἰγοκέρωτος* AAld | *τῆς — κήτους* om A Ald ‖ 20 *ἐπειδήπερ* om AAld ‖ 20, 1 *ἐστὶν ἀναμετεωριζομένου* (*-ην* Ald) *ἔχων τὴν* AAld ‖ 22 *οἷος* AMAld ‖ 23 *διαλαλῶν* A, *διαλαμβάνων* Ald | *λίαν* A Ald ‖ 24 *παρατηρήσας φησὶ* scripsi: *παρατηρήσει* A, *παρατηρήσει* $\varphi^{\alpha\iota}$ M, *προστίθησι* Ald | *τῶν προτ. δηλαδὴ τῶν προεγνωσμένων* Ald ‖ 25 *προειργασμένων* A | *καὶ* om AAld

389. *ἄλλοι δὲ σποράδην*: *πάλιν διαλαμβάνει περί τινων ἀστέρων κειμένων ἐν τῶι νοτίωι μεταξὺ τοῦ τε Ἰχθύος καὶ τοῦ Ὑδροχόου καὶ τοῦ Κήτους. μνημονεύει δὲ αὐτῶν πάλιν διὰ τὴν προειρημένην αἰτίαν* (p. 416, 22). *ὑπὲρ τοῦ μή τινα ἐν τοῖς νοτίοις ὄντα καὶ θεασάμενον ζητεῖν, ποιόν ἐστιν εἴδωλον ἐκεῖνοι οἱ ἀστέρες, φησίν, ὅτι ἀνονόμαστοί εἰσιν.*

391. *μέσσοι νωχελέες*: *βραδεῖαν ἔχοντες τὴν κατάληψιν· ἀμυδροὶ γὰρ διὰ τὸ εἶναι περιγειότεροι καὶ ἐκ τῶν τῆς γῆς ἀναθυμιάσεων εὐχερῶς ἀντιλαμβάνεσθαι καὶ ἀμυδροῦσθαι.*

τὸ δὲ ἐγγύθι: *ὁ Ὑδροχόος ἔχει ὥσπερ ὑδρεῖον ἀπὸ ἀστέρων, ἀφ᾽ οὗ λοιπὸν ἓξ κάτω ἀστέρες φέρονται ὕδατος χύσιν ἀπομιμούμενοι* (393). § *ἔνθα δὲ καὶ ἔνθα* (393) *φησὶ διὰ τὰς καμπὰς τῶν ἐχχεομένων ὑδάτων, ‘τῆιδε κἀκεῖσε’. οὕτως εἰσὶ καὶ οἱ ἀστέρες.*

394. *χαροποὶ καὶ ἀναλδέες εἰλίσσονται*: *οὐ πυροειδεῖς καὶ ἔκλαμπροι, ἢ οἱ μὴ μεγάλοι· ἀλδαίνειν γὰρ τὸ αὔξεσθαι.*

τὸ δὲ ἐν δέσφιν (395): *ἐν πᾶσι τοῖς τὸ Ὕδωρ ἀποτελοῦσιν ἀστράσι μᾶλλον τῶν ἄλλων δύο ἀστέρες φανερώτεροι καὶ λαμπρότεροι φέρονται. οὗτοι δέ, φησίν, οὔτε πολὺ ἀπ᾽ ἀλλήλων διεστήκασιν οὔτε ἐπὶ πολὺ ψαύουσιν ἀλλήλων.* § *τὸ δὲ ἀπήοροι* (396) *διεστῶτες ἀπ᾽ ἀλλήλων.*

399. *ὀλίγοι — μὲν ἄλλοι*: *περὶ τοῦ Νοτίου Στεφάνου διαλαμβάνει καὶ διδάσκει αὐτὸν ἀπὸ τοῦ προεγνωσμένου Τοξότου* (306). *φησὶ δὲ ‘κατὰ τὰ νοτιώτερα ἄλλοι ὀλίγοι ἀστέρες ὑπὸ τοὺς ἐμπροσθίους πόδας τοῦ Τοξότου ἐν κυκλοτερεῖ σχήματι κατεστηριγμένοι εἰσίν’. κατὰ δὲ τὸ λάμπειν ἀμυδροὶ διὰ τὸ καὶ νότιοι ⟨εἶναι⟩.*

---

2 *ἀστέρος* pro *Ἰχθύος* Ald ‖ 2,3 *τοῦ* ante *Ὑ.* om AAld ‖ 3 *αὐτοῦ* A ‖ 4—6 *τινα πλανῆσαι* (*-ηθῆναι* Ald) *ἐν τῶ νότω ἰδόντες αὐτὸν* (*ἰδόντα αὐτοὺς ἐν τ. ν.* Ald) *κείμενον. φησὶν οὖν, ὅτι* AAld ‖ 7 *μέσσοι* om AAld ‖ 8 *διὰ* om A | *περιγειοτέρους* Ald ‖ 8, 9 *καὶ ἐκ — ἀμυδροῦσθαι* om AAld ‖ 10 *ὅτι* post *ἐγγύθι* Ald | *ὑδριχόος* M | *ὑδρίον* M ‖ 11 *β᾽* Cat p. 236b 15 cf adn et rec int | *ὑδάτων* Ald ‖ 12 *δὲ* ante *φ.* iteravit A ‖ 13 *τῆ δὲ* AM ‖ 13, 4 *οὕτω γὰρ καὶ οἱ ἀ. ἐκεῖνοι* Ald ‖ 15 *χαροποὶ* om M | *εἰλίσσονται* om A Ald ‖ 17 *αὐξάνεσθαι* AAld ‖ 18 *ἐν δὲ σφισιν* A | *ἐν σφίσιν* Ald ‖ 19 *φαεινότεροι* AAld ‖ 20 *οὗτοι δέ φησιν* om AAld | *πολὺ* om A ‖ 21 *διεστηκότες — ψαύοντες* Ald ‖ 21, 2 *ἀπήωροι* M ‖ 21—27 *τὸ — νότιοι* om A Ald ‖ 28 supplevi

397—9. *εἷς μὲν ὑπ' ἀμφοτέροισι—*: *ὁ μὲν εἷς καὶ πάνυ ἐστὶ φαιδρὸς ὑπὸ τοὺς τοῦ Ὑδροχόου πόδας, ὁ δὲ ἕτερος τοῦ κυανέου Κήτους ὑπὸ τὴν οὐράν. καί εἰσι μὲν ἐγγὺς ἀλλ' οὐκ ἐπιψαύουσιν ἀλλήλων.*

400. *νειόθι Τοξευτῆρος*: *εἰσὶ δὲ καὶ ἄλλοι ὁμοίως ἀφανέστεροι ἐν κύκλου περιγραφῇ, οὓς τῶν νεωτέρων τινὲς Οὐρανίσκον καλοῦσιν, οἱ δὲ Νότιον Στέφανον. εἶναι δὲ αὐτοὺς οἱ μὲν Προμηθέως ⟨στέφανον⟩, οἱ δὲ Ἰξίονος τροχόν. κεῖνται δὲ ὑπὸ τοῖς ἐμπροσθίοις ποσὶ τοῦ Τοξότου. ἀστέρων δέ ἐστι ιϑ'. § τὸ δὲ δεινωτοί περιφερεῖς καὶ εἰς κύκλον περιηγμένοι, οὓς Νότιον Στέφανον οἱ νεώτεροι λέγουσιν. § ἢ παρὰ τὸν δῖνον, τὴν ἐν κύκλωι φοράν.*

Cat² cf Hyg II 6 p. 42, 21—23

402. *αὐτὰρ ὑπ' αἰϑομένωι κέντρωι*: *λαμπρῶι· λαμπρότεροι γάρ εἰσιν οἱ ἐπὶ τοῦ κέντρου ἐπικείμενοι ἀστέρες. 'μέγα' δὲ 'τέρας' τὸν Σκορπίον φησὶ διὰ τὰ προειρημένα* (84), *ὅτι δύο ζωιδίων ἐπέχει τάξιν· ἑξήκοντα γὰρ μοιρῶν ἐστι τὸ ζώιδιον. § 'αἰϑόμενον' δὲ αὐτό φησι τὸ κέντρον ὡς πρὸς τὰ τοῦ σκορπίου δήγματα· ἔνιοι γὰρ σφόδρα διάπυρον ἔχουσι τοῦ κέντρου τὸ τύμμα. ὁ δὲ νοῦς· κάτω δὲ τοῦ διαπύρου κέντρου τοῦ Σκορπίου πλησίον αὐτοῦ τοῦ νότου Θυτήριον ἀπαιωρεῖται καὶ ἥρτηται καὶ φέρεται. § τὸ δὲ ἄγχι νότοιο* (403) *σχεδόν· νοτιώτερον γάρ ἐστι πάντων τῶν ζωιδίων τὸ Θυτήριον καὶ τοῦ νοτίου πόλου ἐπιψαῦον.*

403. *Θυτήριον αἰωρεῖται*: *Θυτήριόν ἐστι λιβανώτιδι ὅμοιον, ᾧι φασι τοὺς Θεοὺς χρήσασθαι, ὅτε τοὺς Τιτᾶνας κατηγωνίσαντο.*

Cat p. 263 b sq.

ἄλλως. Ἐρατοσθένης φησὶ (fr 49 B.) *τὸ Θυτήριον τοῦτο εἶναι, ἐφ' ᾧι τὸ πρῶτον οἱ Θεοὶ συνωμοσίαν ἔϑεντο, ὅτε ἐπὶ*

---

1 *ὑπ' ἀμφ.* om Ald ‖ 2 *σφοδρὸς* AM | *τοῖς* Ald | *ποσὶν* Ald | *τοῦ τροχοῦ π.* A ‖ 3 *κυανέους* M ‖ 3, 4 *καὶ — ἀλλήλων* om AAld ‖ 4 praecedit schol p. 417, 23 sqq. in A ‖ 6 *γραφῇ* M ‖ 8 *προμηθέα* Ald | *ἰξίωνος* Ald ‖ 9 *δέκα ϑ'* A | *καὶ εἰσὶν ἀ. ιϑ* Ald ‖ 10 *δινωτοί* Ald | *περιηγμένοι εἰς κ.* (omisso *περιφερεῖς καὶ*) AAld ‖ 10, 1 *οὓς — ἢ* om Ald ‖ 11 *τὸ* Ald ‖ 11, 2 *ἐγκίκλιον* A, *ἐγκύκλιον* Ald ‖ 13 *αὐτὰρ* om AAld ‖ 14 *ὑποκείμενοι* AAld ‖ 16 *ζωδίων* AM | *ξ'* AAld ‖ 17 *αὐτοῦ* Ald ‖ 18 *τὰ* post *σκορπίου* Ald, om A ‖ 18, 9 *τὸ κέντρον* M ‖ 19 *τύγμα* A ‖ 20 *πλησίον αὐτοῦ τ. ν.* om Ald | *νοτίου* A | *αἰωρεῖται* AAld ‖ 21 *ὅ ἐστιν ἥρτηται φέρεται* AAld | *ἀντὶ τοῦ σχεδὸν τοῦ νότου* Ald ‖ 24 lemma om Ald | *τὸ δὲ Θ.* Ald ‖ 24, 5 *ὅμ. ἐστιν* Ald ‖ 25 *ὅ* A | *φησι* M | *ὅτι* A ‖ 27 lemma om Ald | *δὲ* post *Ἐρ.* Ald | *τοῦτο τὸ Θ.* AAld ‖ 28 *ἐν* Cat | *ἐποιήσαντο* AAld

τοὺς Τιτᾶνας ἐστράτευσεν ὁ Ζεύς, Κυκλώπων κατασκευασάντων ἔχον ἐπὶ τοῦ πυρὸς κάλυμμα, ὅπως μὴ ἴδωσι τὴν τοῦ κεραυνοῦ δύναμιν. ἐπιτυχόντες δὲ τῇι πράξει ἔθηκαν καὶ εἰς οὐρανοὺς τὸ αὐτὸ κατασκεύασμα. ὃ καὶ εἰς τὰ συμπόσια φέρουσιν. ⟨καὶ ἔχουσιν⟩ οἱ κοινωνεῖν [βουλόμενοι ἢ] αὐτοῖς αἱρούμενοι ὡς ἐπίθυσιν ⟨καὶ⟩ ἐν τοῖς ἀγῶσι καὶ ἐν τῶι ὀμνύειν βουλόμενοι ὡς δικαιοτάτην πίστιν τηρεῖν καὶ τῇι χειρὶ ἐφάπτονται δεικνύντες μαρτύριον εὐγνωμοσύνης τοῦτο. ὁμοίως δὲ καὶ οἱ μάντεις τοῦτο ποιοῦσιν.

Θυτήριον: τὸ Θυτήριον ἄλλοι τοῦ Κενταίρου εἶναί φασιν, ὃν φησιν Ὅμηρος 'δικαιότατον Κενταύρων' (Il XI 832). Cat? cf Hyg II 38 p. 75, 22

404. τοῦ δ' ἤτοι ὀλίγον: ἀντὶ τοῦ 'τοῦτο δὲ ἐπ' ὀλίγον χρόνον ὑπὲρ γῆς φερόμενον θεάσηι'.

405. ἀντιπέρην γὰρ ἀείρεται: εἰς τὸ ἐναντίον. καὶ πῶς ἐς τὸ ἐναντίον τὰς περιφερείας ἔχει, ἐπάγει καὶ διδάσκει.

406, 7. κέλευθοι Ἀρκτούρωι: καὶ τῶι μὲν Ἀρκτούρωι σφόδρα μετέωροι καὶ μεγάλαι εἰσὶν αἱ περιφοραί, ἅτε δὴ καὶ βορείωι ὄντι, τὸ δὲ Θυτήριον ταχέως ὑπὸ τὸν ἑσπέριον Ὠκεανὸν δύεται. περιέλαβε δὲ τὸν Ἀρκτοῦρον, ἐπειδὴ καὶ αὐτὸς ἐπιψαύει τοῦ βορείου κύκλου [καὶ πόλου], καὶ τὸ Θυτήριον δέ, ⟨ὅτι⟩ τοῦ ἀνταρκτικοῦ. καὶ ἔστιν οὕτως· ἀνατέλλει μετὰ Λέοντα ὁ Ἀρκτοῦρος. ἰδοὺ δύο ὧραι. εἶτα Παρθένος. ἰδοὺ δ'. εἶτα Ζυγόν. ἰδοὺ ὧραι ς'. εἶτα Σκορπίος. ὧραι η'. καὶ τότε μετὰ ὥραν η' τὸ Θυτήριον ἀνατέλλει. εἶτα ὁ Τοξότης. ὧραι η', τοῦ Θυτηρίου ὧραι δ'. εἶτα Αἰγόκερως. ὧραι ιβ', τοῦ Θυτηρίου ὧραι ς'. Ὑδροχόος. ὧραι ιδ', τοῦ δὲ Θυτηρίου ὧραι η'. εἶτα

---

4 καὶ ante ὃ Ald, om AM ‖ 5 αὐτοῖς scripsi: αὐτοὺς AAld, αὐτοῖς M; κριτὰς coni Bekker | ὡς om Ald | πεποίθησιν A, om Ald ‖ 6 ἐν om AAld | τῶι scripsi: τοῖς AMAld | ὀ. (δίδοται add Ald) βουλομένοις AM Ald | δικαιωτάτην A ‖ 7 τηρεῖν καὶ A: τηροῦσι καὶ M, τηρῶσι καὶ Ald ‖ 7, 8 εὐγν. μαρτ. τὸ πῦρ ὀμ. Ald ‖ 9, 10 om AAld ‖ 11 ὀλίγον om M ‖ 11, 2 ἀ. τοῦ ἐπ' ὀλίγον χρ. τοῦτο Ald ‖ 12 ἐπὶ γῆς AAld ‖ 13 ἀείρεται om M | τὸ δὲ ἀντ. ἀείρ. ἤγουν Ald ‖ 14 πως AM | πῶς δὲ τὸ ἐν. Ald | περιφορὰς A | ἔχει ἐπέχει A | ἐπάγει καὶ om Ald ‖ 15 sqq. scholia deinceps hoc ordine scripta in M, ad v. 404. 405. 403. 410 (p. 420, 19). 411 (marg int). 408. 410 (p. 420, 15 [marg ext]) ‖ 15 κέλευθοι om M | καὶ om Ald ‖ 18 ἔλαβε Ald ‖ 19 seclusi | κύκλου καὶ om M | ἢ πόλου Ald ‖ 19, 20 ὥσπερ καὶ τὸ Θ. τοῦ Ald | Θ. τε τοῖ A ‖ 20 οὕτος Ald | λέοντος AAld ‖ 21, 22 ζυγὸς AAld ‖ 22 post Σκ. Ald ἰδοὺ ‖ 23 ὀγδόην Ald | ὁ om AAld | ι' (pro η') Ald ‖ 24, 5 τοῦ Θ. ὧραι ς' om Ald | δ' — Θ. ὧραι om A ‖ 24 εἶτα et ὧραι om Ald ‖ 25 ὁ ante Ὑδρ. A | ὧραι post Ὑ. om Ald | τὸ δὲ θυτήριον A | τοῦ — η' om Ald

Ἰχθύες. ὧραι ις', καὶ τοῦ Θυτηρίου ὧραι ι'. καὶ ὅμως ι' ὥρας ποιῆσαν δύεται τὸ Θυτήριον, ὁ δὲ Τοξότης ις' πάλιν ὑπέργειός ἐστιν. οὕτως εἰς τὸ ἐναντίον τοῦ Ἀρκτούρου πορεύεται. καὶ τὸ μὲν ϑᾶττον δύνει, ὃ δὲ μείζονας ἔχει τὰς περιφοράς.

407. *ἑσπερίην δὲ ἄλα: τὴν δύσιν λέγει.*

408. *ἀρχαίη νύξ: ἀρχαιοτέρα γὰρ καὶ πρεσβυτέρα τῶν ϑεῶν καὶ παρ' Ἡσιόδωι* (Theog 123) *'ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο'. φασὶ δέ τινες, ὅτι μυϑικῶς τι ἐπιψαύων καὶ φυσικῶς ἅπτεται, ὅτι ἡ νὺξ ὀδυρομένη τὴν τῶν ἀνϑρώπων ταλαιπωρίαν τοῦ ϑαλαττίου χειμῶνος καὶ τῆς ζάλης σημεῖον ἔϑηκεν ἐκεῖνο τὸ Θυτήριον, ὅτε ὁ ἥλιος ⟨ἐν⟩ Αἰγοκέρωτι τῶι Τυβὶ μηνί, ὃς ἐστι κατὰ Ῥωμαίους Ἰανουάριος, ὅτε καὶ ἐν χειμῶνι πνεῖ ὁ νότος* (p. 397, 21). § *ἡ ἀρχαίη νύξ ἡ ὑπὸ τὰς ἀρχὰς τῆς τοῦ κόσμου διατυπώσεως* (cf l. 7).

410, 1. *κεδαιόμεναι γὰρ ἐκείνηι νῆες ἀπὸ φρενός: αἱ νῆες γὰρ ἀποφϑειρόμεναι —. § ἐκείνηι ἤγουν τῖι νυκτί. § οὐκ ἀρέσκονται αὐτῆι. ἀπὸ τοῦ ἐναντίου, ἀλλ' ἄχϑεται ἐφ' οἷς κινδυνεύουσι κατὰ τὸ πέλαγος οἱ ἄνϑρωποι.*

σκεδαννύμεναι σκορπιζόμεναι τῆι νυκτί.

ἀπὸ φρενός: οὐκ ἀρέσκουσιν αὐτῆι, ἀποϑύμιαί εἰσιν.

411. *τὰ δ' ἄλλοϑεν ἄλλα πιφαύσκει: τὸ βιωφελές φησιν, ὃ προείπομεν* (cf p. 397, 16), *καὶ φυσικώτατα ἅπτεται. ἡ δὲ νύξ, φησί, πανταχόϑεν πολλὰ τεκμήρια ἐπιδείκνυται ἐποικτείρουσα τοὺς ἀνϑρώπους τοὺς περικλυζομένους καὶ κινδυνεύοντας· δι' ὧν γὰρ ἐπιδείκνυσι, προεπισκέπτεσϑαι τὰ μέλλοντα ποιεῖ. § τὸ δὲ παλιρροϑίους* (412) *τοὺς περικλυζομένους ἀνϑρώπους τοῖς κύμασιν· ῥόϑια γὰρ τὰ κύματα. κυρίως δὲ αἱ τοῦ κλυδῶνος*

---

1 *ἡ'* (pro *ι'* priore) Ald quae pergit *ὀκτὼ οὖν ὥρας π.* ‖ 2 *ὁ δὲ ἀρκτοῦρος* Ald ‖ 2, 3 *ις' ὑπέργειος μὲν γὰρ οὗτος, ὑπόγειον δὲ ἐκεῖνο καὶ ἐναντίον τούτου πορ. διὸ καὶ τὸ* Ald ‖ 5 *ἑσπερίαν* Ald | *ἄλα δὲ* AAld ‖ 6 *γάρ ἐστι* Ald | *καὶ πρ.* om AAld ‖ 7 *δ'* om M ‖ 8 *ἐγένετο* A ‖ 9 *ὅ*$^{\tau}$ A, *ὅτε* Ald | *ἡ* om A ‖ 10, 1 *καὶ τοῦ πάϑους σ.* AAld ‖ 11 *ἥλ. ἐστιν ἐν Αἰγ.* Ald ‖ 12 *Ἰαννουάριος* AM ‖ 13 *ὁ νότος* ante *ἐν χ.* Ald ‖ 13, 4 *ἡ — διατυπώσεως* om AAld ‖ 15 *κεδαιόμεναι γὰρ ἐκείνηι* om AAld | *νῆες ἀπὸ φρενός* om M ‖ 16 *ναῦς* M | *γαρ* om M ‖ 17 *ἀπὸ τοῦ ἐν.* om Ald ‖ 18 *οἱ ἄ.* ante *κατὰ* AAld ‖ 20 lemma om A ‖ 21 scholia coniunxit A | *πιφάσκει* AAld ‖ 21—23 *ἤγουν τὸ β. ὡς γὰρ πρ. καὶ φυσικῶς ἄ., ὅτι ἡ ν. πολλὰ τ.* Ald ‖ 22 *φυσικο*$^{\tau\tau}$ A, *φυσικότητος* M, *φυσικῶς* Ald ‖ 23 *ἐπιδείκνυσιν οἰκτείρουσα* AAld ‖ 25 *προ(οε* Ald)*πιδείκνυσι προσκέψασθαι* AAld ‖ 26 *τε* pro *τοὺς* A, *τοὺς* om Ald ‖ 26, 7 *τοῖς κύμασιν* om AAld ‖ 27 *τὰ ῥεύματα* AAld

ὁρμαί. ὅταν οὖν συννεφὴς ὁ ἀὴρ ᾖ, φανῇ δὲ τὸ Θυτήριον καθαρὸν καὶ ἀνέφελον, τὰ δὲ ἄνω πρὸς βορέαν αὐτοῦ πυκνονεφῇ [καὶ] κατέχηται, οἷα πολλάκις γίνεται, μάνθανε παρ' αὐτὰ χειμῶνα ἐσόμενον. § ἔνιοι δὲ τὸ εἰλυμένον (413) *εἰλυμένω⟨ι⟩ γράφουσι καὶ συνάπτουσιν αὐτὸ τῶι πελάγει, ἵν' ᾖ οὕτως 'ὅπως μὴ ἐγκεκλεισμένος ᾖς τῶι πελάγει'. σημεῖον δέ φησιν αὐτὸ εἶναι τοῦ νότου πνέοντος.*

413. *τῶι μή μοι — εἰλυμένω⟨ι⟩ ἦν, ἀλλὰ διὰ τὸ μέτρον ον ἐστίν. διὸ σημεῖον ἔχει ὁ στίχος* (cf Proleg editionis p. XII). § *ὁ νοῦς· μὴ δή, φησίν, ἐν πελάγει μέσωι ὢν τῶν πλησίον τοῦ Θυτηρίου καὶ ἀνωτέρω ἄλλων ἀστέρων ὑπὸ νεφελῶν κεκαλυμμένων εὔχου αὐτὸ ἐν μέσωι οὐρανοῦ ἀνέφελον καὶ εὐσύνοπτον ἰδεῖν· τότε γὰρ σφοδρὸς χειμὼν ἔσται· ἐπειδὴ γὰρ αὐτὸ τὸ Θυτήριον σφόδρα πλησιάζει αὐτῶι τῶι νότωι, διὰ τοῦτο ὁ νότος κάτωθεν αὐτοῦ πνέων τὰ ἐπιόντα εἰς αὐτὸν νέφη προαναστέλλει καὶ ἐπίπροσθεν ἀνωτέρω ἐπωθεῖται τὰ νέφη, αὐτὸ δὲ ἀνέφελον καὶ εὐσύνοπτον μένει. μὴ οὖν, φησίν, ἐν μέσωι πελάγει ὢν εὔχου ἰδεῖν τὰ μὲν ἀνωτέρω αὐτοῦ ἄστρα κεκαλυμμένα νέφεσιν, αὐτὸ δὲ ἀνέφελον· τότε γὰρ χειμὼν καὶ 'νότοιό τε δεινὸς ἀήτης, ὅς τ' ὦρινε θάλασσαν ὁμαρτήσας Διὸς ὄμβρωι'* (fortasse 'Epimenides', cf Cat p. 237b 263b). *τὸ δὲ Θυτήριον τρισὶ μέρεσιν ὑπέργειον, πέντε δὲ ὑπόγειον· κατηστέρισται γὰρ ὁ Ἀρκτοφύλαξ ἐν τῶι βορείωι, τὸ δὲ Θυτήριον ἐν τῶι νοτίωι.*

εἰλυμένον ἄλλων: τουτέστιν 'ἐκ νεφελῶν ἄλλων εἰλυμένον τὸ Θυτήριον'.

415, 6. *ὕψι — μᾶλλον κυμαίνοντι: καὶ μᾶλλον τὰ ἐν*

---

1 *συννεφὴς ἐστιν ὁ ἀὴρ* A ‖ 2, 3 *ἄνω νέφη κατέχε(η* Ald)*ται* (mediis omissis) AAld ‖ 3 seclusi | *γίνεται* AAld: *-ονται* M ‖ 3, 4 *μ. ὅτι χειμὼν ἔρχεται παρ' αὐτόν* (*παραυτίκα* Ald) AAld ‖ 4 *εὐλιμένον* A, *κεκλιμένον* Ald ‖ 5 *αὐτὸ* ante *τῶι* om AAld ‖ 5, 6 *ἵν' — πελάγει* om AAld ‖ 7 *αὐτοῦς* (sic) A | *εἶναι* om Ald | *τοῦ* om AAld | *νότοιο* A | *πνείοντος* Ald ‖ 8, 9 schol om Ald ‖ 8 *τῶ* A | *εἰλυμένον ἄλλων εἰλιμένου ᾖν* A | *ὁ* pro *ὂν* A ‖ 10 *ὁ νοῦς δὲ* Ald, om M | *μή μοι ἐν τῶι π.* A | *μηδεὶς φ.* A | *μέσω* om AAld ‖ 11 *ἀνωτέρων* M | *νεφέλη* Ald ‖ 11, 2 *κεκωλυμ(μμ* M)*ένον* A, *-ων* M ‖ 12 *τοῦ οὐρ.* Ald ‖ 14, 5 *ὁ νότος κάτωθεν πνέων* (omisso *αὐτοῦ*) post *νέφη* Ald | *δ. τ. ὅταν τὰ ἐπιόντα* M ‖ 15—17 post *πνέων* Ald *ἀποπέμπη ἀφ' ἑαυτοῦ αὐτά, αὐτὸς δὲ μένη ἀνέφελος, κἀκεῖνο ἀνέφελον μένει* ‖ 15, 6 *προαναστέλλει — νέφη* om A ‖ 17 *καὶ εὐσύνοπτον* om AAld ‖ 18 *κεκωλυμμένα* A ‖ 19, 20 *νότος ὅτε* (*ὁ* Ald) *δεινὸς* AAld ‖ 20 *ὅστις ὄρ.* Ald | *ὁμαρτὴ* A | *ὁμαρτεῖ δ' αὖ διὸς ὄμβρος* Ald ‖ 21 — p. 422, 2 (*τὸ — νέφει*) om AAld ‖ 21, 5 schol om M ‖ 25 *δὲ* post *εἰλ.* Ald

ὕψει αὐτοῦ ἀνωτέρω πεπιεσμένα καὶ ἐσκεπασμένα μέλανι καὶ δεινῶι νέφει· φιλεῖ γὰρ προαναστέλλειν ὁ πνεῖν μέλλων ἄνεμος τὰ ὑπερκείμενα νέφη καὶ πυκνοῦν.

418. *ἐπὶ σῆμα τιτύσκει: τουτέστι 'σημεῖον αὐτὸ ποιεῖ ἐπὶ νότον'.*

ἄλλως. ἐπὶ τῶι σημείωι τοῦ Θυτηρίου φοβοῦ πνέοντα νότον, ἕως ἂν ἐπιστρέψαντος αὐτοῦ βορέου αἰσθήσηι καὶ γνώσηι.

420. *οἳ δ' εἰ μέν κε πίθωνται: οἱ δὲ ναῦται, ἐὰν μὲν πιστεύσωσι τῆι νυκτὶ καθήκοντα καὶ ὠφέλιμα δηλούσηι, καὶ εὐθέως τεκμήριον ἰδόντες, ὅτι τάραχός ἔστ⟨α⟩ι τῶν ὑδάτων, κοῦφα πάντα τὰ ἐν τῆι νηῒ ποιήσονται καὶ ἄρτια ⟨τὰ⟩ πρὸς σωτηρίαν τείνοντα. λέγει δὲ κοῦφα (421) πρὸς τὸ ὑποχαλάσαι τοῖς τοῦ ἀρμένου ποσὶ καὶ μὴ φιλονεικεῖν ἐναντίοις πνεύμασιν. 'ἔστη δ' αὖθις, ἦν χαλᾶι πόδα' Εὐριπίδης (Orest 707). τὸ δὲ ἑξῆς· ὁ πόνος καὶ τὸ κακὸν ἐλαφρότερον καὶ εὐχερέστερον ἔσται.*

424. *αὔτως ἀπρόφατος: ἀπροσδόκητος. καὶ διαταράξει τὰ ἄρμενα μὴ χαλασθέντα, ἀλλ' ἐναντιούμενα τῶι κακῶι. τότε οἱ μὲν πλέοντες ἔσθ' ὅτε καὶ ὑποβρύχιοι καὶ ὑπ' αὐτὸ τὸ ὕδωρ πλέουσιν οὐκ ἐπὶ νηὸς ἀλλ' ἐπ' αὐτῶν τῶν ὑδάτων φερόμενοι, ἔσθ' ὅτε καί, ἐὰν ἐπιτύχωσι τοῦ Διὸς παριόντος, ⟨σώιζονται⟩. τοῦτο δὲ ὡς ἐν θαύματι, ὅτι 'εἰ μὴ ἄρα αὐτὸς ὁ Ζεὺς παριὼν τύχηι καὶ εὐχομένοις ἐπέλθηι καὶ τοῦ βορέου ἡ δύναμις ἐναντίον τῶι νότωι πνεύσασα διασκορπίσηι τὰ νέφη καὶ αἴθραν ποιήσηι' (πνεύσας γὰρ ὁ βορέας ἀεὶ σκεδαννύει τὰ νέφη. Ὅμηρος (Il XV 171. XIX 358) 'αἰθρηγενέος βορέαο'), 'οἱ τότε πολλὰ*

1—3 *κυμαίνοντι φιλεῖ πρ. κτλ.* omnibus anterioribus omissis AAld ‖ 2 *προπέμπειν* Ald | *μέλλων πνεῖν* AAld ‖ 3 *καὶ πνεῖν* post *ν.* A, om Ald | 4 *πολλὰ γάρ* pro lemmate A, *πολλάκι γάρ* Ald ‖ 6 *ἄλλως* om AAld | *δὲ* post *ἐπὶ* A | *φοβοῦ τοίνυν ἐπὶ τ. σ.* Ald ‖ 7 *ἐ. τοῦ β.* AAld | *καὶ γνώσηι* om AAld ‖ 8 *κεν* Ald | *πείθονται* AMAld ‖ 9 *δηλώσηι* A ‖ 10 *εἰδότες* A Ald | *ταραχὴ* AAld | *ἔσται* Ald ‖ 11 *τὰ π.* Ald | *τάντῃ* AAld | *ποιήσωνται* A Ald | *καὶ ἄρτια* om AAld ‖ 12 *τείνουσι* Ald | *ἐγχαλάσαι* AAld ‖ 13 *καὶ* om A | *φ. τε* A | *ἐναντίον τοῖς πν.* AAld | *καὶ* (om A) *ὁ πόνος ἐλαφρότερος ἔσται* post *πν.* AAld ‖ 13, 4 *ἔστη — Εὐρ.* om AAld | *ἔστι δὲ* M ‖ 16 omisso lemmate *εἰ δὲ μὴ ἀπρόσφατος, ἤγουν ἀπροσδόκητος, ἐμποιεῖται καὶ δ.* Ald ‖ 17 *κακιῶ* M ‖ 18 *δὲ οἱ πλ.* Ald | *ἔστιν ὅτε ὑ.* AAld ‖ 20 *δὲ* pro *καὶ* Ald ‖ 20, 1 *ῥόνται* Ald, om AM | 21 *φησὶν* post *θ.* Ald | *ὁ Ζ. αὐτὸς* A ‖ 22 *ἐπέλθῃ* MAld | *εὐχόμενος ἀπέλθοι* A ‖ 23 *ἐναντίον* Ald: *-ίω* AM | *τῇ τοῦ νότου* AAld | *πνεύσοι καὶ διασκορπίσοι* A, *-η καὶ -η* Ald | *αἰθρίαν* Ald

παθόντες πάλιν ὁρῶσιν ἀλλήλους ἐν τῇι νηί' (426—9)· *οὐ γὰρ ἀπὸ τοῦ κακοῦ ἴσασιν, ὅπου εἰσίν.*

431—5. *εἰ δέ κεν ἑσπερίης —*: *ἐὰν δὲ μεσουρανήσηι ο τοῦ Κενταύρου ὦμος, ὀλίγη δὲ περὶ αὐτὸν ἀχλὺς ἦι, ἤτοι τὸν ὦμον ἢ τὸν Κένταυρον, τὰ δὲ ἐπὶ τῶι Θυτηρίωι σημεῖα ὅμοια ἦι, οὐ χρή σε νότον φαντάζεσθαι, ἀλλ' εὖρον. τῶι δὲ προτέρης* (432) *συνυπακουστέον 'θαλάσσης'· τὸν γὰρ ὁρίζοντα καὶ ὠκεανὸν καὶ θάλασσαν καλεῖ. ἀχλὺν δὲ τὴν ἐκ τῶν νεφῶν ἀορασίαν. § ὁ δὲ νοῦς· ἐὰν δὲ ὁ τοῦ νοτίου Κενταύρου ὦμος τοσοῦτον ἀπέχηι τῆς ἀνατολῆς ὅσον καὶ τῆς δύσεως (ἀντὶ τοῦ 'ὅτε μεσαίτατός ἐστι καὶ μεσημβρινός') καὶ αὐτὸν μὲν τὸν Κένταυρον κατὰ πᾶν τὸ ἄλλο σῶμα περιβάλλῃι ἐκ νεφῶν ὀλίγη ἀορασία, μετὰ δὲ ταῦτα ἐπὶ τῶι Θυτηρίωι τὰ προειρημένα σημεῖα ἀποτελῆι ἡ νύξ, οὐκέτι (φησίν) ὀφείλεις νότον προσδοκᾶν, ἀλλὰ τὸν εἶρον ἐπιτηρεῖν, ὃς ἀπὸ χειμερινῆς ἀνατολῆς πνεῖ.*

433. *ἀτὰρ μετόπισθεν: μετὰ δὲ ταῦτα, ὡς διασαφηθῆναι τὸν Κένταυρον ἐπὶ τῶι λάμποντι Θυτηρίωι· εἴπομεν γάρ, ὅτι, ἐὰν ἦι αὐτὸ μόνον ἀνέφελον, τὰ δὲ ὑπεράνω αὐτοῦ νεφελώδη, ταῦτά φησι τὰ ἐοικότα σήματα. § τὸ δὲ εὖροιο* (435) *ἑλληνισμός, ἀντὶ τοῦ 'εὖρον ἄνεμον'. λοιπὸν 'ὡς πνευσόμενον' περισκοπεῖν.*

436. *δήεις δ' ἄστρον ἐκεῖνο: ὁ Κένταυρος δυσὶν ὑποκέκλιται ζωιδίοις· τὰ μὲν γὰρ ἀνδρὶ εἴκελα αὐτοῦ ὑπὸ τῶι Σκορπίωι κεῖται πρὸς ἀνατολάς, τὰ δὲ ἵπποι παραπλήσια ὑπὸ ταῖς Χηλαῖς πρὸς δύσιν. αὐτὸν μὲν οὖν Ἕρμιππος Χείρωνά φησιν* (fr 82 M.) *εἶναι, τὸ δὲ Θηρίον σύμβολον θήρας, τὸ δὲ Θυτήριον τοῦ Πηλέως γάμου σημεῖον.*

---

1 *οὐ* AAld: *οὔτε* M ‖ 1, 2 *ἴσασιν ἀπὸ* A, *ἴσ. ὑπὸ* Ald ‖ 3 *ἂν δὲ μεσουρανίση* Ald ‖ 4, 6 *εἴη* Ald ‖ 6 *τῶι* Ald: *τὸ* AM ‖ 7 *συνεπακουστέον* Ald | *ὠρίζοντα* M ‖ 8, 9 *ἀχλὺν — ἀορασίαν* om AAld ‖ 9 *ὁ* post *Κ.* AAld ‖ 10 *ἀπέχει* A ‖ 11 *καὶ μεσ.* om AAld ‖ 12 *τὸ* Ald: om AM | *περιβάλλει* M | *νεφελῶν* A Ald ‖ 13 *δὲ* post *ταῦτα* AAld ‖ 14 *ἀποτελοίη* AMAld | *οὐκ ἔτι* M | *ὀφείλεις* om AAld ‖ 15 *ἀλλ' αὐτὸν* AAld ‖ 17 *αὐτὰρ* A ‖ 17, 8 *διασαφῆ* (-εῖ Ald) *εἶναι* AAld ‖ 18 *δὲ* pro *γὰρ* Ald ‖ 19 *ὅτι ἂν εἴη* AAld | *ὑπεράνω δὲ* Ald ‖ 19, 20 *ν. ἕψεται τὰ ἑ. σημεῖα* Ald ‖ 20—22 (*τὸ — περισκοπεῖν*) om AAld ‖ 23 *δείης* (*δήεις* Ald) *δ' ἄστρον* pro lemmate AAld ‖ 23, 4 *ζωδίοις ὑποκ.* AAld ‖ 24 *ἴκελα* AAld ‖ 25 *πρὸς ἀνατολάς* om A ‖ 26 *πρὸς δύσιν* om A ‖ 26—28 cf Robert p. 222 sqq.

δύω ὑποκείμενον ἄστροις: ὁ γὰρ Κένταυρος δύο ἐπί-
Cat p. 264 b sq. κειται ζωιδίοις, Σκορπίωι καὶ Χηλαῖς. § οὗτος δὲ ὁ Χείρων, ὁ ἐν τῶι σπηλαίωι κατοικήσας, δικαιοσύνηι πάντας ἀνθρώπους ὑπερβάλλων καὶ παιδεύσας Ἀσκληπιόν, τὸν υἱὸν Ἀπόλλωνος, καὶ Ἀχιλλέα ⟨τὸν⟩ Πηλέως τὴν ἰατρικὴν καὶ Ἰάσονα πρὸς τιμὴν κατηστερίσθη. § τὸ δὲ ἐσφήκωται (441) δυσαποσπάστως ἀσφαλῶς ἐστήρικται, ἐνήρεισται.

440. ἐν δέ οἱ ἀπρίξ: ἐνταῦθα συνείληφε σῶμά τι ἀδιάρθρωτον, ὃ καὶ ὑπὸ τῶν ἀρχαίων Θηρίον προσηγορεύθη.

441. ἐληλάμενον: ἐνηρτημένον ἐνηρμοσμένον τε. § τῶι δὲ λέγειν ἄλλο — Θηρίον (442) οὐ πρὸς αὐτὸν τὸν Κένταυρον ἀντιδιέστειλεν (ἄτοπον γὰρ θηρίον λέγειν τὸν Χείρωνα, τὸν πάντων Κενταύρων δικαιότερον καὶ λογιώτερον), ἀλλὰ πρὸς ἀντιδιαστολὴν τοῦ Σκορπίου, ὃς ὑπέρκειται τοῦ Κενταύρου, τὸ ἄλλο εἶπε Θηρίον· ἄμεινον γὰρ οὕτως ἀκοῦσαι.

443. ἄλλο περαιόθεν: νῦν περαίην τὴν ἀνατολὴν λέγει. Ὅμηρος (Od XXIII 243) ‘νύκτα μὲν ἐν περάτηι δολιχὴν σχέθεν’. λέγεται δὲ περαία καὶ ἡ δύσις· πέρα γάρ ἐστι τῆς γῆς. § τὸ δὲ ἕλκεται σφόδρα κυριολεκτήσας εἶπεν· λίαν γὰρ καὶ πάνυ ἐπὶ μήκιστον ἐκτέταται ἡ Ὕδρα, ὡς τριῶν ζωιδίων μοίρας ἐπέχειν, τοῦ τε Καρκίνου καὶ τοῦ Λέοντος καὶ τῆς Παρθένου. § τοῦτο δὲ τὸ ζώιδιον οἱ Ἕλληνες Ὕδραν ἐκάλεσαν τὸ ζῶιον, ὃ κατηγωνίσατο ὁ Ἡρακλῆς. οἱ μέντοι Αἰγύπτιοι Νεῖλον εἶναι τοῦτο τὸ ἄστρον λέγουσι καὶ λόγους σφόδρα πιθανοὺς παρέχονται· ἡ γὰρ κεφαλὴ τοῦ ζωιδίου ἐστὶ περὶ τὴν ιε΄ μοῖραν τοῦ

---

1 ἄστροις om M ‖ 1, 2 δύο — οὗτος om Ald ‖ 2 οὗτος Cat: αὐτὸ A, αὐτὸς A, ὁ Ald ‖ 3 ὁ om Ald | post δικ. Ald συνέζη καὶ παιδ. ‖ 3, 4 ἀνθρώπους ὑπερβάλλων om A ‖ 4 κ. παιδεύσας καὶ A ‖ 5 καὶ alt om A | ἰάσονι M ‖ 6 καὶ ἀσφ. Ald ‖ 7 ἐστήρικται ἐνήρεισται A: ἐστήρ. ἐρήρεισται Ald, ἐνήρισται M ‖ 8 ἀντία δει(δι Ald)νωτοῖο AAld | συνέλαβε Ald ‖ 10 ἄλλο μὲν ἐσφ. τὸ λέγειν AAld | ἐληλάμενον ἐνηρτ. ἐνηρμ. τε om AAld | τῶι scripsi: τὸ AMAld ‖ 11 καὶ pro οὐ A ‖ 12 λέγει AAld ‖ 13 κένταυρον A | λογικώτερον M, λογ. καὶ δικ. A, λογιώτατον καὶ δικαιότατον Ald ‖ 15 θηρίον εἶπεν Ald ‖ 16 ἄλλο et νῦν om AAld | λέγει τ. ἀν. καὶ AAld ‖ 17 ἐν om AAld | περαίη Ald | δολιχὴ Ald, om A | σχέθεν om Ald ‖ 18 πέρατα M | εἰσι M | τῆς γῆς ante ἐστι AAld ‖ 20 ζωδίων AM ‖ 21 τοῦ Π. A ‖ 22 γὰρ pro δὲ AAld | τὸ ζῶιον prius Ald | οἱ om M | τὸ ζῶιον om Ald | ζῶον AM ‖ 22, 3 ὅπερ Ἡρ. κατηγ. AAld ‖ 24 τοῦτο post ἄστρον AAld, quae deinde Ὕδρην μιν καλέουσι λ. | σφόδρα om AAld | π. προσφέρουσι A, π. προφέρουσι Ald ‖ 25 ζωδίου Ald | τὴν ἱερὴν μ. Ald

Καρκίνου περὶ τὸν Ἐπιφὶ μῆνα, ὅς ἐστι κατὰ Ῥωμαίους Ἰούλιος, ὅτε καὶ τὰς ἀρχὰς . . . τὸ μέσον αὐτοῦ ποιεῖται τοῦ σώματος τὸν Λέοντα τῶι Μεσορῆι, ὅς ἐστι κατὰ Ῥωμαίους Αὔγουστος, ὅτε τὸ μεσαίτατόν ἐστι τῆς τοῦ Νείλου ἀναβάσεως. τὰ δὲ τελευταῖα αὐτοῦ περὶ τὴν Παρθένον· τοῦ γὰρ Θώθ, ὅς ἐστι Σεπτέμβριος, τὰ τελευταῖά εἰσι τῆς τοῦ Νείλου ἀναβάσεως. ἡ δὲ οὐρὰ αὐτῆς ὑπὲρ τὴν κεφαλὴν ὀφείλει εἶναι τοῦ Κενταύρου, ἵνα καὶ ὑπὸ τὰς Χηλὰς ᾖι τὸ τέλος αὐτῆς (τῶι γὰρ Φαωφὶ παύεται ὁ Νεῖλος, ὅς ἐστι κατὰ Ῥωμαίους Ὀκτώβριος), ἄλλως τε καὶ ὁ Κόραξ ἐπὶ τὴν οὐρὰν αὐτοῦ τοὐμφανὲς ἡμῖν παρίστησιν· καὶ γὰρ τῆς χροιᾶς αὐτοῦ, τοῦ Κόρακος δηλονότι, μελανούσης νοοῦμεν, ὅτι τότε ἀφανὴς γίνεται ὁ Νεῖλος. καὶ ὁ Κρατὴρ δὲ οἰκεῖον πηγῆι ἢ ποταμῶι, ἄλλου ⟨δὲ⟩ ζώιου ἀλλοῖον. § τὸ δὲ περαιόθεν ἤτοι ἐκ τῶν ἀνατολικῶν μερῶν ἢ ἐκ τῶν πέραν καὶ πόρρω τοῦ Κενταύρου.

449. *εἴδωλον Κόρακος: τινές φασι τὸν Κόρακα θεράποντα Ἀπόλλωνος ὄντα ὑπ' αὐτοῦ τοῦτον πεμφθῆναι σπονδῶν χάριν ἔκ τινος, φησί, καθαρᾶς κρήνης ἐν κρατῆρι κομιοῦντα ὕδωρ. ἰδόντα δὲ συκῆν ὀλύνθους ἔχουσαν ἀναμεῖναι, μέχρις ἂν πεπανθῶσιν. φαγόντα δὲ οὕτω καὶ τὸ ἁμάρτημα συννοήσαντα ἁρπάσαντα τὸν ὕδρον ἐκ τῆς πηγῆς ὁμοῦ τῶι κρατῆρι φέρειν καὶ λέγειν, ὡς διεκωλύετο ὑδρεύσασθαι ὑπ' αὐτοῦ. Ἀπόλλωνα δὲ γνόντα τὸ ἀληθὲς τὸν μὲν εἰς ὄρνεον μεταμορφῶσαι καὶ ποιῆσαι διψᾶν περὶ τὴν ἀκμὴν τῆς ὀπώρας. κατηστερίσθη δὲ πάντων τὰ εἴδωλα.* Cat p. 267 b sqq.

450. *ναὶ μὴν καὶ Προκύων: λοιπός ἐστιν ὁ Προκύων*

1—3 (*Ἰούλιος — Ῥωμαίους*) om Ald ‖ 2 corrupta; lacunam post *ἀρχὰς* signavit Bekker ‖ 3 *μεσορῆ* M; *μεσορί* Bekker ‖ 5 *τὸ γὰρ γὼθ* A, *τὸν θώθ* Ald ‖ 5, 6 *σεπτέβριος* A | post *Σ.* Ald *ὅτε καὶ τὰ* ‖ 7 *αὐτοῦ* AAld | *περὶ τ.* Ald ‖ 8 *αὐτοῦ* A | *φαωφεὶ* A ‖ 9 *κατὰ Ῥ.* om M | *ὀκτώμβριος* A ‖ 11 *δηλονότι* ante *τοῦ* AAld ‖ 11, 2 *μελαίνης οὔσης* coni Bekker ‖ 12 *δὲ νοοῦμεν* A ‖ 13 *οἰκεῖος τῆι γῆι* omisso *ἢ ποταμῶι* Ald | *ποταμοῦ* A | *ἄλλου — ἀλλοῖον* om Bekker ‖ 13—15 (*τὸ — Κενταύρου*) om AAld ‖ 16, 7 *θερ. — ὄντα* delet Robert (p. 188) | 17 *τοῦτον* om AAld ‖ 18 *φησίν* scil is quem exscribo | *φησὶν* (om Ald) *κρήνης κομιοῦντα καθαρον ὕδωρ ἐν κρ.* AAld ‖ 19 *συκῆ* A | *μέχρι* Ald | *ἄν* om AAld ‖ 20 *συννοήσαντα* corr Wilam: *συνθήσαντα* AM, *συνθήσαν* (sic) Ald ‖ 21 *ἁρπάσαντος* A | *τὸ ὕδωρ* (*τε ὕδωρ* Ald) *ἐκ πηγῆς* AAld ‖ 22, 3 *ἀπόλλωνος — γνόντος* A ‖ 23 *αὐτὸν* post *ὄρν.* Ald | *εἰς ὄρνεον μεταμ. καὶ* delet Robert ‖ 24, 5 *κατηστερίσθη — εἴδωλα* om AAld ‖ 25 post *εἴδ.* M *ἕως ὧδε τὰ τῆς ἀστροθεσίας*: traieci ad p. 426, 12, om Ald ‖ 26 *ὁ* om AAld

ὑπὸ τοῖς Διδύμοις κείμενος. καλεῖται δὲ οὕτως, ἐπειδὴ πρὸ τοῦ Κυνὸς ἑώιαν ποιεῖται ἀνατολὴν ἐν τῶι δι' Ἑλλάδος κλίματι, ὅτι τοῦ Κυνὸς ἀνατολικώτερός ἐστιν. ἀστέρων δέ ἐστιν ἱ λαμ-
Cat p. 270 b sq. πρῶν οὗτος, ὧν εἷς ὁμωνύμως Προκύων. § οὗτος δὲ πρὸ τοῦ μεγάλου Κυνός ἐστιν. Ὠρίωνος δὲ κύων. καὶ λέγεται διὰ τὸ φιλοκύνηγον εἶναι ταῦτα αὐτῶι παρατεθῆναι τὰ σημεῖα· καὶ γὰρ Ἄρκτος συνορᾶται καὶ ⟨ἄλλα⟩ θηρία παρ' αὐτῶι. § οὗτος δὲ ὁ Προκύων ἔσχε τὴν ὀνομασίαν, οὐχ ὅτι τὴν θέσιν πρὸ τοῦ Σειρίου ὢν πρώτην καὶ ὑψηλὴν ἔχει, ἀλλ' ὅτι βορειότερος ὢν τὰς ἀνατολὰς πρὸ αὐτοῦ ποιεῖται. ὑπὸ δὲ τοὺς Διδύμους ἐστὶ καὶ καλὰ φαίνει· ἐκ γὰρ ἀστέρων λαμπρῶν σύγκειται.

ἕως ὧδε τὰ τῆς ἀστροθεσίας.

451. ταῦτά κε θηήσαιο: ταῦτα τὰ προειρημένα θεωρήσεις ⟨ἂν⟩ τῶν ἐνιαυτῶν ἀνομένων ἐφεξῆς κείμενα καὶ κατὰ τάξιν τὰς αὐτὰς ὥρας ἀνατέλλοντα καὶ δυόμενα. ἡ Παρθένος ἀεὶ τῶι αὐτῶι καιρῶι καὶ δύεται καὶ ἀνατέλλει. ὡσαύτως καὶ ὁ Λέων καὶ τὰ ἄλλα πάντα τὰ ἀπλανῆ. τοῦτο οὖν εἶπε πρὸς τοὺς πλάνητας, ὅτι ἄτακτοι ἐκεῖνοι καὶ οὐ τὴν αὐτὴν πορείαν ὡρισμένην ἔχουσι καὶ περιφοράν, τὰ δὲ 'ἑξῆς' (452) καὶ κατὰ τάξιν κείμενά εἰσιν· οἱ γὰρ πλάνητες οὐκ ἔχουσι τάξιν τῆς θέσεως τοιαύτην, ἀλλὰ πλανώμενοι καὶ μετανάσται εἰσίν.

454. οἱ δ' ἐπιμὶξ ἄλλοι πέντε: προειπὼν περὶ τῶν ἀπλανῶν μεταβαίνει νῦν ἐπὶ τὸν τῶν πλανήτων λόγον. εἰ δὲ τούτους φησὶν εἶναι, δῆλον ὑπεξαιρούμενος ἥλιον καὶ σελήνην· οὗτοι γὰρ οἱ δύο τὸ ἀνάπαλιν πορεύονται (ἀπὸ γὰρ Καρκίνου ἐπὶ Λέοντα καὶ ἀπὸ Λέοντος ἐπὶ Παρθένον), οἱ μέντοι ἄλλοι ἀτάκτως φέρονται, ἔστι δὲ ὅτε ἱστάμενοι καὶ ὑποποδίζοντες·

---

1 τῶν διδύμων M ‖ 3 ὅτε AAld | δέκα Ald ‖ 5 λέγεται post δὲ AMAld: traieci ut Cat ‖ 5, 6 κύων ἐπειδὴ φιλοκύνηγος ἦν (διὸ καὶ add Ald) ταῦτα A Ald ‖ 6 παρατεθῆναι Cat: περιτεθῆναι AM, περιτέθειται Ald ‖ 7 supplevi e Cat ‖ 7—11 οὗτος — σύγκειται om AAld ‖ 12 om AAld: huc traieci, cf ad p. 425, 25 ‖ 13 τε θ. A | post θ. Ald πληρώσας τὰ περὶ τῆς ἀστροθεσίας ἐπιφέρει λέγων ‖ 15 δύνοντα Ald | ἥ τε γὰρ Π. Ald ‖ 16 καιρῶι MAld: καὶ β' A | ἀνατέλλει καὶ δύνει AAld | ὡς αὖτως M ‖ 16, 7 καὶ ὁ λ. ὡσ. Ald ‖ 18 ἄτακτον M | οὐ om A ‖ 18, 9 αὐτὴν ὡρ. ἔχ. φοράν. τὰ AAld ‖ 19 ἑξῆς καὶ om AAld ‖ 20 πλανῆται A ‖ 21 ἀλλὰ — εἰσίν om M ‖ 22 ἄλλοι πάντες AM ‖ 23 νῦν om M | εἰ δὲ M ‖ 24 δηλονότι Ald | corr Bekker: ὑπεξαιρούμενον A, -ενοι M, -ένου Ald | ἡλίου καὶ σελήνης Ald ‖ 25 γὰρ alt om A ‖ 26 οἱ δὲ AAld ‖ 27 post φέρονται AAld πρότερον (ὁτὲ pro πρ. Ald) μὲν τοῦ ἡλίου προβαίνοντος ρ' καὶ κ' (ρκ' Ald) μοίρας, ὁτὲ δὲ καὶ (καὶ om Ald) ὀπισθεν ἀπομένοντος omissis usque ad p. 427, 6 (ὁ δὲ —) omnibus

πολλάκις γὰρ [δ' ζώιδια] εἰς ἐκ τῶν ε' ἀστέρων πρὸ τοῦ ἡλίου ρ' καὶ κ' μοίρας προάγων οὐκέτι κινεῖται, ἕως οὗ ⟨ἂν⟩ ὁ ἥλιος ἐπίπροσθε γενόμενος ποιήσηι αὐτὸν ὑποποδίσαι· καὶ γὰρ ρ' μοίρας, εἶτα π' καὶ πάλιν ἐλάττονας, ἕως οὗ ⟨ἂν⟩ ἀποστῆι αὐτοῦ τὰς αὐτὰς ρκ', καὶ πάλιν πρόεισιν οὕτως. κυρίως οὖν εἶπεν αὐτοὺς πλάνητας διὰ τὴν ἄστατον καὶ ἄτακτον φοράν. § ὁ δὲ λόγος· οἱ δὲ ἄλλοι ε' πλάνητες ἐπιμὶξ — ⟨οὐδὲν ὅμοιοι —⟩ δινεύονται ἀντὶ τοῦ 'ἀναμεμιγμένοι, οὐκ ὄντες ὅμοιοι τοῖς προειρημένοις ἀπλανέσι, διὰ τῶν ιβ' ζωιδίων πλανῶνται'. § ἤτοι ἀναμεμιγμένοι ἢ ἀνάμικτοι τοῖς ἀπλανέσιν ἄστροις, οὐκέτι δὲ ὁμοίαν ἔχοντες τὴν φύσιν οὔτε τὴν λαμπηδόνα οὔτε τὴν θέσιν. ἢ ἄλλοι ἢ κατὰ ταῦτα ἢ κατὰ τὰς ἐνεργείας, φέρεσθαι δὲ αὐτοὺς διὰ τῶν ιβ' ζωιδίων ⟨φησίν⟩. § τὸ δὲ παλίνωρα (452) πάλιν τὰς ὥρας ἄγοντα, ἢ πάλιν κατὰ τὰς ὥρας ἀνατέλλοντα καὶ δύνοντα.

455. πάντοθεν εἰδώλων: παντόθεν φέρονται ἠρμοσμένην οὐκ ἔχοντες τάξιν. ἔχει δὲ οὕτως· ὁ οὐρανὸς ζ' ζώνας ἔχει οὐκ ἐπιψαυούσας τοῦ ζωιδιακοῦ, ἀλλ' ἀπηρτημένας ἐξ αὐτοῦ. τὴν μὲν πρώτην ἔχει ὁ Κρόνος, τὴν δὲ δευτέραν ὁ Ζεύς, τὴν δὲ τρίτην ὁ Ἄρης, τὴν δὲ τετάρτην ὁ ἥλιος, τὴν δὲ πέμπτην ἡ Ἀφροδίτη, τὴν δὲ ἕκτην ὁ Ἑρμῆς, τὴν δὲ ἑβδόμην ἡ σελήνη. καὶ ὁ μὲν ζωιδιακὸς κύκλος ἀνώτερος αὐτῶν ἐστι πάντων, αὐτοὶ δὲ εἰς ἰδικὸν κύκλον κεῖνται. ὑποκάτωθεν δέ εἰσι τοῦ ζωιδιακοῦ κύκλου ταπεινότεροι τῶν ἀπλανῶν ἄλλοι ἐν ἄλλωι ὕψει κατὰ τὸν ζωιδιακὸν κύκλον πλανῆται ἐκτρεπόμενοι τῆς ἴσης ὁδοῦ, δι' ἧς τὸν ἥλιον ἐπινοοῦμεν φερόμενον. καὶ ὁ μὲν Κρόνος εἰς ἕκαστον ζώιδιον ποιεῖ ἐνιαυτοὺς β' καὶ μῆνας ξ' (μείζων γὰρ αὐτοῦ ἡ περιφορά), ὡς ἀνύειν πάντα τὸν ζωιδιακὸν κύκλον δι' ἐτῶν λ', τὸν δὲ Δία ⟨φασὶ⟩ δι' ἐτῶν ιβ', τὸν δὲ Ἄρεα εἰς ἕκαστον ζώιδιον ἡμέρας μέ καὶ τὸν πάντα κύκλον ἀνύειν εἰς ἐνιαυτὸν καὶ μῆνας

cf Ach p. 44
Aetius p. 303 D.

---

1 cf Vitruv IX 4 (maxime § 11 sqq.) | διὰ τῶν ζωιδίων coni Thiele ‖ 4 ἐλαττόνως M ‖ 8 ἀναμεμιγμένως Ald ‖ 8, 9 τοῖς πρότερον ἀ. A ‖ 9 δὲ post διὰ AAld: om M | ζωιδίων om M ‖ 9—13 (ἤτοι — ζωιδίων) om AAld ‖ 12 ἄλλοι scripsi: ἄλλοις M ‖ 13 ζωδίων AM ‖ 13, 4 τῆς ὥρας AAld ‖ 14 ἄγοντα om AAld ‖ 15 ἠρμοσμένα Ald ‖ 16 μὴ ἔχοντα AAld | ἔχει M: καὶ A; ἔχει γὰρ ὁ οὐρ. ζ' ζώνας οὐκ Ald ‖ 17 τοῦ ζωιδιακοῦ corr Bekker: τῶ -ῶ AAld, τῶν -ῶν M | ἀλλ' — αὐτοῦ om AAld | ὧν ante τὴν Ald ‖ 19 ἡ om AM ‖ 20 ὁ om AM | ἡ om AM | καὶ om AM ‖ 21 πάντων om M ‖ 22 ἰδικοὺς κύκλους Ald | ὑποκάτω AAld ‖ 23 ἄλλοι scripsi: ἄλλοι δὲ Ald, ἄλλο AM ‖ 24 πλανῆται scripsi: πλανῶνται AMAld ‖ 26 ποιεῖ Ald: om AM ‖ 27 ὡς M: καὶ AAld | ἀνύει Ald, κύκλον om M ‖ 28 supplevi ‖ 28, 9 ὁ δὲ Ζεὺς — ὁ δὲ Ἄρης — ἡμέρας οδ' ποιεῖ καὶ π. τὸν κύκλον ἀνύει εἰς β' ἐνιαυτοὺς καὶ μῆνας ε' Ald ‖ 29 πάντα τὸν A

δ'. ὁ δὲ ἥλιος εἰς ἕκαστον ζώιδιον ποιεῖ μῆνα καὶ τὸν κύκλον εἰς ἐνιαυτὸν πληροῖ, ἡ δὲ Ἀφροδίτη εἰς ἕκαστον ζώιδιον κη' ἡμέρας, ὡς τὸν πάντα κύκλον εἰς ἡμέρας τλς', ὁ δὲ Ἑρμῆς εἰς ἕκαστον ζώιδιον ποιεῖ μῆνα καὶ τὸν πάντα κύκλον εἰς ἐνιαυτόν. ἡ δὲ σελήνη μένει εἰς ἕκαστον ζώιδιον βς' ἡμέρας, ἐπειδὴ καὶ πάντων βραχύτερός ἐστιν αὐτῆς ὁ κύκλος, ὡς τὸν ἅπαντα ζωιδιακὸν ἀνύειν αὐτὴν ἐν ἑνὶ μηνί. καὶ αὕτη μὲν ἡ τῶν πλανητῶν διακόσμησις.

εἴπομεν δέ (? p. 128, 19 sqq., cf p. 432, 13), ὅτι ἡ σελήνη αὐτὴ καθ' ἑαυτὴν ἀφανὴς ἡμῖν ἐστιν, ὑπὸ δὲ τοῦ ἡλίου φωτιζομένη φανερὰ ἡμῖν γίνεται. καὶ ὅτε μὲν αὐτῶι πλησιάζει, πᾶσα καὶ φαίνεται, ὅτε δὲ αὐτοῦ χωρίζεται, κατ' ὀλίγον ἀπολήγει καὶ πάλιν [ὅσον πλησιάσει] ὥσπερ γεννᾶται. διὸ καὶ παρὰ τραγικοῖς (Aeschyl fr 457 N.² Eurip Phoen 175) Ἡλίου θυγάτηρ λέγεται, διότι τὸ φῶς ἀπ' αὐτοῦ ἔχει.

456. οὐκ ἂν ἔτ' εἰς ἄλλους ὁρόων: ἐπειδὴ αὐτὸς τὴν διδασκαλίαν ἐποιήσατο τῶν Φαινομένων, ἀπ' αὐτῶν αὐτὰ διδάσκει, καὶ ἀπὸ μὲν τοῦ Βοώτου τὴν Παρθένον (96), ἀπὸ δὲ τῆς Ἄρκτου καὶ τοῦ Δράκοντος τὸν Ἐν γούνασι (63), καὶ δι' ὅλου ἀπὸ τῶν προεγνωσμένων καὶ παρακειμένων τὰ ἑξῆς ἐδίδαξεν. καὶ νῦν φησιν, ὅτι περὶ τῶν πλανητῶν οὐκ ἔστι τοῦτο εἰπεῖν· οὐδὲ γὰρ εἰς ἄλλους καὶ τοὺς πλησίον ἀφορῶν ἐκείνους ἂν εὕροις, ποῦ ποτε κεῖνται, ἐπειδὴ πάντες μετανάσται (457) καὶ φυγάδες καὶ οὐκ ἐν τῶι αὐτῶι κείμενοι.

καὶ ἄλλως. ὥστε οὐκ ἂν αὐτοὺς σημειωθῆναι ἔκ τινος τῶν ἀπλανῶν, ὥσπερ τῆι κεφαλῆι τῆς Ἀνδρομέδας τὸν Ἵππον σημειούμεθα (205) καὶ τοῖς ποσὶ τὸν Περσέα (248)· οὐ γὰρ τῶν μενόντων εἰσίν, ἀλλ' ἀντιφέρονται τῶι κόσμωι.

2—4 (κη' — ζώιδιον) om A ‖ 2, 3 post Ἑρμ. Ald κατά τινας μὲν ἐνιαυσιαίαν, κατὰ δὲ ἐνίους ὀκτωμηνιαίαν τὴν περιοδον ποιεῖ, ὁ δὲ Ἑρμῆς εἰς ἓξ μῆνας καὶ ἡμέρας ἓξ τὸν ἴδιον κύκλον ἀπαρτίζει ‖ 5 μένει om et ποιεῖ post ἡμέρας Ald | βς' scripsi, cf p. 12, 31: βλ' M, β' ἥμισυ A ‖ 6 ὡς καὶ τὸν πάντα Ald ‖ 7 ἀνύει ἐνὶ (omisso αὐτὴν) Ald | ἑνὶ om A ‖ 9 εἶπ. δὲ ὅτι om Ald ‖ 9, 10 αὐτὴ δὲ ἡ σελ. Ald | σελήνη om A ‖ 10 ἄφαντος ἡ. AAld | ὑπὸ Ald: ἀπὸ AM | 11 πλησιάσει AMAld | πᾶσα om AAld ‖ 12 τότε καὶ φαίνει Ald ‖ 13 ὅ. πλησιάσει AMAld | ὥσπερ om Ald | δι' ὃ M | τοῖς τρ. Ald ‖ 15 ἐπειδὴ τὸ AAld | ἐξ AAld ‖ 16 αὐτὴν τὴν AAld ‖ 17 ἐποιήσατο post Φαιν. AAld | ἀπ' αὐτῶν M: ἁπάντων AAld | αὐτὰ διδάσκει om AAld ‖ 18 τοῦ Ἄ. Ald ‖ 19 ἐν γόνασι M ‖ 20 παραχ. καὶ προεγν. Ald | καὶ ante νῦν om AAld ‖ 22 ἀλλήλους libri ‖ ἀφορῶν ante καὶ AAld | αὐτῶν post πλησίον AAld | ἐκείνοις M ‖ 23 πάντων M | καὶ φυγ. om AAld ‖ 24 ταυτῶ AAld ‖ 25 lemma om Ald, καὶ om M | ὅτε pro ὥστε A | αὐτὸν σημειώσαιο A | σημειώσαιτό τις Ald

457. *ἐπεὶ πάντες μετανάσται*: *οἱ πλάνητες συμφέρονται μὲν τῶι οὐρανῶι ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν καὶ ἀπὸ δύσεως ἐπὶ ἀνατολήν, κινοῦνται δὲ ἰδίαν τινὰ καὶ προαιρετικὴν κίνησιν διὰ τῶν ιβ' ζωιδίων ἐναντίοι φερόμενοι, τουτέστιν ἀπὸ δύσεως ἐπὶ ἀνατολὴν πορευόμενοι.*

458. *μακροὶ δέ σφεων εἰσίν*: *μακροὶ δὲ καὶ πολλοὶ κυκλουμένων αὐτῶν οἱ ἐνιαυτοὶ ἔσονται, καὶ σφόδρα πολὺς ὁ χρόνος, καὶ μεγάλα τὰ τεκμήρια ἀπόπροθεν καὶ ἐκ τοῦ διεστηκέναι αὐτῶν κατὰ τὴν περιφορὰν συνερχομένων καὶ εἰς ταὐτὸ συνιόντων. αἰνίττεται δὲ εἰς τὸν εἰρημένον ὑπὸ τῶν φυσικῶν καὶ φιλοσόφων καὶ μαθηματικῶν, ὧν ὁ δοκιμώτερος ὁ Πλάτων* (Tim p. 39 D)· *τότε γὰρ εἶπον μέγαν ἐνιαυτόν, ὅτε συνέρχονται οἱ ζ' οὗτοι ἀστέρες ἐν ἑνὶ ζωιδίωι ὑπὸ τὴν αὐτὴν μοῖραν· τότε γὰρ συμπέρασμα τῆς οἰκουμένης γίνεται, καὶ ἀπόλλυται οὗτος ὁ κόσμος συνελθόντων αὐτῶν. καὶ πάλιν κινηθέντων ἐκ τοῦ αὐτοῦ ζωιδίου ἀνανέωσιν καὶ κτίσιν ἄλλου κόσμου εἶναι ἔφασαν. ἐψήφισαν δὲ καὶ κατελάβοντο τοῦτο γίνεσθαι μυριάσι πολλῶν ἐνιαυτῶν.*

καὶ ἄλλως. *ὅταν ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον καταντήσωσιν οἱ πάντες, ἐνιαυτός ἐστιν. ὅταν ἀφ' οὗ ⟨ἄν⟩ τις ἄρξηται σημείου φέρεσθαι ἐπὶ τὸ αὐτὸ πάλιν ἔλθηι χρόνωι τινί.*

460. *οὐδέ τι Θαρσαλέος κείνων ἐγώ*: *ἄχρι τοῦ ἐγώ στικτέον, εἶτα ἀπ' ἄλλης ἀρχῆς τὸ ἄρκιος εἴην ἀναγνωστέον, ἵν' ἦι 'οὐκ ἂν εὐθαρσὴς εἴην περὶ τῶν πλανητῶν εἰπεῖν, ἀρκοῦν δ' ἂν εἴη μοι τὸ περὶ τῶν ἀπλανῶν μάθημα'.*

1–5 om AAld ‖ 6 *εἰσιν* om M, *καὶ* om A ‖ 6, 7 *κυκλομένον* A ‖ 7 *ὁ λόγος τοῦ χρόνου* A, *ὁ τοῦ χρ. λόγος* Ald ‖ 8 *μακρὰ* pro *μεγ.* Ald, om A | *ἀπόπροθεν εἰς ἓν αὐτῶν ἰόντων, ἀντὶ τοῦ διὰ μακροῦ χρόνου κατὰ τὴν περιφ. εἰς ταὐτὸν συνερχομένων ἐκ τοῦ διεστηκέναι αὐτὰ πάμπολυ. αἰν. δὲ* Ald | *αὐτὰ* A, *-οὺς* M | 9 *συνεισερχόμενα καὶ εἰς ταυτὸν συνιέντα* A ‖ 10 *δὲ εἰς* om AAld | *τὸ* Ald | *καὶ* ante *φ.* om AAld ‖ 11 *καὶ δ. ὁ Πλ.* AM, *ὁ δ. Πλ.* Ald ‖ 12 *ἐκεῖνον* pro *τότε* Ald | *ὅταν* A | *συνέρχωνται* Ald ‖ 13 *ὑπὲρ* A ‖ 15 *ζωιδίου* om Ald ‖ 16 *ἀνάνευσιν* AAld | *εἶναι κόσμου ἄλλου* Ald | *ἔφησαν* ut videtur A ‖ 17 *κ. τὸ γ.* A | *δὲ καὶ εὗρον γίν. ἐν μ. π. ἐ.* Ald ‖ 18 *καὶ ἄλλως* om MAld | *οὖν* post *ὅταν* Ald ‖ 19 *ὁ ἐ.* M | *γὰρ* (om A) *ἀφ' οὗ* AAld, *αὐτοῦ* M ‖ 20 supplevi | *ἢ χρόνου* post *σ.* (omisso *φέρεσθαι*) Ald ‖ 20, 1 *τῶ αὐτῶ — χρ.* (omisso *τινι*) A ‖ 20 *ἐνιαυτός ἐστι* post *ἔλθηι* iterum Ald ‖ 22 *οὐκέτι* AAld | *Θαρσαλέως* (omisso *κείνων ἐγώ*) A, cf ed Arati ‖ 22, 3 *μέχρι τούτου στικτέον* Ald | 23 *ἀπογνωστέον* Ald ‖ 24 *ἦι — εὐθαρσὴς* om M | *εἴην* om Ald ‖ 25 *τὸ* om M

ἄλλως. οὐκέτι θαρσαλέος εἰμὶ ἐγώ, ἀλλὰ γενοίμην αὐτάρκης καὶ τῶν ἀπλανῶν τὰς περιτροπὰς καὶ περιφορὰς καὶ τὰ ἐν αἰθέρι σημεῖα εἰπεῖν. αἰτία δὲ τούτου ἡ τῶν περὶ αὐτοὺς γινομένων ποικιλία, στηριγμοί, προηγήσεις, ὑπολείψεις, ἐπιτολαὶ ἑωθιναί τε καὶ ἑσπέριοι καὶ τὰ τούτων ἀδελφά. φαίνονται δὲ ἀνώμαλοι τοῖς μεγέθεσιν καὶ ταῖς χρόαις ἀνόμοιοι πρός τε ἑαυτοὺς καὶ πρὸς ἀλλήλους. ἴσως οὔπω διηκριβώσατο ταῦτα, ἐπεὶ μηδὲ ῥάιδια ἦν ἐντιθέναι εἰς ποίησιν· ἐχώρει γὰρ ἂν εἰς ἀριθμοὺς καὶ μέτρα καὶ λεπτὰ καὶ μόρια. Cf Aratea p. 219 sq.

ἄλλως. φησίν, ὅτι τῶν πλανητῶν οὐ δυνατόν ἐστι τοὺς κύκλους εἰπεῖν οὐδὲ τὰ ἐν τῶι αἰθέρι σημεῖα. ὅθεν ἐπιτιμῶσι τῶι Ἀράτωι ἀδυναμίαν, φήσαντι ἀδυνάτωι εἶναι περὶ τοίτων λέγειν, ἁπαξαπλῶς προθεμένωι περὶ τῶν Φαινομένων εἰπεῖν (cf Ach p. 42). *ἡ δὲ φράσις πέπλεκται, καὶ ἔστι κοινὸν 'τά τε κύκλα τά τε σημεῖα εἰπεῖν', ἵν' ᾖι 'τῶν μὲν πλανητῶν τὰ σημεῖα καὶ τὰ κύκλα οὐ θαρρῶ εἰπεῖν, ἐκείνων δέ, τουτέστι τῶν ἀπλανῶν, ἄρκιος εἴην'.*

462. *ἤτοι μὲν τά γε κεῖται: διδάξας τὰ περὶ τῶν Φαινομένων ἦλθε πάλιν ἐπὶ τὴν τῶν κύκλων διδασκαλίαν, οἵτινες αὐτοὶ μὲν καθ' ἑαυτοὺς ἀφανεῖς εἰσι πλὴν τοῦ γαλαξίου, ὅτι ἐστὶ νεφελώδης. ἀπὸ τῶν ἐπιψαυόντων δὲ αὐτῶν ζωιδίων ποιεῖται τὴν κατάληψιν. ποιεῖται δὲ λόγον περὶ τῶν δ' κύκλων, τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ ἰσημερινοῦ καὶ τοῦ χειμερινοῦ καὶ τοῦ ζωιδιακοῦ· οὗτοι γάρ εἰσι μάλιστα βιωφελεῖς, ὁ δὲ ἀρκτικὸς καὶ ὁ ἀνταρκτικὸς καὶ ὁ γαλαξίας οὐδεμίαν τροπῆς ὠφέλειαν ἔχουσι, καὶ ὁ μὲν θερινὸς τροπικός, ὅτι ἐν τῶι Καρκίνωι γενόμενος ἄρχεται τὸ θέρος ποιεῖν, ὁ δὲ ἰσημερινός, ὅτι δύο γίνονται ἰσημερίαι, μία μὲν ἐαρινὴ τῶι Κριῶι Φαμενὼθ κέ, ὅς ἐστι κατὰ Ῥωμαίους Μάρτιος, ὅτε προσθήκην λαμβάνουσιν αἱ*

---

1 *ἐγώ* om A, *ἄλλως — ἀλλὰ* om Ald | *γενοίμην οὖν φησιν* Ald ‖ 2, 3 *ἐν ἑκάστω* libri: correxi e l. 11, cf v. 461 ‖ 3 *τούτων* AAld | *αὐ* A, *αὐτὰ* Ald | *γινομένη* AAld ‖ 4 *ὑπολείψεις* scripsi: *ὑπολήψεις* libri ‖ 6 *τοῖς μεγέθεσιν* om Ald | *πρός τε ἑ. καὶ* om AAld ‖ 7 *καὶ ἴσως οὐδὲ προηκριβώσατο περὶ τούτων* Ald ‖ 7, 8 *οὐδὲ ῥάιδιόν ἐστι τὸ περὶ τούτων θεῖναι* Ald ‖ 8 *ἄν* om AM ‖ 10 *φησίν* om A Ald | *ὅταν* AAld | *δὲ* post *ὅτ.* Ald ‖ 11 post *εἰπεῖν* Ald *εὔδηλον ὅτι οὐδὲ* Ald | *καὶ εἰκότως* post *ὅθεν* Ald ‖ 12 *ἀδυνάτωι ὄντι* A, *ἀδύνατον εἶναι* Ald ‖ 13 *λέγει* A | *ἅπαξ ἁπλῶς* A | *προθεμένωι* Ald: *προθέμενος* A, *-ου* M | *τῶν* om M ‖ 15 *κ. καὶ τὰ σ.* Ald ‖ 17 *εἰμι* Ald, om A ‖ 18 *κεῖται* om M ‖ 19 *ἦλθον* A ‖ 20 *αὐτοὺς* Ald | *εἰσὶν* M | *εἰσὶ εἰμὶ* (*ἡμῖν* Ald) *πλὴν* AAld ‖ 21 *αὐτοῦ* A, *αὐτοῖς* M ‖ 25 *ὁ* prius om Ald ‖ 26 *τῶι* om AAld ‖ 28 *φαμενὼθ* M | *κε'* om AAld ‖ 29 *οτι* A

ἡμέραι. γίνεται δὲ χειμερινὴ ἰσημερία ἐν ταῖς Χηλαῖς, ἐν τῶι Ζυγῶι, τῶι Φαωφὶ μηνί, ὃς ἐστιν Ὀκτώβριος, ὅτε καὶ αἱ νύκτες προσθήκην λαμβάνουσιν, ὁ δὲ χειμερινός, ὅτε ⟨ἐν⟩ Αἰγοκέρωτι ἄρχεται τὸν χειμῶνα ποιεῖν, καὶ ὁ ζωιδιακὸς δέ, ὅτε διαπορευόμενος τοῦτον ὁ ἥλιος ἐνιαυσίως τοῦ τε χειμῶνος καὶ τοῦ θέρους αἴτιος γίνεται.

ἐναλίγκια δινωτοῖσιν: ὅμοια ὄντα περιφερέσιν, οἱονεὶ τροχοειδῆ κυκλοτερῆ. § τούτων δὲ τῶν κύκλων, φησί (463), τῶν δ' ὠφέλεια γένοιτο ⟨καὶ⟩ ποθὴ διὰ τὴν ⟨ἐν⟩τροπήν, ποίου ἐπιψαύσας τροπὴν ποιεῖ. ἐκ δὲ τούτου ὠφέλεια· τοῖς γὰρ πράγμασιν εὐκαίρως ἐπιβάλλομεν ἢ ἐν τῶι γεωργεῖν ἢ ἐν τῶι πλεῖν. περιέπουσι δὲ τὸν οὐρανὸν κύκλοι τέσσαρες, θερινὸς τροπικός, χειμερινὸς τροπικός, ἰσημερινὸς καὶ ζωιδιακός, οἳ ὠφέλιμοι διὰ τῆς σκέψεως αὐτῶν, τὰς διαφορὰς τῶν ἐτησίων ἀνέμων δεικνύντες, καιρῶν τε καὶ διαστημάτων. σημεῖα δὲ πᾶσιν αὐτοῖς ἐφήρμοσται κατωνομασμένα, πολλῶν ζωιδίων περὶ ἕκαστον κύκλον θεωρουμένων καὶ ἀλλήλοις συνηρμοσμένων, αὐτοὶ δὲ καταλαμβάνονται ἐν παραλλήλωι θέσει ἀσάλευτον ἔχοντες φύσιν, ὅσον μὲν ἐπὶ τῶι ἀκίνητοι καὶ ἀπλανεῖς εἶναι ἀναλογοῦντες ἀλλήλοις, τῶι δὲ μεγέθει διαφέροντες οἱ δύο τῶν δύο· ὁ μὲν γὰρ ἰσημερινὸς καὶ ζωιδιακὸς διάκεντροι τυγχάνοντες καὶ τὸν μέγιστον διαγράφοντες κύκλον τῶν μὲν πρότερόν εἰσι μείζους, αὐτοὶ δὲ ἑαυτοῖς ἀναλογοῦσι τῶι μεγέθει. § τὸ δὲ μέτρα περισκοπέοντι τὰς τοῦ ἔτους περιτροπὰς καὶ περιόδους σκοποῦντι, ἀννομένων τῶν ἐνιαυτῶν· ἑκάστη γὰρ τροπὴ [ἡ] περίοδος.

466. σήματ⟨α δ'⟩ εὖ μάλα πᾶσιν: σημεῖα δέ φησιν αὐτοῖς

---

1 δὲ om A | ἰσ. χειμ. A | ἑτέρα δὲ χειμ. ἡ ἐν τ. Ald ‖ 3 ὅτι ἐν Ald ‖ 4 ὁ δὲ ζ. Ald | ὅτι Ald, evanidum A ‖ 5 τοῦτο A | τῶν τε χειμώνων M, τοῦ χειμῶνός τε AAld ‖ 7 τῶν καὶ μάλιστα ποθῆ pro lemmate A, τὸ δὲ ἐναλίγκια δεινωτοῖσιν ἤγουν ὁ. Ald ‖ 8 τῶν καὶ μάλιστα lemmate praefixo Ald | δὲ om Ald ‖ 8, 9 τ. τεσσάρων Ald ‖ 9 supplevi M | ποθεῖ M | ὠφ. γέν. τὸ ποθὴ μὲν διὰ A; ποθὴ γέν. καὶ ὠφ. ποθὴ μέν, ὅτι δεῖ εἰδέναι ποίου — ὠφ. δὲ ὅτι τοῖς πράγμασιν Ald | supplevi | ποιοῦ A ‖ 10 ποίαν post ἐπιψ. add Ald | τούτων A ‖ 12—23 om AAld ‖ 14 σκήψεως M ‖ 19 ἀκινήτους M ‖ 20 τῶν δὲ μ. M ‖ 23 ἑαυτοὺς M, cf l. 19 sqq. | schol post l. 11 A | τὸ δὲ om AAld ‖ 23, 4 περισκοπέοντι om Ald ‖ 24 μέτρα ante τὰς iteratum A, ἤγουν Ald | τροπὰς AAld | περισκοποῦντι AAld ‖ 25 ἑκάστου Ald | seclusi ‖ 26—p. 432, 1 post p. 432, 8 κατωτέρω: — lemmate ἄλλως praefixo A, sine lemmate Ald sic λέγει δὲ σήματα αὐτοὺς τοὺς ἀστέρας τῶν κύκλων, δι' ὧν γρ. σαφῶς, ὧν τὰ μὲν περὶ αὐτοὺς τὰ δὲ ἐπ' αὐτοὺς τὰ δὲ σύνεγγυς ‖ 26 σημεῖα M: σήματα A, cf Ald | φησιν om A

τοῖς κύκλοις, τοὺς ἀστέρας λέγων, δι' ὧν γράφονται, σαφῆ καὶ γνώριμα εἶναι. ἀλλὰ τὰ μὲν περὶ αὐτούς, τὰ δὲ ἐπ' αὐτῶν, τὰ δὲ σύνεγγυς. § συνεερμένα δὲ (466) συνηρμοσμένα. § τὸ δὲ ἐπιρρήδην (465) ὡς ἐξονομακλήδην (Il XXII 415 al).

σήματα δ' εὖ μάλα: ἐπειδὴ οὗτοι καθ' ἑαυτοὺς ἀόρατοί εἰσι καὶ οὐ καταλαμβάνονται, διὰ τοῦτό φησιν, ὅτι σημεῖα ἑκάστωι ἐπιρρήδην καὶ δυνάμενα ληφθῆναι ἐκ τοῦ σύνεγγυς καὶ πανταχόθεν συνημμένα, καὶ ἐπάγει τὰ σημεῖα κατωτέρω (480 sqq.). ἐντεῦθεν δὲ περὶ τῶν κύκλων διεξέρχεται· τὸν γὰρ πάντα λόγον τῆς σφαίρας εἰς δ' διεῖλεν. καὶ πρῶτον μὲν ἠρίθμηται τὰ ἑστερισμένα, δεύτερον δὲ περὶ κύκλων λέγει, ἔξῆς δὲ περὶ συνανατολῶν καὶ συνδύσεων, τελευτὴν δὲ περὶ σημείων. ὄντων δὲ πλειόνων κύκλων, ὡς ἐδηλώσαμεν ἐν ἀρχῆι τοῦ βιβλίου (? p. 128, 27 sqq.), τούτους μόνους ἐξείλετο, ἰσημερινόν τε καὶ ζωιδιακὸν καὶ τοὺς τροπικοὺς δύο· τούτων γὰρ μάλιστα δεόμεθα πρὸς γνῶσιν τῶν φαινομένων. εἰσὶ δὲ καὶ βέβαιοι καὶ μόνιμοι· τῶν γὰρ ἄλλων οἱ μὲν κατὰ μέγεθος μεταβάλλουσιν, ὥσπερ οἱ ἀρκτικοί, οἱ δὲ κατὰ τὰ μεγέθη· εἰσὶ γὰρ τέλειοι οἱ μέγιστοι ἐν τοῖς μάλιστα μεταπίπτουσι ζωιδίοις, οἱ δὲ δ' πᾶσιν οἱ αὐτοὶ ἀεί, ζωιδιακὸς ἰσημερινὸς ⟨τροπικοὶ δύο⟩.

467. αὐτοὶ δ' ἀπλανέες —: αὐτοὶ δὲ κύκλοι ἀπλανεῖς καὶ πάντες ἡρμοσμένοι ἀλλήλοις εἰσίν, εἴγε καὶ ἀρχόμενοι παραλλήλους αὐτοὺς εἰρήκασιν εἶναι. τί οὖν φαμεν εἶναι τὸ ἀρηρότες κατὰ τὸ μέγεθος ἀλλήλοισι; ἴσοι γάρ εἰσι τῶι μεγέθει οὐχ οἱ πάντες, ἀλλ' ὁ ἰσημερινὸς τῶι ζωιδιακῶι (οὗτοι γὰρ μεσάζουσι τὴν σφαῖραν), ἴσοι δὲ ὅ τε θερινὸς τροπικὸς καὶ ὁ χειμερινός. καὶ ὅτι τοῦτό ἐστιν, ἐπιφέρει καὶ αὐτὸς ἀτὰρ μέτρωι γε δύω δυσὶν ἀντιφέρονται (468). τινὲς δὲ οὕτως ἤκουσαν τὸ δύω δυσὶν ἀντιφέρονται ἀντὶ τοῦ ἐναντιοῦνται (καὶ γὰρ ἀντι-

---

1 λέγει A, cf Ald ad l. 431, 26 ‖ 1, 2 καὶ γνώριμα εἶναι om A ‖ 2 π. αὐτὰ A | ἐπ' αὐτὰ A, ἐπ' αὐτοὺς Ald ‖ 3, 4 τὸ — ἐξον. om AAld ‖ 5 lemma om et scholia coniunxit A | αὐτοὺς A | ἄρατοι A ‖ 6 οὐδὲ κατ. M ‖ 6, 7 ἑκάστου AAld ‖ 8 συνημμένα AAld: συνηγμένα M | σ. (κεῖνται add Ald), ἐπάγει (ἐρεῖ Ald) δὲ τὰ AAld | κατωτέρω: — A sequente p. 431, 26 sqq. ‖ 9—20 om A Ald ‖ 19 ? ‖ 20 supplevi ‖ 22 παρηρμοσμένοι Ald | ἀρχόμενοι om Ald ‖ 23 αὐτοὺς om M | καὶ τί A ‖ φασὶ A | εἶναι om A ‖ 23—27 ἀρηρότες οὖν ἤγουν ηρμοσμένοι ἀλλ. κατὰ τὸ μ. πλὴν οὐχὶ πάντες ἴσοι εἰσίν, ἀλλ' ὁ μὲν ἰσ. — σφαῖραν, ὁ δὲ θερ. τρ. τῶι χειμερινῶι. καὶ ὅτι Ald ‖ 24 ἀλλήλοισι κατὰ μέγεθος A ‖ 24, 5 τὸ μέγεθος οὐχὶ πάντες A ‖ 26 ἴσοι δὲ om A ‖ 27 ἐπιφέρων A | αὐτὰρ MAld | δύο M ‖ 27, 8 δύω δυσὶν om AAld ‖ 29 ἐναντιοῦται A

φερίζειν ἐστὶ τὸ ἐναντιοῦσθαι), ἵν' οὕτως ἀκούωμεν, ὅτι 'ὁ ζωιδιακὸς καὶ ὁ θερινὸς ἐναντίοι εἰσίν'· ὁ μὲν γὰρ ζωιδιακὸς μείζων, ὁ δὲ ἐλάσσων, καὶ πάλιν ὁ μὲν ἰσημερινὸς μείζων, ὁ δὲ χειμερινὸς ἐλάσσων. § ἢ δύω δυσὶν ἀντιφέρονται: τῶι μεγέθει κατὰ δυάδα ἀναλογοῦσιν ἀλλήλοις ἡρμοσμένοι. τούτων οἱ μὲν τροπικοὶ κατὰ τὰς ἐπαφὰς συνέχουσιν τὸν ζωιδιακόν, ὁ δὲ ἰσημερινὸς κατὰ τομὰς συνδέδεται τῶι ζωιδιακῶι. τὸ δὲ ἀπλανέες νοητοί. διὸ καὶ σημείων τινῶν ἐδεήθημεν κατὰ τὴν ἐπίγνωσιν, τῶν τόπων αὐτῶν οὐ δυναμένων τῆι ὄψει ληφθῆναι, καθάπερ ὁ Γάλακτος τύπος, ὃς καλεῖται γαλαξίας. ὁ ἰσημερινὸς δὲ τέμνει μέσα τὸν διὰ μέσων καὶ τέμνεται ὑπ' αὐτοῦ. τομαὶ δέ εἰσιν αὐτοῦ Κριοῦ καὶ τῶν Χηλῶν ἀρχαί, καθ' ἃς ἀμφοτέρας γενόμενος ὁ ἥλιος τὰς ἰσημερίας ἄγει ἔαρος καὶ μετοπώρου καὶ κατ' ἀμφοτέρας δι' αὐτοῦ τὴν περιφορὰν ποιεῖται [παρ' αὐτοῦ] τοῦ κληθέντος ἰσημερινοῦ. ἴσος δέ ἐστι . . . καὶ διὰ μέσων καὶ μέγιστος τῶν παραλλήλων καὶ δίχα τὴν γῆν καὶ τὸν οὐρανὸν τέμνει τῶν πόλων ἑκατέρων τῶι ἴσωι διεστώς. τούτων δὲ ὡμολογημένων σαφῆ γίνεται τὰ λεγόμενα. § τὸ δὲ ἀτὰρ μέτρωι γε — (468): ἴσοι ὁ ἰσημερινὸς καὶ ὁ ζωιδιακός (μέγιστοι γάρ). οἱ δὲ τροπικοὶ τούτων μὲν ἐλάττους, ἴσος δὲ ἑκάτερος αὐτῶν τῶι λοιπῶι.

ἄλλως. ἕκαστον δωδεκατημόριον μοιρῶν λ', ὥστε εἶναι τὸν κύκλον μοιρῶν τξ'. ὁ τοίνυν ἥλιος ὑπεναντίως τῶι παντὶ τὴν ἰδίαν ποιούμενος κίνησιν μίαν ἔγγιστα μοῖραν ἑκάστης ἡμέρας ὑπολειπόμενος, κατὰ μὲν τὴν ἀρχὴν τοῦ Καρκίνου γενόμενος, ὅτε καὶ βορειότατός ἐστι, θέρους ἄγει τροπήν, καθ' ἣν μάλιστα τὴν ὑπὲρ γῆς αὐτοῦ φαινομένην ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν φοράν, ἣν κοινῶς λέγομεν ἡμέραν, μεγίστην τῶν ἄλλων ἐν τῶι ἐνιαυτῶι πασῶν, τὴν δὲ λοιπὴν ὑπὲρ γῆς ἀνατολὴν καὶ περιφοράν, ἣν νύκτα λέγομεν, ἐλαχίστην εἶναι συμβέβηκε διὰ τὸ κατὰ τὸ ὡς πρὸς ἡμᾶς μέρος ἐξηιρημένον τοῦ πόλου.

469. εἴ ποτέ τοι νυκτός: τῆς ἀνεφέλου. ὁ δὲ λόγος· εἴ ποτέ σοι ἀνεφέλου νυκτὸς οὔσης, ὅτε καὶ τοὺς ἑαυτῆς ἀστέρας

---

1 ἐστὶ om AAld | ἵνα οὕτω A ‖ 4—31 om AAld ‖ 4,5 κ. δὲ δυάδα Bekker ‖ 7 τομὰς Bekker, cf l. 11: τὸ μὲν M ‖ 8 τὴν om Bekker ‖ 10 τοπος Bekker ‖ 10—31 om Bekker ‖ 11 μέσον M ‖ 14 seclusi ‖ 15 ἴσως δὲ ἔστω M ‖ 23 ἥ. -ος M ‖ 29 an ὑπὸ γῆς ἐπ' ἀνατολὴν φοράν? ‖ 31 μέρος ante ὡς M: traieci ‖ 32 νυκτός — λόγος om AAld ‖ 33 ὅτι A; τότε γὰρ τοὺς ἀ. ἀκρ. Ald

ἀκριβέστερον ἐπιδείκνυται ἡ νὺξ καὶ οὐδεὶς τῶν ἀστέρων ἀδρανὴς τὸ φῶς ἐκ τῆς σελήνης φέρεται, ἀλλὰ πᾶς ἀστὴρ φαίνεται· εἰ δήποτέ σοι τὸ τηνικαῦτα ἔκπληξις ἦλθε καὶ θαυμασμὸς κατανοήσαντι τὸν οὐρανὸν πανταχόθεν ἡπλωμένον σφαιροειδῶς καὶ περιφερῶς ἢ καὶ ἄλλος παρεστηκώς τις ἔδειξεν ἐκεῖνο τὸ περίβλεπτον, [ὅπερ] Γάλα καλοῦσιν. λέγει δὲ τὸν γαλαξίαν κύκλον· οὗτος γὰρ μόνος παρὰ τοὺς ἄλλους πάντας ὄψει ἐστὶν εἰκατάληπτος διὰ τὴν ἐν αὐτῶι ὥσπερ νεφελώδη πίλησιν. § τὸ δὲ ἀδρανέοντι (471) ἐκ τοῦ φωτὸς τῆς σελήνης ἀδρανιζομένωι. § τὸ δὲ διχόμηνι γράφεται καὶ νεόμηνι, τῆι νεωστὶ καὶ πρῶτον ἐκ συνόδου φαινομένηι, ἐπειδὴ τότε ἐμφανῆ εἰσι τὰ ἄστρα μὴ καταυγαζόμενα ὑπὸ τοῦ σεληνιακοῦ φωτός.

470. οὐρανίη Νύξ: ἤτοι ὅτι τῶν οὐρανίων θεῶν, ἢ ἐν ᾗι μάλιστα ἐκφανὴς ὁ οὐρανός. ἢ τάχα κατὰ τὸ μεσονύκτιον· τότε γὰρ ἀκριβοῦται μάλιστα τὰ ἄστρα ὀξέως φαινόμενα.

✓ Ach I p. 85
An I p. 95
Hyg II 43 al

474. εὑρέι κύκλωι: εἰ τοίνυν ἀσελήνου νυκτὸς οὔσης θελήσεις τὸν γαλαξίαν σκέψασθαι, ὧι πᾶς διχοτομεῖται ὁ οὐρανός (ἔστι γὰρ τῶν μεγίστων κύκλων), φανήσεταί σοι ὅμοιος γάλακτι· ἔστι γὰρ οὗτος λευκός, λοξούμενος διὰ τῶν τροπικῶν καὶ σμικρὸν ὑπερπίπτων αὐτούς, τέμνων τὸν ζωιδιακὸν κύκλον κατὰ Διδύμους καὶ Τοξότην. εἴρηται δὲ οὕτως διὰ τὸ λευκαῖς νεφέλαις σημαίνεσθαι τὴν περιγραφὴν αὐτοῦ. § Ἐρατοσθένης δέ φησι μυθικῶς αὐτὸν ἐξηγούμενος (Mercur fr II p. 6 Hill) ὑπὸ τοῦ τῆς Ἥρας γάλακτος γεγενῆσθαι, ἐκχυθέντος· ἤκουσε γὰρ περὶ τοῦ Ἑρμοῦ, ὅτε οὐκ ἴδιος αὐτῆς ἐστιν.

476. κεῖνο περιγληνές: ὅπερ κύκλωι τὸν οὐρανὸν περι-

---

1 ἐπιδ. ἀκρ. A ‖ 2 κατὰ ante τὸ Ald | τῆς ἡλίου περιφορᾶς ἀλλὰ A Ald | ἀστὴρ om Ald ‖ 3 δὲ A, om Ald | οὖν ante σοι Ald ‖ 5 ἄλλως A | τις παρ. Ald ‖ 6 seclusi, cf Aratus | γάλα om A | καλοῦσι γάλα Ald | τὸν om A ‖ 7 μόνος τῶν ἄλλων ὄψει Ald | πάντας om A | ἐστὶν om AAld ‖ 8 καταλ. Ald | πόλησιν A ‖ 9 ἀφανέων A, ἀδρανέων Ald ut Aratus | φωτὸς ἡλίου ἀδρανίζων A, φ. τοῦ ἡ. ἀδρανιζόμενος Ald ‖ 10 ἤγουν τῆι Ald ‖ 13, 4 Ald ita ἴσθι, ὅτι τούτωι τῶι γαλαξίαι ὁμόχρους ἄλλος οὐδεὶς κύκλος ἐστίν. τὸ οὖν ὅτε πάντας ἀγαυούς ἤτοι ὅτε τὰ οὐράνια ὁρῶνται ἢ ἐφ' ἧι μάλιστα ἐμφανὴς ὁ οὐρανός, ἢ τάχα κατὰ τὸ μ. ‖ 13 ὅτε πάντας ἀγαυούς (469) pro lemmate A | ὅτε A ‖ 14 τάχα A, ἢ τάχα γὰρ (om Ald) MAld ‖ 15 ἀκριβοῦνται Ald | ὀξέα AAld ‖ 16 πάντη (γε add Ald) κεκασμένον pro lemmate AAld ‖ 17 ὁ om A ‖ 23 διηγούμενος AAld ‖ 25 περὶ A: παρὰ MAld | αὐτῆς om AAld ‖ 26 θεάσηι οὖν ante κεῖνο Ald | γὰρ post κεῖνο A | τὸ περ. Ald | τὸν οὐρανὸν om M

λαμβάνει, τὸ καλούμενον Γάλα· καὶ γὰρ τοῦ ζωιδιακοῦ μᾶλλον ἐμπεριέλαβε τὸν οὐρανόν· ὁ μὲν γὰρ ζωιδιακὸς μέχρι τῶν τροπικῶν κάτεισιν, ὃ δὲ καὶ τῶν λοιπῶν ἐπιψαύει κύκλων.

477. τῶι δή τοι χροιὴν μέν: τούτωι δὴ τῶι γαλαξίαι. § νοοῦνται δὲ καὶ ἄλλοι κύκλοι, ἄπειροι μὲν ⟨οἱ⟩ ὑφ' ἑκάστου τῶν ἀστέρων τῆι περιφορᾶι γραφόμενοι παράλληλοι περὶ τοὺς αὐτοὺς τῶι κόσμωι πόλους κείμενοι, ἄπειροι δὲ οἱ διὰ τῶν πόλων ὀρθοὶ πρὸς τοὺς παραλλήλους καλούμενοι κόλουροι, ἄπειροι δὲ οἱ μήτε παράλληλοι μήτε διὰ τῶν πόλων ἀλλὰ λοξοί, πεπαρμένοι δὲ ἐν τοῖς ἀπείροις. κόλουροι δέ, ὅτι μέρος αὐτῶν ἀφαιρεῖταί τι καὶ ἔστιν ὑπὸ γῆν. ὁ δὲ Ἄρατος τούτων οὐκ ἐμνήσθη οὐδενός. § ὁ δὲ νοῦς· τούτωι δὴ τῶι γαλαξίαι οὐδεὶς τῶν ἄλλων ἐστὶ τὴν χροιὰν ὅμοιος. διὸ καὶ οἱ ἄλλοι ἀφανεῖς, αὐτὸς δὲ φανερός ἐστιν. § τὸ δὲ δινεῖται (478) συμπεριφέρεται τῶι οὐρανῶι.

ἄλλως. τῶι γαλαξίαι οἱ δύο τῶν εἰρημένων τεσσάρων ἰσόμετροί εἰσιν, ὅ τε ζωιδιακὸς καὶ ὁ ἰσημερινός (καὶ γὰρ οὗτοι μέγιστοι), οἱ δὲ λοιποὶ δύο μείονες, τουτέστιν ὅ τε χειμερινὸς τροπικὸς καὶ ὁ θερινός.

480. τῶν ὃ μὲν ἐγγύθεν ἐστίν: λοιπὸν ἑξῆς διδασκαλίαν ποιεῖται ἀκολούθως πάλιν ἀπὸ τοῦ βορειοτέρου κύκλου καί φησιν 'ὁ μὲν θερινὸς πλησίον ἐστὶ τοῦ βορέου'. καὶ ἐν ἄλλοις εἶπεν νέον κατιόντος ἀκούει (241).

481. ἐν δέ οἱ ἀμφότεραι: λοιπὸν ἀπὸ τῶν ἐπικειμένων ἄστρων τὴν κατάθεσιν ποιεῖται. ἄρχεται δὲ ἀπὸ τῶν Διδύμων, ὧν ἐν ταῖς κεφαλαῖς ἐστιν ὁ κύκλος. ἐν αὐτῶι δὴ καὶ τοῦ Ἡνιόχου τὰ γόνατα. § ἀρηρότος (482) δὲ τοῦ ἡρμοσμένου καὶ οἷον συμπεφυκότος τῶι Ταύρωι.

---

1 τὸ καλ. Γάλα post περιγλ. Ald ‖ 2 περιέλαβε AAld ‖ 3 λοιπῶν σχεδὸν ἐπιψ. (omisso κύκλων) AAld ‖ 4 τοι om AAld | χροὴν M | μὲν om A, μὲν — γαλ. om Ald | γὰρ (pro δὴ) A ‖ 5 δὲ om A, μὲν Ald | ἐφ' Ald ‖ 7 κειμένους A | δὲ καὶ οἱ Ald ‖ 8 ὄρθιοι Ald | παραλλήλους Ald: καταλλήλους A, πρὸς ἀλλήλους M | κόλλουροι M ‖ 8, 9 δὲ καὶ οἱ Ald ‖ 10 τὸ μέρ. Ald ‖ 11 τι M: τε A, om Ald ‖ 12 οὐδένα M | δὲ τ. AAld ‖ 13 τῶν om Ald ‖ 16 ἄλλως om Ald | δὴ post τῶι Ald ‖ 17 ἰσόμοιροι AAld | καὶ post γὰρ add Ald ‖ 18 δύο om AAld | τούτου ante μ. Ald | τουτέστιν om AAld ‖ 18, 9 χ. καὶ θερινὸς τροπικός AAld ‖ 20 ὧν ὁ A | ἐστίν om A Ald ‖ 21 βορείου Ald | καὶ om A ‖ 22, 3 καὶ — ἀκούει om AAld ‖ 24—26 λοιπὸν — κύκλος om AAld ‖ 27 γούνατα Ald | δὲ οἷον συνηρ. A, δὲ ἤγουν Ald | συνηρμοσμένου καὶ συμπ. AAld

483. *λαιὴ δὲ κνήμη*: *ἡ δὲ τοῦ Περσέως ἀριστερὰ κνήμη καὶ αὐτὸς ὁ ἀριστερὸς ὦμος ἐπίκειται τῶι κύκλωι.* § *τὸ δὲ Ἀνδρομέδης* (484): *τὴν δεξιὰν (φησί) τῆς Ἀνδρομέδας μετὰ τὸ μέσον ἐπέχει ὁ κύκλος ὀλίγον ἀνωτέρω τοῦ ἀγκῶνος. εἶτα, ἐπειδὴ τὸ λέγειν ‘ἀνωτέρω τοῦ ἀγκῶνος’ ἀσαφὲς ἦν, πότερον ὡς ἐπὶ τὸν καρπὸν ἢ ἐπὶ τὸν ὦμον αὐτὸς αὐτό φησι, ⟨ἐπιφέρει* 485, 6⟩ *‘τὸ μὲν θέναρ καὶ τὸ τῆς χειρὸς κοίλωμα ἐν ὕψει κεῖται πλησίον τοῦ βορέου, αὐτὸς δὲ ὁ ἀγκὼν νοτιώτερος’.* § *τὸ δὲ ὁπλαὶ δ’ ἵππειοι* — (487—9): *αἱ δὲ τοῦ Ἵππου (φησίν) ὁπλαὶ καὶ ὁ τοῦ Ὄρνιθος αὐχὴν σὺν αὐτῆι τῆι ἄκραι κεφαλῆι καὶ οἱ λαμπροὶ τοῦ Ὀφιούχου ὦμοι αὐτοῦ περὶ τὸν κύκλον κινοῦνται περιελαθέντες καὶ ἐγκείμενοι.*

490, 1. *ἡ δ’ ὀλίγον φέρεται* —: *σημειοῦται καί φησιν ‘ἡ δὲ Παρθένος ὀλίγον ἐστὶ νοτιωτέρα τοῦ κύκλου καὶ οὐκ ἐπιψαύει αὐτοῦ. ἀλλ’ ὁ Λέων καὶ ὁ Καρκίνος’.* § *κατὰ κοινοῦ τὸ ἐπιβάλλουσιν* (491). *‘ἀλλὰ ὁ Λέων καὶ ὁ Καρκίνος ἐπιψαύουσι τοῦ κύκλου· ὁ γὰρ κύκλος τὸν μὲν Λέοντα ὑπὸ τὸ στῆθος καὶ τὴν γαστέρα μέχρι τῶν αἰδοίων τέμνει, τὸν δὲ Καρκίνον δι’ ὅλου τέμνει ἄχρι τοῦ νωτιαίου ὀστράκου’* (491—5)· *ὑπὸ γὰρ τὰ ζῳιά ἐστιν ὁ κύκλος· αὐτὰ γὰρ ἐπίκειται.* § *ὑπένερθε τοῦ χελείου* (494) *ὑπὸ τὸν νῶτον.*

494—6. — *διχαιόμενον — νοήσαις ὀρθόν*: *δικαίως καὶ ὀρθῶς, ὅπου μάλιστα — ἐν τούτωι τῶι ζωιδίωι — χωριζόμενον καὶ διχῶς τεμνόμενον θεωρήσειας ⟨ἂν⟩ τὸν Καρκίνον.*

οὕτως ὀρθῶς καὶ θαυμαστῶς διχῇ αὐτὸν τέμνει, ὡς καὶ διὰ μέσων τῶν ὀφθαλμῶν εἶναι τὸν κύκλον, καὶ τὸν μὲν ὡς ἐπὶ τὰ βόρεια τῶ⟨ν⟩ ὀφθαλμῶ⟨ν⟩, τὸν δὲ ὡς ἐπὶ τὰ νότια. οὕτως ἀκρίβειά τις τοῦ διχοτομήματος.

497. *τοῦ μὲν ὅσον τε: πρὸς τὸ κλίμα Ἑλλησπόντου καὶ*

Ach I p. 70 (Aratea p. 289 sq.)

1—8 (*τὸ δὲ*) om AAld ‖ 9 *φησίν* om AAld ‖ 10 *ὁ* om A ‖ 11 *αὐτοῦ* M: *ἀντὶ τοῦ* A, om Ald ‖ 13 *φαίνεται* AAld ‖ 14 *ἐστὶ* M: *εἰς τὸ* AAld | *νοτιώτερον* Ald | *φαίνεται* post *κύκλου* Ald ‖ 15, 6 *κατὰ — Καρκ.* om AAld ‖ 16, 7 *ἐπιψαύει αὐτοῦ ὁ* AAld ‖ 17 *τὸ* om A ‖ 18 *καὶ* ante *μέχρι* AAld ‖ 19 *νοτιαίου* AAld ‖ 20 *ζώδια* AAld | *ὑπέρκειται* AAld | *ὕπερθεν* Ald ‖ 21 *τοῦ — νῶτον* om AAld ‖ 22 *ἦχι μάλιστα* pro lemmate Ald ‖ 22, 3 *δικαίως καὶ ὀρθῶς* hoc loco om Ald qui post *Κ. ὀρθῶς καὶ σφόδρα καλῶς* | post lemma *ἀντὶ τοῦ ὀρθῶς καὶ σφόδρα καλλίστως ὅπου* A ‖ 23 *γνωρίσηι* pro *χωριζ.* Ald ‖ 25—28 schol om AAld | 26 *μέσον* M | *τὰ μὲν* M ‖ 29 *ἐ μὲν ἔνδια* (*ἔνθα* Ald) *στρέφεται* pro lemmate Ald | *τοῦ Ἑ.* Ald

Μακεδονίας δοκεῖ εἰπεῖν τὴν τῶν Φαινομένων πραγματείαν, καὶ ἦν πιθανόν, ἔνθα καὶ διέτριβεν, ἐκεῖ τοὺς λόγους ποιεῖσθαι. § *ἀντιπίπτει τὸ ῥηθὲν τῶι κείνη που κεφαλὴ τῆι νίσσεται, ἧχί περ ἄκραι* (61), *τουτέστιν ὑπὸ τοῦ ἀρκτικοῦ φέρεται κύκλου, καθ' ὃ κλίμα ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ' καὶ γ' πεμπτημορίων ὥρας, τουτέστι καθ' ὃ τὰς Ἀθήνας καὶ τὴν Ἔφεσον κεῖσθαι λέγουσι, καὶ ὁ πόλος ἐξήρτηται μοίρας ζ' καὶ λ'.*

Cf p. 438, 20—25.

498. *πέντε μὲν ἔνδια: τούτου μὲν (φησί) τοῦ κύκλου (οὐκ εἶπε τῆς καταλήψεως [δώδεκα μὲν σημεῖα]) εἰς ὀκτὼ μετρηθέντος καὶ μερισθέντος τὰ μὲν πέντε μέρη ὑπέργεια καὶ ἐν ὕψει εὑρεθείη ⟨ἂν⟩ κινούμενα, τὰ δὲ λοιπὰ γ' ἐν δύσει καὶ ὑπὸ γῆν. ἐν δὲ τούτωι τῶι κύκλωι τροπαὶ θεριναὶ γίνονται. ἐκ δὲ τούτου τοῦ μέτρου ἐστὶν οὕτω συνιδεῖν. θῶμεν γὰρ τὰς τοῦ νυχθημέρου ὥρας, αἵ εἰσιν κδ'. ἦν οὖν τῶν ὀκτὼ τὰ πέντε διηνεκῶς ὑπέργεια, τὰ δὲ τρία ὑπόγεια. ἀριθμήσωμεν ἑκάστου μέρους εἰς τρεῖς ὥρας συμπληρουμένου τρισ⟨σ⟩άκις πέντε, ιε', ὥστε εἶναι τὴν θερινὴν ὡρῶν ιε', πάλιν τὰ ὑπόγεια μοίρας ἔχοντα τρεῖς, ὅ ἐστι τρὶς τρία, θ'. τὸ δὲ ἀνάπαλιν ἐπὶ τοῦ χειμῶνος ἡ μὲν ἡμέρα ὡρῶν θ', ἡ δὲ νὺξ ιε'· ἐπειδὴ γὰρ μείζων ἡ περιφορὰ γίνεται τῶν η' ζωιδίων, διὰ τοῦτο, εἰ καὶ δύο ὥρας*

---

1 *λακεδαίμονος* pro *M.* AAld | *εἰπεῖν* om AAld | *συνθεῖναι* post *πρ.* Ald ‖ 2,3 *καὶ ἔστι π. ἐκεῖσε διατρίβειν ἔνθα καὶ τοὺς λόγους ἐποίησεν. ἀντ. δὲ* Ald ‖ 2 *ἐδιέτριβεν* A | *ἐκεῖ* post *λόγους* iterum A ‖ 3 *τῶι* scripsi: *αὐτοῦ* AAld, *αὐτῶ* M ‖ 3,4 *τηλίσσεται* A ‖ 4 *ἧχί περ ἄκραι* om M | *ἐπὶ* A ‖ 6 *πεμπτημορίων* A | *τοῦτό ἐστιν* A | *καὶ* ante *τὴν* om A ‖ 7 *λέγει* A | post *ἐξήρτηται* A *μηνός*, Ald *μόνον*: — | *λ'* Att p. 16: *δ'* libri ‖ 9 *τὰ τρία δ' ἐν περάτη* pro lemmate AAld | *μὲν* om Ald ‖ 10 *τὰ ιβ' ζώδια ἢ σημεῖα εἰς η'* Ald | *ιβ'* AAld | seclusi | *η'* AAld ‖ 10,1 *μετρηθέντα καὶ μερισθέντα καὶ μετρηθέντα* A, *μετρηθεν καὶ μερισθεν* Ald ‖ 11,2 *εὑρεθήσεται καὶ ἐν ὕψει* AAld ‖ 12 supplevi | *λοιπὰ* om AAld | *τρία* Ald ‖ 13 *ὑπόγεια* AAld ‖ 14 an *τὰ μέτρα*? ‖ 14,5 *γὰρ* et *τοῦ* om Ald ‖ 15 *οὖν αὐτῶν* A | *ὁ. μερῶν αὐτοῦ τὰ* Ald ‖ 16,7 *ἕκαστον μέρος* Ald ‖ 17, 8 *συμπληροίμενον οὕτως γ' ε' ιε' ὥστε* Ald, *συμπληρούμενα γ' ε' ιζ' ὥστε* A ‖ 18 *θ. ἡμέραν ὡρ.* Ald | *ὥραν* A ‖ 19 *τρεῖς τρεῖς* A, *γ' γ'* Ald | *καὶ ἔστιν ἡ θερινὴ ὥρα θ' νὺξ* post *θ'* A ‖ 20 *τὴν μὲν ἡ. θ' ὥρας* (*ὡρῶν θ'* Ald), *τὴν δὲ νύκτα* AAld ‖ 20,1 *ιε' — περιφορὰ* evanida A, qui deinde *μείζων* ‖ 20—p. 438, 3 *ιε' συμβαίνει γίνεσθαι. ἐν δὲ τοῖς ἄλλοις τόποις τοῖς ἀρκτικωτέροις ἥ τε θερινὴ ἡμέρα καὶ ἡ χειμερινὴ νὺξ πλειόνων εἰσὶν ὡρῶν ἢ ιε' διὰ τὸ καὶ πλείους μοίρας τῶν πέντε ὑπεργείους εἶναι. ὅθεν, εἰ καὶ ἕκαστον ζώιδιον δύο ὥρας ἐπέχει καὶ ἥ τε χειμερινὴ νὺξ ἥ τε θερινὴ ἡμέρα δωδεκάωρος ὀφείλει εἶναι, ὅμως διὰ τὰς διαφόρους περιφορὰς ἀλλαχοῦ μὲν μείζων, ἀλλαχοῦ δὲ ἐλάττων γίνεται* Ald ‖ 21—p. 438, 1 *δύο μοίρας* (sic) post *ζώδιον* A

ἕκαστον ζωίδιον ἐπέχει ⟨καὶ⟩ ὀφείλει δωδεκάωρον ἔχειν ἡ χειμερινὴ νὺξ καὶ ἡ θερινὴ ἡμέρα, ὅμως διὰ τὴν μεγάλην περιφορὰν τελείως ἀναλίσκεται χρόνος. § τὸ δὲ ἔνδια (498) ἡμερινά, ὑψηλά, ὑπὲρ γῆν, περὶ τὸν ἔνδιον καιρὸν τὸν μεσημβρινόν, εἴγε καὶ ἡ μεσημβρία μεσαιτάτη ἐστὶ πάσης τῆς σφαίρας.

λέγεται [ὡς] εἰς ὀκτὼ μέρη τοῦ κύκλου μερισθέντος τὸ πέμπτον μέρος διημερεύειν, τὰ δὲ γ' ἔχειν τὴν νύκτα.

499. θέρεος δέ οἱ: ἐν τῶι θερινῶι κύκλωι αἱ τροπαί εἰσι τοῦ ἡλίου.

θέρεος δέ οἱ ἐν τροπαί: κατὰ λόγον· αἱ γὰρ θεριναὶ τροπαὶ ἐν τούτωι τῶι ζωιδίωι γίνονται τοῦ ἡλίου ὀγδόην μοῖραν Καρκίνου ἐπέχοντος· μετὰ γὰρ τὴν ὀγδόην ἄρχεται ταπεινότερος ὁ ἥλιος πρὸς ἀναλογίαν γίνεσθαι καὶ διὰ τοῦτο οὐκέτι ἐπιδίδωσιν ἡ ἡμέρα, ἀλλ' ὑφαιρεῖ. μαρτυρεῖ δὲ τῶι λόγωι τούτωι ἡ διὰ τῶν ὡρολογίων ἐνάργεια· ἡ γὰρ σκιὰ τοῦ γνώμονος μετὰ τὸ παραλλάξαι τὸν ἥλιον τὴν ὀγδόην μοῖραν Καρκίνου οὐκέτι ἐπεκτείνεται, ἀλλ' ἀνασπᾶται. § τὸ δὲ ἐν τροπαί: τουτέστι 'τῶι ζωιδίωι τούτωι τὸ τέλειον τοῦ ἑαυτοῦ ὕψους καταλιμπάνει καὶ τὴν ἐπὶ τὸ νοτιώτερον τροπὴν ποιεῖται'. § τῶι δὲ ὅσον τε μάλιστα (497) προσεκτέον, ὡς ὀρθῶς ἔχει· δηλοῖ γὰρ μὴ διηκριβῶσθαι, ἐν πλάτει δὲ λέγεσθαι τὸν ἀριθμὸν τῆς διαιρέσεως, ὅπως μὴ ἐνοχλῆται ὁ Ἄρατος ὡς ἀγνοήσας καὶ τὸ δι' Ἑλλησπόντου κλίμα ⟨ὡς⟩ τὸ δι' Ἀθηνῶν γράψας (cf Hipparchus I c. 3 p. 26, c. 9 p. 92 M. Aratea p. 92 sqq.).

500. ἀλλ' ὃ μὲν ἐν βορέω: καὶ οὗτος μὲν οὖν (φησίν) ἐν τῶι βορείωι μέρει ὑπὸ τὸν Καρκίνον ἐστήρικται· ἐν γὰρ τῶι Καρκίνωι, ὅτε ὁ ἥλιος ὑψοῦται, ποιεῖ τὴν θερινὴν τροπικὴν ὥραν.

---

1 ἡ om A ‖ 2, 3 τελείων AM ‖ 3 χρόνων A ‖ 4 παρὰ Ald | καὶ om Ald ‖ 5 μεσαίτατον AAld ‖ 6 sq. schol om AAld ‖ 6 τὸν κύκλον M | μερισθέντος tentavi: ποιήσαντα M ‖ 8 lemma om M | αἱ om AAld ‖ 8 et 10 coniunxerunt omisso lemmate AAld ‖ 10—13 ἐν τῶι Καρκίνωι γίνονται ἡ μοῖραν αὐτοῦ τοῦ ἡλίου ἐπέχοντος. ὃ δὴ ζώιδιον ἐν τούτωι τῶι κύκλωι ἐστίν. μετὰ οὖν τὴν ἡ μοῖραν τοῦ Καρκίνου τ. ὁ ἥλ. πρὸς ἀν. ἄρχεται γίν. Ald ‖ 14 ὑφαιρεῖται Ald ‖ 15 ἐνέργεια AAld | ἡ γὰρ Ald: om AM ‖ 18 ἐν τῶι Ald | αὐτοῦ A, om Ald ‖ 19 λιμπάνει M ‖ 20—24 om AAld ‖ 23 supplevi ‖ 26 καὶ om AAld ‖ 27 ἐν τῶ εἰρημένω ἐπὶ τὸν A, ὁ κύκλος ὡς εἴρηται ἐπὶ τὸν Ald ‖ 28 τῶι Καρκ. om A, τούτωι Ald | τούτω ὁ ἥλ. ὑψούμενος π. Ald | ὁ om A

501. *ἄλλος δ' ἀντιόωντι —: περὶ τοῦ χειμερινοῦ τροπικοῦ διαλαμβάνει καί φησιν 'ἄλλος δὲ κύκλος ἐν τῶι νοτίωι, τῶι ἐξ ἐναντίας τοῦ βορέω ἀντιόωντι, ὃς τέμνει μέσον τὸν Αἰγόκερων'· ἐν τούτωι γὰρ τῶι ζωιδίωι τροπαὶ χειμεριναὶ γίνονται. τινὲς γὰρ ἔγραψαν ἀντιόωντι νότωι ἀμαθῶς· ἀντιόων γάρ ἐστιν ὁ μεταλαμβάνων τῶν τοῦ νότου πνευμάτων. Ὅμηρος* (Il I 31) *'καὶ ἐμὸν λέχος ἀντιόωσαν'. οὐκ ἔστι δέ, ἀλλ' ἐπειδὴ ἐν τοῖς ἄνω* (500) *'πλησίον βορέου' εἶπε, λέγει καὶ νῦν 'ἐν τῶι νότωι τῶι ἔχοντι ἐναντίαν θέσιν τοῦ βορρᾶ'. διὰ δὲ τούτων δηλοῦται, ὅτι ὁ χειμερινὸς τροπικὸς νότιον ἔχων τὴν θέσιν ἐναντίος ἐστὶ τῶι θερινῶι τροπικῶι καὶ περιγράφει τὸν Αἰγόκερων. λοιπὸν δὲ ἐκ τῶν ἐπιψαυόντων δίδωσιν αὐτοῦ τὴν κατάληψιν.*

503, 4. *ἀτὰρ Κυνὸς οὐ μάλα πολλὴν αἴνυται —: μερίδα τοῦ σώματος λαμβάνει· αἴνυσθαι γὰρ τὸ λαμβάνειν. ἀλλ' ὁπόσην μερίδα ἐπέχει τοῦ σώματος τοῦ Κυνὸς ἄχρι τῶν ἐμπροσθίων ποδῶν, τοσαύτην τούτου αἴνυται μερίδα· ἄκροι γὰρ οὗτοι [πόδες] ψαύουσι τοῦ Κυνός.*

505. *μετάφρενον: αἱ φρένες ἐν τῶι στήθει περίκεινται· μετάφρενον γὰρ τὸ μετὰ τὴν φρένα, ἤτοι τὸ ὄπισθεν τῆς φρενός, τὸ δίμοιρον τῆς ῥάχεως.*

506. *γράφεται καὶ ἐλαφροῦ Τοξευτῆρος, καθὸ οἱ τοξόται ψιλοί εἰσιν.*

507. *τὸν πύματον καθαροῖο: τοῦ Τοξότου οὐκ ἔστι νοτιώτερος ἄλλος. τοῦτο οὖν, ὅτι εἰς τὸν Τοξότην πύματον καὶ ἔσχατον φέρεται ὁ ἥλιος ὡς ἐπὶ τὸν νότον κατιὼν καὶ λοιπὸν διερχόμενος ὡς ἐπὶ τὰ βόρεια ἀπὸ Αἰγοκέρωτος. § τὸ δὲ*

---

2 *νότω* AAld | post *νότ.* Ald *αντιόωντι ἤγουν* iterum Ald ‖ 3 *τοῦ* AAld: *τῶ* M | *ἀντιόωντος* A, om Ald | *μέσον* om AAld ‖ 5 *δὲ* A | *νότον* Ald ‖ 5, 6 *ἔγραψαν ἵν' ἦι μεταλαμβάνοντι* post *ἀμ.* Ald ‖ 6 *νοτίου* M ‖ 7 *Ὅμ. — ἀντιόωσαν* Ald: om AM ‖ 8 *λέγει* om M ‖ 9 *νοτίω* M | *τῶ ἔχοντι* om A | *ἐναντίον* M | *τῶι ἐναντίαν θέσιν ἔχ.* Ald | *βορέω* AAld ‖ 10 *νοτιωτέραν* A Ald ‖ 12 *ἀπὸ* AAld | *αὐτῶ* A ‖ 14 *αὐτὰρ* M | *πολλὴν αἴνυται* om M | *ἤγουν μερ.* Ald ‖ 15, 6 *ὑπόσην* scripsi: *ὀλίγην* libri ‖ 17 *οὖν* pro *τούτου* Ald | seclusi ‖ 17, 8 *μερ. ὅσην οἱ ἄκροι οὗτοι πόδες τοῦ κυνὸς ψ.* Ald | 19—21 om M ‖ 20 *οὖν τὸ* Ald | *τουτέστι τὸ* Ald ‖ 22 schol v. 506 om AAld | 24 *καθαροῖο* om AAld ‖ 25 *ἄλλος* om M | *φησὶν* ante *ὅτι* Ald ‖ 26, 7 post *κατ.* Ald *ἀπὸ τοῦ καθαροῦ βορέου κἀκεῖνον διελθὼν ὡς ἐπὶ τὰ βόρεια ἔρχεται ἄνω ἀπὸ τ. Αἰγ.*

καθαροῖο, ὅτι αἰθρηγενέτης ὁ ἄνεμος τὸν Τοξότην τοῦτον τελευταῖον ἐν τοῖς νοτίοις παρέρχεται.

508. ἐς νότον ἠέλιος — τρέπεταί γε μὲν αὐτοῦ: ἐν αὐτῷ δὲ τῷι Τοξότηι ἐν τοῖς τελευταίοις χειμερινὸς τρέπεται ὁ ἥλιος ἀπὸ τοῦ Τοξότου τελευτῶν καὶ ἄρχεσθαι μέλλων τῷι Αἰγοκέρωτι.

509. καί οἱ τρία μέν: ἴσοι οὗτοι κατὰ τὸ μέγεθος. ὁ χειμερινὸς τροπικὸς ἐναντίον τῷι θερινῷι τροπικῷι κατὰ τὴν θέσιν πέπονθεν· τρία μὲν γὰρ αὐτοῦ διαστήματα [εἶναι] ὑπέργεια, πέντε δὲ ὑπόγεια. διὰ τοῦτο δὲ καὶ ὁ ἥλιος Αἰγοκέρωτος ἐπέχων μοῖραν ὀγδόην ἐννέα μὲν ὡρῶν τὴν ἡμέραν ποιεῖ, τὴν δὲ νύκτα ιε΄. κατὰ δὲ τὴν χειμερινὴν τροπὴν τὸ πέμπτον ὑπὸ γῆν, τὸ δὲ τρίτον ὑπὲρ γῆν.

511. μεσσόθι δ' ἀμφοτέρων: διαλαμβάνει τὰ περὶ τοῦ ἰσημερινοῦ, καὶ τούτου τὸ μέγεθος δίδωσιν ἀπὸ τοῦ ἤδη ἐγνωσμένου κύκλου τοῦ γαλαξίου. ἴσους δὲ ἀποφαινόμεθα εἶναι κατὰ τὸ μέγεθος τόν τε γαλαξίαν καὶ τὸν ζωιδιακὸν καὶ τὸν ἰσημερινόν· πάντες γὰρ διχῶς τέμνουσι τὴν σφαῖραν. ὁ δὲ νοῦς· ἀμφοτέρων δέ, τοῖ τε θερινοῦ τροπικοῦ καὶ τοῦ χειμερινοῖ, κατὰ τὸ μέσον ἐστὶν [ὁ] κύκλος, ὅσος καὶ ὁ τοῦ γαλαξίου.

513. ἐν δέ οἱ ἤματα: ἐν ἀμφοτέραις δὲ ταῖς ἰσημεριναῖς ἐν αὐτῷι γίνονται αἱ ἡμέραι ταῖς νυξὶν ἴσαι· ἰσοῦνται γὰρ περὶ μόνας τὰς πρώτας μοίρας. δύο δὲ γίνονται ἰσημερίαι, φησί, καὶ μία μέν, ὅτε φθίνει τὸ θέρος· τῇι γὰρ κε΄ τοῦ Θώθ, ὅς ἐστι κατὰ Ῥωμαίους Σεπτέμβριος, γίνεται ἐν ταῖς Χηλαῖς ἡ τροπή, καὶ ἰσημερία ἐστὶ μειουμένων τῶν ἡμερῶν.

515. σῆμα δέ οἱ Κριός: τὴν κατάληψιν αὐτοῦ δίδωσιν

---

1 *αἰθρ. ὁ βορέας*: — Ald ‖ 2 *τελευταῖον* om M ‖ 3 *ἐς νότον ἠέριος* AAld, om M ‖ 7 *οὗτοι ἴσοι* AAld | *μὲν* post *ἴσοι* A, *ὄντες* Ald ‖ 8 *ἐναντίος* AM, cf Ald ‖ 8, 9 *τρ. καὶ ὁ θερινὸς ὅμως ἐναντίον τι πέπονθεν ὁ χειμερινὸς τῷι θερινῷι κατὰ τὴν θέσιν* Ald ‖ 9 *εἶναι* om Ald ‖ 10 *τὰ δὲ πέντε* Ald | *δὲ* alt om M ‖ 11 *κ΄ θ΄ μὲν* Ald ‖ 12 *ν. ὡρῶν ι΄ καὶ ε΄* A, *ιε΄ δὲ τὴν ν.* Ald ‖ 12, 3 *τὰ μὲν ε΄ ὑ.* Ald ‖ 13 *ὑπὸ* A | *τὰ δὲ γ΄ ὑ.* Ald | *ὑπὲρ* A ‖ 14 *τὰ* om Ald ‖ 16 *ἴσον δὲ ἀποφαίνεται* Ald ‖ 17, 8 *μ. τὸν ἰσημερινὸν τοῦ τε γαλαξίου καὶ τοῦ ζωδιακοῦ π.* Ald ‖ 19 *δὲ* om AAld ‖ 21 *ἤματι* Ald | *ἀμφότεραι δὲ αἱ ἰσημερίαι* Ald ‖ 22 *ἡμ. δηλαδὴ ἴσαι τ. ν.* Ald ‖ 23 *φησί, καὶ* scripsi: *καί φησι* AM, om Ald ‖ 25 *σεπτέβριος* A | *δ'* post *γίν.* Ald ‖ 26 post *ἡμ.* add Ald *ἑτέρα δὲ κατὰ τὸν Μάρτιον μειουμένων τῶν νυκτῶν*

ἐκ τῶν ἐπιψαυόντων αὐτοῦ ζωιδίων. σημεῖον δὲ τοῦ κύκλου ὁ Κριὸς ὁ πᾶς καὶ τὰ τοῦ Ταύρου γόνατα κεῖται. ἀλλ' ὁ μὲν Κριὸς κατὰ τὸ μῆκος καὶ δι' ὅλου ἡρμοσμένος φέρεται τῶι κύκλωι, τοῦ δὲ Ταύρου, ὁπόση ἐστὶ κλάσις καὶ καμπὴ τῶν σκελῶν 5 *[γίνεται].*

ἄλλως. ὁ μὲν Κριὸς ὅλος ἐστὶν τῶι κύκλωι προσηρμοσμένος, ὁ δὲ Ταῦρος κατὰ μόνην τὴν τῶν σκελῶν καμπήν.

519. *καμπή τ' αἰθομένης: ἡ ἀπὸ τῆς κεφαλῆς πρώτη καμπή. § αἰθομένης δὲ ἤτοι τῆς ἐχούσης καυσώδη ἰόν· καυ-* 10 *στικὸς γὰρ αὐτῆς ἐστιν ὁ ἰός. καὶ Εὐφορίων* (fr 54 M.)·

τῆς μὲν τῶν —, ὅσσα φύει εὐδείελος αἶα,
ἢ φύλλ' ἢ ποίη, ὅτ' ἐχρίμψατο λύθρον,
ὡς πυρὶ καρφόμενον ψαφαρῆι ἰνδάλλεται τέφρηι.

ἄλλως. αἰθομένης: τῆς καιομένης ὑφ' ἡλίου· σφόδρα 15 *γὰρ καταλάμπεται ὑπὸ τὰ ζώιδια ταῦτα οὖσα.*

ἐλαφρὸς Κρητήρ: ἔνιοι ἀντὶ τοῦ 'ἐν αὐτῶι ἐστι, τῶι ἰσημερινῶι κύκλωι, καὶ ὁ ἐλαφρὸς Κρατήρ'. ἐλαφρὸς δὲ ὁ ἐλαφρῶς ἐγκείμενος τῶι τῆς Ὕδρας σώματι ἢ ὁ ἀλαμπής· ἀμυδροὺς γὰρ ἔχει τοὺς πέντε ἀστέρας (cf p. 270). *§ τὸ δὲ ἔνι δ'* 20 *ἀστέρες* (520) *οὐχ, ὅτι οὐ πολλοὺς ἔχουσιν ἀστέρας αἱ Χηλαί (ἔχουσι γάρ), ἀλλ' ὅτι οὐ πολλοὶ τῶν ἐν ταῖς Χηλαῖς ἀστέρων ἐπιψαύουσι τοῦ κύκλου· αἱ γὰρ ἄκραι Χηλαὶ ἐπιψαύουσιν.*

522. *οὐ μὴν Αἰητοῦ: τοῦ μὲν Ἀετοῦ οὐκ ἀπολαμβάνει τι, ἀλλὰ μᾶλλον ἐγγὺς αὐτοῦ ἐστιν ὁ τοῦ Διὸς ἄγγελος Ἀετός.*

25 525. *τοὺς μὲν παρβολάδην: τούτους μὲν δὴ τοὺς κύκ-*

---

1 *αὐτῶι* AMAld | *τοῦ κύκλου* om Ald ‖ 2 *ὅπου καὶ* Ald ‖ 3 *τὸ* om M | *διόλου* A ‖ 5 *γίνεται* om M ‖ 6, 7 om M ‖ 6 lemma om Ald | *μὲν γὰρ* Ald | 8 *ἤγουν ἡ* Ald ‖ 9 *ἤγουν* Ald ‖ 10 *ἐστὶν αὐτῆς* AAld | *καὶ* om M ‖ 11 *ὅσα* AAld | *ἢ μὲν πάνθ' ὅσα που φ.* Ald ‖ 12 *φίλλ'* scripsi, *φυτὸν* coni Lobeck Aglaophami p. 567 et Meineke: *φίλλον* AM, *φίλλον γε* Ald | *ὅτε* A | *ἢ ποίην ὅτεωι ἐγχρίμψατο λ.* coni Lobeck, *ἢ ποίην ὅτεωι χριμψαίατο λ.* Meineke ‖ 13 *καρφώμενον* AM ‖ 14 *ἄλλως* A: om M, *ἢ* Ald | *δὲ* post *αἰθομένης* M | *ὑπὸ τοῦ* Ald | *ἡλίου* A ‖ 16 *καὶ ἑ.* Ald | *κρατῆρ* M | *ἔνιοι ἀ. τ.* om Ald | *ἐστι* om Ald ‖ 17 *φησὶ* ante *κύκλωι* Ald | *κρητῆρ* A | *ὁ ἐλαφρὸς* Ald ‖ 19 *ε'* Ald | *τὸ δὲ* om et scholia seiunxit AAld ‖ 20 *οὐ τοῦτό φησιν ὅτι* Ald ‖ 20, 1 *π. ἀστέρες εἰσὶ τῶν χ. εἰσὶ γὰρ ἀλλ'* Ald ‖ 21 *οὐ* om A | *ταῖς* om A Ald ‖ 23 *μ. ἀητοῦ* AM ‖ 23, 4 post lemma Ald *ἤγουν οὐκ ἀπ. τινὰ μοῖραν τοῦ ἀετοῦ ὁ κύκλος ἀλλ' ἐστὶν ἐγγὺς αὐτοῦ ὁ* ‖ 24 *Ἀετός* om M ‖ 25 — p. 442, 7 Ald sic *τοὺς μὲν παρβολάδην: τοὺς μὲν οὖν τρεῖς κύκλους, φησί, τούς τε τροπικοὺς καὶ τὸν ἰσημερινόν, ὁ ἄξων παραβολάδην κειμένους ἔχει· περι-*

λους παραβολάδην κειμένους ὁ ἄξων ὀρθοὺς περιβάλλεται καὶ περιέχει (διαπείρει γὰρ τοὺς πάντας), οἳ δὲ ὥσπερ ἐξορθούμενοί εἰσιν ἐπ᾽ αὐτῶι.

ἄλλως. τούτους τοὺς κύκλους παραβολάδην, ὡσανεὶ παραβλητικῶς καὶ παραλλήλως, κειμένους ὁ ἄξων ὀρθοὺς περιέχει· διαπείρων γὰρ αὐτοὺς ⟨ἐν⟩ τῆι τῆς σφαίρας θέσει ἐξορθοῖ ἅτε δὴ αὐτὸς ὀρθὸς ὤν.

τούτους τοὺς κύκλους παραλλήλους κειμένους ὁ ἄξων ὀρθοὺς περιέχει· ὀρθοὺς γὰρ διαπείρει αὐτούς.

526. ὁ δὲ τέτρατος ἐσφήκωται: περὶ τοῦ ζωιδιακοῦ κύκλου λέγει· τέσσαρες γάρ εἰσι κύκλοι. νῦν δὲ περὶ τοῦ ζωιδιακοῦ. τὸ δὲ ἐσφήκωται ἀντὶ τοῦ συνέχεται· Ὅμηρος (Il XVII 52) ᾽πλοχμοὶ — οἳ χρυσῶι τε καὶ ἀργύρωι ἐσφήκωντο᾽. ὁ δὲ λόγος· ὁ δὲ ζωιδιακός, ὁ τέταρτος, συνέχεται ὑπ᾽ ἀμφοτέρων, τοῦ χειμερινοῦ καὶ τοῦ θερινοῦ, λελοξωμένος· διὰ γὰρ τοῦτο ὑπὸ τῶν κύκλων συνέχεται, ἐπειδὴ λελόξωται. καὶ οἱ μὲν τροπικοὶ ἀντιπέρην καὶ ἐναντίοι ἀλλήλοις κείμενοι (ὅ μὲν γὰρ νότιος, ὅ δὲ βόρειος) ἑκατέρωθεν αὐτὸν ἔχουσιν. καὶ ὁ μὲν θερινὸς τοῦ Καρκίνου ἐπιψαύει, ὁ δὲ χειμερινὸς τοῦ Αἰγοκέρωτος.

527. ⟨λοξὸς ἐν ἀμφοτέροις⟩: ὁ ζωιδιακὸς τροπικο⟨ῖ⟩ς.

529. οὔ κεν ᾽Αθηναίης: οὐκ ἄν οὕτω τέκτων καλῶς ἁρμόσει⟨ε⟩ τροχούς, ὥσπερ οἱ ἐν αἰθέρι καλῶς κεκόλληνται.

οὐκ ἂν ᾽Αθηναίης χειρῶν: οὐκ ἂν ἀπὶ τῆς ᾽Αθηνᾶς ἀνὴρ ζωγράφος λαβὼν τορνευτὴν σφαῖραν οὕτω γράψειεν, ὡς ἐστιν ἐν τῶι οὐρανῶι. λείπει δὲ ἡ ὑπό πρόθεσις, ἵν᾽ ᾖι ὑπὸ τῶν χειρῶν τῆς ᾽Αθηνᾶς. § τὸ δὲ κολλήσαιτο ἀντὶ τοῦ κατασκευάσειεν.

βάλλεται γὰρ αὐτοὺς καὶ περιέχεται ὑπ᾽ αὐτῶν διαπείρων αὐτούς, οἳ δὲ ὥσπερ ἐξορθούμενοί εἰσιν ἐπ᾽ αὐτῶι, ἢ ὅτι τούτους τοὺς κύκλους ᾽παραβολάδην᾽, ὡσανεὶ παραβλητικῶς καὶ παραλλήλως, κειμένους ὁ ἄξων τοὺς ὀρθοὺς περιφέρει (leg περιέχει)· διαπείρων γὰρ τοὺς πάντας μόνους τούτους τοὺς ὀρθοὺς κύκλους παραλλήλους ἔχει ἐπικειμένους.

1 ὁ ἄξων om A ‖ 5 παραλλήλως scripsi, cf Ald infra: -ους A, πρὸς ἀλλήλους M ‖ 5, 6 διαπείρων A ‖ 6 αὐτοὺς τῆι τῆς evanida vel abscissa A | post θέσει duae fere litt evanidae, deinde τοῦτο (sic) ὀρθοὺς τοὺς κύκλους ἔχει ἐπικειμένους A ‖ 7 ὀρθῶς M ‖ 8, 9 om AAld ‖ 9 ὀρθίους γὰρ M ‖ 10 τέταρτος Ald ‖ 11 κύκλου om Ald, λέγει M | post λέγει Ald ἐπειδὴ περὶ τῶν ἄλλων τριῶν διέλαβε, τὸ δὲ ἐσφήκωται ‖ 13 πλοιχμοὶ M, πλοχμοὶ θ᾽ Ald | 18 βόρειος ὁ δὲ νότιος AAld ‖ 22 οὐκ ἐν AM ‖ 24 παρὰ Ald ‖ 26 δὲ om Ald ‖ 27 κολλήσειεν AAld, cf Aratum

ἄλλως. οὐκ ἂν ὁ τεχνικώτατος, φησί, καὶ αὐτῆς τῆς Ἀθηνᾶς ὁ μαθητὴς ἀμύμονας συνήρμοσε τοὺς κύκλους, ὡς εἰσιν.

ἄλλως. οὐκ ἂν ὑπὸ τῶν χειρῶν τῆς Ἀθηνᾶς δεδιδαγμένος τις ἀνὴρ ἄλλως κολλήσειε κυλιομένους τοὺς κύκλους, ὡς αὐτοὶ ἐν τῷι αἰθέρι περὶ τὸν πλάγιον κύκλον, τὸν ζωιδιακόν, ἀφ' ἡμέρας εἰς νύκτα διαπορεύονται. § *τὸ δὲ χειρῶν δεδιδαγμένος ἑλληνισμός ἐστιν ἀντὶ τοῦ 'κατὰ χεῖρας μαθὼν καὶ διδαχθεὶς παρ' Ἀθηνᾶς (καὶ Ὅμηρος [Od V 250] 'εὖ εἰδὼς τεκτοσυνάων') οὐκ ἂν ἄλλως κατασκευάσειε περιφερῆ τρόχια οὕτως, ὡς ἔχουσιν οἱ κύκλοι'.*

530. *⟨ἄλλη ι —⟩: ἄλλωι τρόπωι ἁρμόσει⟨ε⟩ καὶ σοφὸς ⟨ὢν⟩ ἐπιόντας ἀλλήλοις τοὺς κύκλους καὶ ἐπιπλεκομένους.*

τὸ δὲ κυλινδόμενα ἀντὶ τοῦ περιφερῆ. § *τροχάλεια δὲ τροχούς.* § *τὸ δὲ τοιά τε καὶ τόσα* (531) *ἀντὶ τοῦ τηλικαῦτα καὶ τοσαῦτα κυκλοτερῆ περιέχων καὶ περιγράφων τὰ τροχάλεια.* § *τὸ δὲ περισφαιρηδὸν περὶ τὴν σφαῖραν.* § *συναρηρότα* (532) *δὲ λέγων ἀκίνητά φησι ⟨τὰ⟩ τροπικὰ σημεῖα.* § *ἐξ ἠοῦς δὲ* (533) *ἐξ ἀνατολῆς ἐπὶ νύκτα, ἐπὶ τὴν δύσιν.*

ἤματα πάντα: ὅτι κατὰ τοὺς λόγους τῶν Ἑλλήνων ἀεικίνητός ἐστιν ὁ κόσμος.

534—6. *καὶ τὰ μὲν ἀντέλλει —: καὶ ταῦτα μὲν τὰ κύκλα ἀνατέλλει καὶ δύνει· τὰ πάντα κείμενα παραλλήλως. μία δέ ἐστιν ἑκάστου ἄνοδος καὶ δύσις.* § *ἕκαστος τῶν κύκλων τὸ αὐτὸ σημεῖον ἔχει, ὅθεν ἀνατέλλει καὶ πάλιν ὅπου δύνει. τούτωι δὲ ὡς πρὸς ἀντιδιαστολὴν τοῦ ζωιδιακοῦ καὶ τὸ ἑξῆς ἐπιφέρει.*

536. *ἑξείης ἑκάτερθε: ἐξ ἑκατέρου μέρους, καὶ ἐκ δύσεως*

---

1 *οὐκ ἂν οὖν* omisso *ἄλλως* Ald | *αὐτὸς* M, om A, *φησὶ καὶ αὐτὸς* om Ald ‖ 2 *ὁ* om Ald | *ἄμεινον* Ald | *ἢ εἰσιν* Ald ‖ 3 *ἢ* pro *ἄλλως* Ald ‖ 4 *ἀνήρ τις* AAld ‖ 6 *διαπορεύονται* M: om A, *κεκόλληνται* Ald quae pergit *εἶη δ' ἂν τὸ χ. δεδ. καὶ ἑλλ.* ‖ 8 *τῆς Ἀθ.* Ald | *διδαχθεὶς* post *Ἀθ.* AAld | *καὶ* om M ‖ 9 *ἄλλος τις* Ald | *κατασκευάση* A Ald | *περιφερεῖς τροχοὺς* Ald ‖ 13 *κυλινδόμεναι* Ald ‖ 14 *ἀντὶ τοῦ τρ.* AAld | *τόσσα* AMAld ‖ 15 *κυκλοτερὲς* M | *περιέχων καὶ* om M | *τὰ* om Ald ‖ 16 *τὸ δὲ* om A | *ἤγουν περὶ* Ald ‖ 16, 7 *συναρηρότως δὲ συνηρμοσμένως. λέγει δὲ τοῦτο ὅτι ἀκίνητά εἰσι τα τρ. σ.* Ald | scholia seiunxit A, cf Ald ‖ 18 *δὲ* om Ald ‖ 19 *λόγους* AAld: *λήρους* M ‖ 21 *ἀνατέλλει* om A ‖ 21, 2 *καὶ τὰ κύκλα μὲν ταῦτα* AAld ‖ 23 *ἕκαστον* M | *γὰρ* post *ἕκ.* Ald ‖ 24 *πάλιν* om Ald ‖ 24, 5 *τοῦτο* A ‖ 24—26 *τούτωι — ἐπιφέρει* om Ald ‖ 25 *καὶ* om M ‖ 27 *τὸ δὲ* ante lemma Ald quae deinde *ἀντὶ τοῦ* | *καὶ* om A

καὶ ἐξ ἀνατολῆς, ἑκάστου κύκλου ἓν σημεῖον καὶ τὸ αὐτὸ ἐν τῷι ἀνατέλλειν καὶ δύνειν νομίζεται. οἱ μὲν οὖν ἄλλοι ἐν παραλλήλωι σχήματι κατεσκιαγμένοι ἀνατέλλουσί τε καὶ δύνουσιν, ὁ μέντοι ζωιδιακὸς οὐκέτι.

537—40. *αὐτὰρ ὅ γ' ὠκεανοῦ —*: *ὁ δὲ ζωιδιακὸς κύκλος κατὰ τὴν ἀίδιον τοῦ κόσμου κίνησιν (οὕτω γὰρ λεροῦσιν Ἕλληνες) ἀπ' ἀνατολῆς ἐπὶ τὴν ἐξῆς ἀνατολήν (ὠκεανὸς γὰρ ὁ ὁρίζων). ὅσον ἔχει διάστημα ἀπὸ τοῦ Αἰγοκέρωτος ἀνατέλλοντος ἕως ἀνατέλλοντος Καρκίνου, ἀπὸ Αἰγοκέρωτος μὲν χειμερινοῦ τροπικοῦ μέχρι Καρκίνου θερινοῦ τροπικοῦ, ὑπὲρ γῆν, τοσοῦτον πάλιν ἀπὸ τοῦ Καρκίνου μέχρι τοῦ Αἰγοκέρωτος ὑπὸ γῆν. διηνεκῶς τε ἴσον αὐτοῦ γίνεται τὸ ὑπὲρ τὸν ὁρίζοντα τμῆμα τῶι ὑπὸ τὸν ὁρίζοντα· ὅσον γὰρ ἡ ἀνατολὴ τῆς δύσεως ἀπέχει, τοσοῦτον ἡ δύσις τῆς ἀνατολῆς.*

ὁ ζωιδιακὸς τοσοῦτον τὸν ὁρίζοντα παρέρχεται, ὅσον ἐστὶ διάστημα ἀπὸ Καρκίνου ἕως Αἰγοκέρωτος καὶ αὖθις ἀπὸ Αἰγοκέρωτος ἄχρι Καρκίνου.

539. *ὅσσον ἀπάντη*: *ὅσον ἀπὸ ἀνατολῆς ἔχει τοῦ ὁρίζοντος, τοσοῦτον καὶ ἐν τῆι δύσει [τὸ καταφέρεσθαι]. τὸ οὖν μία δέ σφεων (535) ἔοικε πρὸς ἀντιδιαστολὴν εἰρῆσθαι τοῦ ζωιδιακοῦ διὰ τὸ τοὺς μὲν ἄλλους ἀπὸ ἑνὸς σημείου ἀνατέλλοντας εἰς ἓν πάλιν δύνειν, τὸν δὲ ζωιδιακὸν πλάτος ἀξιόλογον ἔχειν.*

541 sqq. *ὅσσον δ' ὀφθαλμοῖο βολῆς —*: *ἐξάγωνόν ἐστι τοῦτο τὸ σχῆμα καὶ φρονιμώτατον· καὶ γὰρ αἱ μέλισσαι φύσει ζῶσαι καὶ οὐ λόγωι τὰς κατατρήσεις τῶν κηρίων ἑξαγώνους ποιοῦσιν. τὸν μὲν οὖν κόσμον σφαιρικὸν συμβέβηκεν εἶναι, τὴν δὲ γῆν κέντρον. ἀνάγκη οὖν ἐκβαλλομένας ἀπὸ τῆς ὄψεως ἐπὶ τὸν οὐρανὸν εὐθείας, συμβεβηκότων ἡμῶν ἐπὶ τῆς γῆς καὶ τοῦ σχήματος τυγχάνοντος σφαιροειδοῦς, ἴσας εἶναι. ὅση οὖν, φησίν, ὄψεως γίνεται εὐθεῖα ἀναβλεπόντων ἡμῶν πρὸς τὸν οὐρανόν,*

---

1 *ἐν τῶι* om AAld ‖ 5 *δὲ* om Ald ‖ 6 supra *κόσμου* scriptum legisse videor *ἢ μηνῶν* in A, sed incertum | *ἣ φασιν Ἕλληνες* Ald ‖ 7 *ὡρίζων* A ‖ 12, 3 *γίνεταί τε διηνεκῶς ἴσον αὐτοῦ τὸ ὑπὸ τοῦ ὁρίζοντος αὐτοῦ τμῆμα τὸ μὲν ὑπο τὸν ὁρίζοντα* A, *γίνεται ἴσον γὰρ αὐτοῦ τὸ ὑπὲρ τὸν ὁρίζοντα τμῆμα τῶι ὑπὸ τὸν ὁρίζοντα* Ald ‖ 15—17 om A Ald ‖ 18 *τὸ δὲ ὅσσον ἀπ. ἤγουν* Ald ‖ 19 *τοῦτον* Ald | *δ. ἐν τῶι κατ.* Ald ‖ 19—22 *τὸ — ἔχειν* om AM ‖ 23 *βολῆς* om A ‖ 27 *ὑπὸ* AAld ‖ 29 *ἴσας* Ald: *ἴσας ἴσαις* A, *ἴσως ἴσαις* M ‖ 30 *ἄνω βλεπ.* Ald | *εἰς* AAld

τοσαῦται ὀφείλουσιν ἔξ νοεῖσθαι δι' ὅλης τῆς περιφερείας. αὗται δὲ λαμβανόμεναι κατὰ παράλληλον σχῆμα καὶ ἴσον ἀλλήλων ἀφεστῶσαι δύο περιλαμβάνουσι κατὰ τὴν ἑαυτῶν μεσότητα ζώιδια· οὕτω γὰρ ἀποτελοῦσι τὸ ἑξάγωνον σχῆμα.

ἄλλως. τεχνικῶς πάνυ καὶ γεωμετρικῶς διήιρηκε τὸν ζωιδιακὸν κύκλον εἰς τὰ δωδεκατημόρια· λέγει γάρ· ὅσον ἡ ὁρατικὴ ὄψις, τουτέστιν ἀκτὶς ἡ ἀφ' ἡμῶν ἀφιεμένη, ἐπέχει μέχρι τῆς τοῦ ἀνωτάτω οὐρανοῦ ἐπιφανείας, τηλικαύτην εὐθεῖαν ἑξάκις ἐγγράψας τῶι κύκλωι, εἶτα ἑκάστην αὐτῶν τεμὼν διχῶς εὑρήσεις ιβ' τῶν ζωιδίων δωδεκατημόρια. εἶτα καταριθμεῖται τὰ ζώιδια. τὸ δὲ θεώρημα, ὡς ἄρα ἡ ἐκ τοῦ κέντρου τοῦ κύκλου ἴση ἐστὶ τῆι ἐγγραφομένηι ἐν κύκλωι ἑξαγώνωι πλευρᾶι.

541. ἀποτέμνεται: ἀντὶ τοῦ περιγράφεται καὶ δεικνύει. μὴ θαυμάσωμεν δέ, εἰ ἕκαστον τῶν ζωιδίων τηλικοῦτον κατὰ μέγεθος, ὡς τὸ ἥμισυ ἐπέχειν τοῦ ἀπὸ γῆς ἐπὶ τὸν οὐρανὸν διαστήματος· καὶ γὰρ χώρας ὁλοκλήρου ἕκαστον μεῖζόν ἐστιν, ἀλλ', ἐπειδὴ πόρρωθέν ἐσμεν, οὕτως ἡμῖν φαίνεται ὀλίγα, καίπερ ὄντα μεγάλα, ὡς καὶ ὁ ἥλιος παρὰ τοῖς μαθηματικοῖς ἐπιστεύθη τῆς πάσης οἰκουμένης ὀκτωκαιδεκαπλασίων ὤν, καὶ ἡ πᾶσα γῆ τοῦ μεγέθους αὐτοῦ ὀκτωκαιδέκατόν ἐστι, καὶ ὅμως ἡ περιφέρεια αὐτοῦ οὐ πάνυ δοκεῖ μεγάλη εἶναι, ἐπειδὴ σφόδρα αὐτοῦ ἐσμεν κεχωρισμένοι. οὕτω τὰ ἄστρα μεγάλα ἐστὶ καὶ σφόδρα ἐπὶ πολὺ ἐκτεταμένα, ἀλλὰ τῶι χωρισμῶι ἡμῶν βραχέα φαίνεται.

ἄλλως. ὁ Σπόρος οὕτω φησίν (fr 2, cf Anal Eratosth p. 48 Aratea p. 95)· 'ὅσον δὲ τῆς ἀπὸ τοῦ ὀφθαλμοῦ βολίδος τῆς ἀκτῖνος ἀποτέμνεται καὶ ἀφαιρεῖται ἡ αὐγὴ τοῦ αἰθέρος, ἑξάκις

---

3 ἀφιστῶσαι A | παραλαμβάνουσι Ald ‖ 5 ἄλλως om Ald | πάνυ οὖν τεχν. Ald ‖ 6 ὅση Ald ‖ 7 ὄψις ἐστὶ τουτέστιν Ald | ἡ om M | ἡ ἀκτὶς ἡ Ald | 7, 8 ἀφ. ἐπὶ τὴν ἀνωτάτω τοῦ οὐρανοῦ ἐπιφάνειαν Ald ‖ 7 μέχρι om A ‖ 8 τοῦ om A ‖ 8, 9 ἐγγράψας τῶ κύκλω ἑξάκις AAld ‖ 9 τέμνων AAld | 11 τοῦ κύκλου τοῦ κέντρου AAld ‖ 13 δὲ post lemma Ald ‖ 13, 4 δ. καὶ μὴ A ‖ 14 θαυμάζωμεν (δὲ Ald) εἰ AAld | τηλικούτων (omisso ζωιδίων) A | ὄν post τηλ. Ald | 14, 5 κατὰ τὸ μ. Ald ‖ 15—17 διαστ. σμικρότατον ὁρᾶται· διὰ γὰρ τὸ πόρρωθεν ἡμᾶς εἶναι ἐκείνων διὰ τοῦτο ἡμῖν μικρὰ φαίνεται καίπερ Ald ‖ 18 ὡς ὁ ἥ. AAld ‖ 19 τῆς πάσης οἰκουμένης om A | τῆς γῆς ὁ. Ald ‖ 21 παντὶ A | σφ. αὐτῆς libri ‖ 22 καὶ ante τὰ Ald | ἐ. σφόδρα καὶ Ald ‖ 23 ἐκτεταμέναι M, ἐκ (ceteris abscissis) A, ἐκτείνεται Ald ‖ 25 ἄλλως om Ald | ὁ Σπ. δὲ οὕτως ἐξέλαβεν Ald ‖ 26 καὶ pro τῆς alt Ald ‖ 27 καὶ ante ἡ add M: om Ald; ἀπ. καὶ ἡ αὐγὴ τοῦ αἰθ. ἀφαιρεῖται A

ἂν τοσαύτη ⟨ἡ⟩ ἀκτὶς ὑποδράμοι τὸν ζωιδιακὸν ἀπηρτισμένον. ἑκάστη δὲ οὕτως ὑποδραμοῦσα ἴση δύο ἂν περιτέμοι καὶ περιλάβοι ζώιδια τῶν ὑποκειμένων ιβ΄.

ἄλλως. ἐν παντὶ κύκλωι ἡ ἐκ τοῦ κέντρου πρὸς τὴν περιφέρειαν πίπτουσα εὐθεῖα ἑξάκις ὑποτείνει τὴν ὅλην περιφέρειαν. ἔπειτα συγχρῆται τῶι τὴν γῆν σημείου καὶ κέντρου λόγον ἐπέχειν πρὸς τὴν τῶν ἀπλανῶν ἄστρων σφαῖραν, ὡς τῶν ὄψεων τῶν ἡμετέρων οὐδὲν τοῦ κέντρου τῆς σφαίρας διαφερουσῶν κατά γε τὴν θέσιν πρὸς τὸ πᾶν καὶ ὅτι οὐδενὶ διαφέρον ἐστὶν ἢ ἀπ᾽ αὐτοῦ τοῦ κέντρου, τουτέστι τῆς γῆς, ὁρᾶν τὰ οὐράνια ἢ ἀπό τινος τόπου τῶν ἐπὶ τῆς γῆς ἐπιφανείας κειμένων. οὕτως ἐστὶ μικρὸν καὶ σημειῶδες τὸ μεταξὺ τοῦ κέντρου καὶ τῆς ἐπιφανείας διαστημα.

544. ζῳ̃διον δέ ἑκύκλον: λοιπὸν τῶν ιβ΄ ζωιδίων ὀνομασίαν ποιεῖται, καὶ ἄρχεται πάλιν ἀπὸ τοῦ ἐπισημοτέρου ἐν τοῖς βορείοις, τοῦ Καρκίνου.

545. τῶι ἔνι Καρκίνος ἐστί: διὰ τί ἀπὸ Καρκίνου ἤρξατο τῶν Αἰγυπτίων ἀεὶ ἀπὸ Κριοῦ λαμβανόντων τὴν ἀρχήν; ὅτι ἀεὶ ὁ Ἄρατος ἀπὸ τῶν βορείων ἄρχεται, βορειότατος δέ ἐστι πάντων ὁ Καρκίνος. οἱ δὲ Αἰγύπτιοι εἰκότως ἀπὸ τοῦ Κριοῦ ποιοῦνται τὴν ἀρχὴν πάντα τὰ ζώιδια λαμβάνοντες κατὰ ἀναλογίαν τῶν μελῶν. καὶ τὸν μὲν Κριὸν κεφαλὴν εἶναί φασιν, ἐν ᾗι τὸ ἡγεμονικόν [ἐπειδὴ ὁ Κριὸς τῶν προβάτων ἡγεμὼν καὶ πρόοδός ἐστι καὶ ὅτι ἐν τῶι Κριῶι ὁ ἥλιος ἰσημερίαν ποιεῖται],

---

1 ἄν τοι ὑποδράμη ἀκτὶς τὸν ζ. A, ἂν ὑποδράμη τὸν ζ. Ald | ἀπαρτησμένον A ‖ 1—4 ἕκαστον δὲ τῶν ἓξ εἰς δύο τεμὼν περιτέμη ἂν καὶ περιλάβη τὰ ὑποκείμενα ιβ΄ ζώδια, ἐπειδὴ γὰρ ἐν π. Ald ‖ 2 περιτέμη (ἂν Ald) καὶ περιλάβη AAld ‖ 4 ἡ ante ἐν iteravit A | τοῦ om M ‖ 5 ἀχθεῖσα Ald ‖ 5—7 π. διὰ τοῦτο χρησάμενος τῶι πρὸς γῆν σημείωι τῆι ἡμετέρα ὄψει, ἥτις ἡ γῆ κέντρου λόγον ἐπέχει πρὸς Ald ‖ 6 τῶ πρὸς γ. σημείω. κέντρου δὲ λ. ἐπ̣ A, cf Ald ‖ 7 ὥστε AM, cf Ald ‖ 7, 8 σφ. ἡ δὲ ἡμετέρα ὄψις οὐδὲν τοῦ κέντρου τῆς σφαίρας διαφέρει Ald ‖ 8, 9 τε τὴν A ‖ 9 οὐδὲν διαφέρει ἀπὸ Ald | ἀπὸ AAld ‖ 9, 10 ἀ. τε τοῦ κέντρου Ald ‖ 11 τόπου om AAld | γῆς om Ald ‖ 11—13 κ. αὕτη δὴ μικροῦ καὶ σημείου λόγον ἐπέχοντος, χρησάμενος οὖν ὡς σημείωι τῆι ἡμετέρα ὄψει, οὕτω τὴν τοῦ ζωδιακοῦ πεποίηται περιμέτρησιν: — Ald ‖ 12 καὶ τῆς ἐπ. δ. abscissa A ‖ 14 κύκλον om A ‖ 17 ἐστί om A | lemma om Ald | δ. τί δὲ Ald ‖ 18 ἀεὶ om M ‖ 19 ὅτι εἰώθει ἀεὶ Ald | ὁ Ἄρατος om AAld | ἄρχεσθαι Ald ‖ 20 πάντων om M ‖ 21, 2 λαμβάνοντες post ἀναλ. AAld ‖ 22 δὴ post καὶ Ald ‖ 23, 4 ἐπειδὴ — ἐστι om M | seclusi ‖ 24 ἔσται A | καὶ — ποιεῖται hic Ald: post Ἰχθ. (p. 447, 1) AM

Ταῦρον δὲ τὸν αὐχένα ἄχρι τῶν ποδῶν, οἵ εἰσιν οἱ Ἰχθύες. § *τὰ ὀνόματα τῶν δωδεκατημορίων καὶ ζωιδίων ἐν τούτοις. τὰ δὲ πολλὰ αὐτῶν καθ' ὁμοιότητα. ἔστι δὲ ἃ καὶ κατὰ πάθος, ὡς Ὑδροχόος, πολλῶν τὸ τηνικαῦτα ὑετῶν καταφερομένων ἡλίου διαβαίνοντος αὐτόν. διαφέρειν δὲ ζώιδιον δωδεκατημορίου τῶι μὴ συναπαρτίζειν τὸ ζώιδιον τῶι δωδεκάτωι μέρει τοῦ ζωιδιακοῦ, ἀλλ' ἔνια μὲν ἐλλείπειν, ὡς ἐπὶ τοῦ Κριοῦ καὶ ⟨τοῦ⟩ Καρκίνου, ὅπου δὲ ὑπερβάλλειν, ὡς ἐπὶ τοῦ Σκορπίου καὶ τῆς Παρθένου.*

550. *ἐν τοῖς ἡ ἥλιος φέρεται: ἐναντίαν τῶι παντὶ κίνησιν ποιεῖται ὁ ἥλιος, ἡμέρας ἑκάστης μοῖραν μίαν οὐχ ὅλην κινούμενος. τξ' οὖν μεθιστάμενος μοίρας τὸν ὅλον κύκλον ἐν τξέ ἡμέραις καὶ τετάρτωι μάλιστα μέρει τοῦ νυχθημέρου διανύει πάντα τὸν ἐνιαυτόν. ἐν τούτοις οὖν τοῖς δώδεκα ζωιδίοις ὁ ἥλιος φέρεται τὸν ἐνιαυτὸν συντελῶν ἅπαντα· ἐν ἑκάστωι γὰρ ζωιδίωι ποιεῖ μῆνα καὶ μίαν ἡμέραν ἐφ' ἑκάστης ⟨μοίρας⟩ ἀνύει. πορεύεται δὲ τὴν μέσην γραμμὴν τοῦ ζωιδιακοῦ πρὸς μῆκος κινούμενος καὶ οὐχ, ὡς οἱ ἄλλοι πλάνητες, πρὸς πλάτος. ποιεῖται δὲ τὴν πορείαν ἐναντίαν τῶι παντὶ κόσμωι· ὁ μὲν γὰρ κόσμος ἀπὸ ἀνατολῶν ἐπὶ δύσιν φέρεται, ὅ δὲ ὡς ἐπὶ ἀνατολὰς διὰ τοιοῦτον λόγον, οἷον τοῦ Κριοῦ βραδύτερον δύνει ὁ Ταῦρος, ὅσωι ἀνωτέρω αὐτοῦ ἐστι, καὶ καταφερομένου τοῦ Ταύρου οἱ Δίδυμοι καὶ ἑξῆς τὰ λοιπά. τῆς τοίνυν καταφορᾶς καὶ δύσεως τοῦ παντὸς ἀεὶ ὑψηλότερος καὶ ἀνωτέρω πορεύεται ὡς ἐπὶ τὸ φανερὸν τοῖς ἀνθρώποις.*

551. *καὶ οἱ περὶ τοῦτον ἰόντι: τῶν γὰρ ἀστέρων κατὰ*

---

1 *οἱ* om M ‖ 2 *τὰ — τούτοις* om Ald ‖ 3 *πολλὰ δὲ* Ald | *εἰσιν* post *ὁμ.* Ald | *ἔνια δὲ καὶ* Ald ‖ 4 *ὑδροχόος* M | *καταφερομένων ὑετῶν τοῦ ἡ.* A Ald ‖ 5 *διαφέρειν* M ‖ 5, 6 *τῶι μὴ* Ald: *τῶι* om AM ‖ 6 *συνα. ἕκαστον ζ. τὸ δωδέκατον τοῦ ζ.* Ald | *μέχρι* AM ‖ 7 *ἔνθα* M ‖ 11 *ἡμέρας* om A, post *ἑκ.* Ald | *μίαν μοῖραν* Ald | *ὅλην* Ald: *ὅλως* AM ‖ 12 post *οὖν* Ald *πασῶν οὐσῶν τῶν κύκλου μοιρῶν ἐν* Ald | *ταῖς ξέ* A ‖ 13 *δ' μάλ.* Ald | *ν. ὁ ἥλιος διανύει* Ald ‖ 14 *ιβ'* A ‖ 16 *ἡμέραν μίαν* A ‖ 16, 7 *καὶ ια' που ὥρας· ἐφ' ἑκάστης γὰρ μοίρας μίαν ἡμέραν καὶ μικρόν τι προσαποτελεῖ. πορεύεται* Ald ‖ 16 supplevi ex Ald | *ἀνύει* scripsi cf Ald: *ἀνύων* AM ‖ 18 *οἱ* om M | *εἰς πλ.* A Ald ‖ 19 *ἐναντίω* M | *κύκλῳ* AAld, *κύκλῳ* superscripto *κόσμωι* M | *κόσμος* scripsi: *κύκλος* AMAld ‖ 20 *δύσεως* AAld ‖ 20, 1 post *ἀνατολὰς* Ald *τὸ δὲ Ταῦρος δ' ἐπὶ τῶι ὅτι τοῦ Κριοῦ ὁ Ταῦρος βρ. δ. ὅσωι καὶ ἀνώτερος* ‖ 21 *ὁ* om A | *ἀνώτερος* A ‖ 24 *ἀνώτερος* Ald | *φέρεται* A, *φαίνεται ὁ ζωιδιακὸς* Ald ‖ 26—p. 448, 2 *γὰρ ὡρῶν τὰς μεταβολὰς ἡ τοῦ ἡλίου κίνησις ποιεῖ, ἃς ἐπικαρπίους διὰ τὸ μητέρας εἶναι τῶν καρπῶν· καιροὶ γὰρ κ.* Ald

καιρὸν ἀνατελλόντων αἴξονται καὶ οἱ καρποὶ τῶν φυτῶν· τῶν καρπῶν γὰρ μητέρες αἱ Ὧραι. οἱ καιροὶ οὖν τῶν καρπῶν γεννήτορες. αὔξονται δὲ διανύοντος τοῦ ἡλίου τὸν πάντα κύκλον.

553. τοῦ δ' ὅσσον κοίλοιο: κοῖλον ὀρθῶς ἔφη τὸν ὁρίζοντα· τῷι μὲν γὰρ ἔξωθεν ὁρῶντι κυρτὸς φανεῖται, τῷι δὲ ἔνδοθεν καὶ ἀπὸ τῆς γῆς κοῖλος. ὁ δὲ νοῦς· ὅσον δὲ αὐτοῦ ὑπὸ τὸν ὁρίζοντα πίπτει, τοσοῦτον καὶ ὑπὲρ γῆς ἀναφέρεται· ἀεὶ γὰρ ἐπ' ἀκριβὲς ἓξ μὲν ὑπὲρ γῆς ζώιδια, ἓξ δὲ πάλιν ὑπὸ γῆν. γεωμετρικῶς δὲ καὶ ἀστρονομικῶς ἔφη.

555. δυωδεκάδες κύκλοιο: τὰ μὲν γὰρ ζώιδια οὔτε ἐντὸς τοῦ ζωιδιακοῦ κύκλου εἰσὶν ὅλα οὔτε ἐκπεπλήρωται ... ἔστι δὲ ἃ καὶ ὑπερπέπτωκε, τὰ δὲ πολλὰ αὐτῶν καὶ πλάγια καταδύνει καὶ οὐκ ὀρθὰ ἀναφέρεται, ὡσιε οὐκ ἄν τις ἐξ αὐτῶν λάβοι ἀκριβές. τῶν δωδεκατημορίων δὲ ἕκαστον λ' μοίρας ἔχει· κἂν γὰρ καὶ τὸν ἡλιακὸν λογίζηταί τις κύκλον, εὑρήσει μόγις ἑκατὸν ὀγδοήκοντα ὑπὲρ γῆς ἀεὶ καὶ διὰ παντὸς μοίρας.

556. τόσον δ' ἐπὶ μῆκος: διὰ συντομίας εἶπε τὰ διαστήματα τῶν νυκτῶν, ἀφ' ὧν καὶ τὰ τῶν ἡμερῶν νοητέον· ὅμοιον γάρ. ὁ δὲ λόγος· ἑκάστη νὺξ ἐπὶ τοσοῦτον μῆκος γίνεται ἢ τοσοῦτον διάστημα ἔχει τῆς περιφερείας, ὅσον ἀπὸ νυκτὸς ἀρχομένης ἐπαίρεται καὶ περιάγεται μέρος τοῦ κύκλου, τὸ ἥμισυ, ἐπέχον ἓξ ζώιδια. οἱονεὶ ἀρχομένης τῆς νυκτὸς ἀνατέλλων Καρκίνος περὶ πρώτην καὶ δευτέραν ὥραν τοσοῦτον ἕξει διάστημα, ἕως οὗ πάλιν ⟨ἂν⟩ ἐπὶ δύσιν ἔλθηι. ἀνισθέντος τοῦ ἡμικυκλίου ἀπὸ Καρκίνου ἕως Τοξότου τὸ πᾶν τῆς νυκτὸς μῆκος τελεῖται. πάλιν δὲ δύνειν ἀπὸ Αἰγοκέρωτος ἤρχετο ἡ νύξ. κατὰ τὸ διάμετρον οὖν ἕως τῶν Διδύμων εἶχε τὴν περιφοράν. φησὶν οὖν. ὅτι ἑκάστης νυκτὸς τοιοῦτόν ἐστι τὸ μῆκος, οἷον ἐπαίρεται μέρος τοῦ κύκλου, λέγω δὴ τὸ ἥμισυ, ἀρχομένης αὐτῆς. καλῶς δὲ εἶπε τὸ ὅσον — ἥμισυ (557), ἐπειδὴ τὰ μὲν μεγάλην ἔχει

---

3 δὲ om M ‖ 5 *νοοῦντι* AAld | *κυρτὸν* AM | *φαίνεται* Ald | *τὸ δὲ* A | 6 *τῆς* om AAld | *κοῖλον* AM ‖ 7 *γῆν* Ald ‖ 8 *μὲν* pro *γὰρ* A | *κατὰ τὸ ἀκρ.* Ald | *γῆν* AAld ‖ 9 *τοῦτο* ante *ἔφη* Ald ‖ 10 *δυωδεκάδος* AAld ‖ 11 *οὔτε δὲ* A | *λ' μοιρῶν* post *ἐκπ.* Ald ‖ 13 *τὸ ἀκρ.* Ald ‖ 14 *κἂν γὰρ καὶ* AAld: *κἂν κατὰ* M ‖ 15 *ἡλιακὸν* AAld: *ἥλιον* M | *ρπ'* AAld ‖ 17 *τόσσον* MAld | *συντομίαν* Ald ‖ 17, 8 *τὰ τῶν νυκτῶν τὰ διαστ.* AAld ‖ 20 *ἔχει διάστ.* A Ald ‖ 22 *οἷον εἰ* Ald | *ἀνατέλλει* libri ‖ 23 *α' καὶ* Ald ‖ 24 *ἔλθοι* A ‖ 26 *δὲ ἀνατέλλειν ἀ.* Ald | *τὸ* om Ald ‖ 27 *οὖν* prius om AM ‖ 29 *κακῶς* Ald ‖ 30 *τὸ ὅσον* scripsi: *τόσσον* AM, *ὅσσον ἄρ'* Ald

τὴν περιφοράν, τὰ περὶ τὰ βόρεια, τὸ δὲ ἥμισυ ἐλάττονα, τὸ περὶ τὰ νότια. ἅπαξ οὐ τοσοῦτον ἔσται τὸ μῆκος, ὅσον καὶ τὸ ἐπιφερόμενον ἡμικύκλιον.

557. *τοῦτό φησιν· ἥμισυ κύκλου τὸ ὑπέργειον, τὸ ἥμισυ, οἷον τὸ ἀπὸ Καρκίνου μέχρι Τοξότου. ἐπὶ τοσοῦτον μῆκος ἐκτείνεται ἑκάστη τῶν νυκτῶν, ἐφ' ὅσον καὶ τὸ ἥμισυ τοῦ κύκλου ἀπ' ἀρχομένης τῆς νυκτὸς ἄρχεται ἀνατέλλειν.*

τετάνυσται: τοσοῦτον ἐπὶ μῆκος ἑκάστη νὺξ ἀεὶ τείνεται, καθ' ὅσον καὶ τὸ ἡμικύκλιον. διὰ δὲ τὸ τὰς νύκτας πῇ μὲν μείζους εἶναι πῇ δὲ ἐλάττους καὶ μὴ φθάνειν τὸν κύκλον περιλαμβανόμενον πάντως διὰ τοῦτο προσέθηκε τὸ ἀρχομένης ἀπὸ νυκτὸς ἀείρεται ὑψόθι γαίης (558), *ὡς τῶν βορείων, ἅτε ὑψηλοτέρων, καὶ τὸ ὅλον ἡμικύκλιον διὰ τῆς νυκτὸς περιλαμβανόντων.*

559. *οὔ κεν ἀπόβλητον: σφόδρα φροντίζει ὁ Ἄρατος τῶν ναυτιλλομένων καὶ διὰ πολλῶν τεκμηρίων πειρᾶται αὐτοῖς χειμαζομένοις, καθ' ὅσον ἔξεστι, βοηθεῖν. διὸ ἐναντίον ποιεῖ Ἡσιόδωι· ὃ μὲν γὰρ σφόδρα τῶν γεωργῶν, ὃ δὲ σφόδρα τῶν ναυτιλλομένων ποιεῖται ἐπιμέλειαν.*

ἄλλως. οὐ σφόδρα ἀδόκιμον καὶ πάρεργον. βούλεται δὲ σημεῖα λέγειν τοῖς ναυτιλλομένοις, ὅτι, ἐὰν νυκτὸς συμβαίνηι τινὰ κινδυνεῦσαι, ἀφοράτω, καὶ μαθήσεται, μετὰ πόσας ὥρας ἔσται ἡ ἡμέρα, καὶ ἐκ τούτου γινωσκέτω, τί δεῖ ποιεῖν. καὶ τότε οὐκ ἄν τοι εἴη ἀδόκιμον καὶ [τῶι] μηδὲν ἐπιτηροῦντι τὴν ἡμέραν καὶ ἐκδεχομένωι περισκοπεῖν ἕκαστον τῶν ἄστρων, ἐπειδὰν ἀνατείληι, ἀλλ' ἀπὸ τοῦ ἐναντίου ἐλευθέριον ἂν εἴη.

ἄλλως. οὐκ ἀδόκιμον ἔσται σοι τοῦτο παρατηροῦντι σκέπτεσθαι τὰς τῶν ζωιδίων ἀνατολάς, ἐν οἷς ἐστιν ὁ ἥλιος· μαθὼν γάρ, ὅτι ἐν Κριῶι ἐστιν ἔαρος ἀρχή, γνώσηι ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν. ταῦτα δέ τις γνούς, πότε δεῖ σπείρειν καὶ

---

1 *τὰ δὲ* MAld ‖ 1, 2 *τὰ π.* M ‖ 2 *ἐφ' ὧν* (pro *ἅπαξ οὐ*) Ald ‖ 4—7 om AAld ‖ 7 *ἀπαρχομένης* M ‖ 8 *ὅσσον περ* (*ἆρ'* Ald) *ἥμισυ κύκλου ἀρχομένης ἀπὸ νυκτός* (557, 8) AAld ‖ 11 *-άνεσθαι* libri | *πάντα* M ‖ 11, 2 *ἀρχ. ἀ. νυκτὸς* om Ald ‖ 13 *ὄντων* post *ὑψ.* Ald ‖ 17 pro *διὸ ἐν. ποιεῖ* Ald *παρόμοιον ποιῶν* ‖ 18 *γεωργικῶν* libri ‖ 20 *ἄλλως* om Ald ‖ 20, 1 *οὐκ ἀδ. οὐν οἰδὲ πάρεργον σημεῖον λέγει τοῖς* Ald ‖ 23 *τούτω* (sic) A ‖ 23, 4 post *ποιεῖν* Ald *ὁ δὲ νοῦς· οὐκ ἂν εἴη σοι* ‖ 24, 5 *ἀδ. ἐπιτηροῦντι τὴν ἡμ.* Ald ‖ 26 *ἐκ τοῦ* Ald | *ὠφέλιμον* Ald ‖ 27 *ἢ* pro *ἄλλως* Ald ‖ 28 post *ἀνατ.* Ald *καὶ ἐν ποίῳ τούτων ἐστὶν ὁ ἥλ.* | *ἐν οἷς* evanida in A ‖ 29 post *γὰρ ἐν Κριῶι εἶναι αὐτὸν* Ald | *ἀρχὴν* Ald

θερίζειν, εἴσεται. οἱ δὲ τὸ ἑξῆς οὕτω λέγουσιν· ἐπιτήρει, πότε ἡ ἡμέρα ἐστίν, ἤγουν ἐν τίνι ζωιδίωι ἐστὶν ὁ ἥλιος· ὁ γὰρ εἰδὼς τοῦτο εἴσεται, πόστη τῆς νυκτός ἐστιν ὥρα, θεωρῶν ἐντεῦθεν ἀρχὴν τῶν ἀνατολῶν καὶ συγκαταδύσεων. § μοίρας δὲ εἶπε νῦν τὰ ζώιδια, δι' ὧν ὁ ἥλιος φέρεται.

ἥματος εἴη —: λείπει ἡ περὶ πρόθεσις, ἵν' ᾖι 'περὶ τοῦ ἥματος τῶν μοιρῶν (τουτέστι τῶν ζωιδίων) ἐννοοῦντι καὶ θεωροῦντι σκέψασθαι καὶ διαγνῶναι, πότε ἀνατέλλει ἑκάστη μοῖρα (τουτέστιν ἕκαστον ζώιδιον)'· τὸ γὰρ καθ' ἓν ζώιδιον μοῖρά ἐστι τοῦ παντὸς κύκλου.

560. *μοιράων σκέπτεσθαι: μοίρας φησὶν καὶ τὰς εἰς ξ' λεπτὰ κατατομὰς καὶ τὰς ἡμέρας καὶ τὰ ζώιδια. νῦν δὲ τὴν ὅλην τοῦ ζωιδίου περιπόλησιν μοῖραν ὠνόμασεν.*

561. *ἀεὶ γὰρ τάων —: τούτων γὰρ τῶν μοιρῶν, ἀντὶ τοῦ τῶν ἀστέρων, ⟨μιᾶι⟩ διὰ παντὸς συνανατέλλει ὁ ἥλιος, ὥστε σὺν αὐτῶι πάλιν ἐκείνωι τῶι ἄστρωι δύνοντος τοῦ ἡλίου τὰ ἄλλα ἐκ τῆς νυκτὸς ἀνιόντα δυνατὸν περισκοπεῖν.*

562. *περισκέψαιο μάλιστα: ταύτας δὴ τὰς μοίρας περισκοπούμενος ἀκριβῶς καὶ εἰς αὐτὰς ὁρῶν, εἰς ἓν ἕκαστον τῶν ιβ' ζωιδίων ἀφορῶν, πάνυ ἂν δύναιο καταλαβέσθαι αὐτάς. εἰ δὲ ἐξ ὄμβρων κατακαλύπτονται ἢ ἐκ τῶν παρακειμένων ὀρῶν γίνονται ἀφανεῖς ἢ 'κεκρυμμέναι ἀπὸ ὄρους' ἔχουσι τὰς ἀνατολάς, ὥστε συνορᾶν ⟨ἀδύνατον⟩, ἡρμοσμένα καὶ ἀσφαλῆ πάλιν ποιοῦσι τεκμήρια τοῖς ἐπερχομένοις, τοῖς συνανατέλλουσι τοῦ ζωιδιακοῦ παρ' ἑκάτερα, ἔν τε τῶι νοτίωι καὶ ἐν τῶι βορείωι καὶ ἐν τοῖς ἄλλοις, ἄστροις.*

---

1 ἕτεροι δὲ οὕτως ἐξέλαβον ἐπ. Ald ‖ 2 ἡ om M ‖ 3 πόση AAld | τῆς om M | ἡ ὥρα AAld | post ὥρα Ald ἐκ δὲ τούτου καὶ τὴν ἀρχὴν ‖ 4,5 μοίρας — φέρεται om M ‖ 6 ἐν δὲ τῶι ἥμ. εἴη Ald scholiis coniunctis | πρόθεσις om Ald ‖ 9 ἤγουν ἐκ. Ald ‖ 10 ὅλου Ald ‖ 11—13 Ald λέγονται μὲν γὰρ μοῖραι καὶ αἱ διαιρούμεναι εἰς λεπτὰ ἑξήκοντα· λέγεται καὶ αὐτὰ τὰ ζῴδια. νῦν οὖν τὴν ὅλην τοῦ ζῳδίου περιπόλησιν μοῖραν ὠνόμασεν ‖ 12 λεπτὰ M: -ὰς A ‖ 14 τῶν om Ald | τοῦ τούτων τῶν ζῳδίων Ald ‖ 15 διὰ παντὸς AM: ἑνὶ ἀεὶ Ald ‖ 15,6 ἥλ. σὺν αὐτῶι δὲ πάλιν Ald ‖ 16 ἀετῶ M | ἄ. ἤγουν ζῳδίῳ Ald ‖ 18 τὰς δ' ἄν κε περισκ. pro lemmate Ald | δὲ Ald ‖ 19 εἰς scripsi: ἤγουν εἰς Ald, om AM ‖ 21 καλύπτοιντο AAld, κατακαλύπτοιντο M | ὠρῶν M ‖ 22 κεκρυμμέναι ἢ ἀπὸ ὄρους ἔχουσαι AMAld ‖ 23 ἡρμοσμένους A | καὶ ante πάλ. AM: om Ald ‖ 26 τοῖς om AAld

566, 7. *αὐτὸς δ' ἂν μάλα τοι*: [*περὶ*] *τοῦ ὁρίζοντός φησι κέρατα τήν τε ἀνατολὴν καὶ τὴν δύσιν· καὶ γὰρ περιφερεῖς πάλιν ἐν τῇι δύσει κέρασίν εἰσι παραπλήσιαι. ὁ δὲ νοῦς· αὐτὸς δὲ ὁ ὠκεανὸς ἐκ τοῦ ἀνατολικοῦ μέρους καὶ τοῦ δυτικοῦ τεκμήρια δίδωσιν ἔκδηλα καθ' ἑκάστην ἡμέραν ἀνατέλλοντα καὶ δύνοντα τῶν ζωιδίων καὶ τῶν λοιπῶν· καὶ γάρ, εἴτε ⟨τὰ ἐξ⟩ ἀνατολῆς ἄστρα κατέχοιτο, ἐκ τῶν δύσεων τεκμήριά σοι δίδωσιν, εἴτε καὶ τὰ ἐκ τῶν δύσεων, τὰ ἐξ ἀνατολῆς.*

— *τά τε πολλὰ περιστρέφεται*: *ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ ὁρίζοντος, ἔκ τε τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου καὶ τῶν λοιπῶν μορίων, λέγει δὲ τῶν ἄστρων. τοῦτο δέ· ὁ ὠκεανὸς ἐξ ἀμφοτέρων τῶν κεράτων παρέχει τεκμήρια δι' ἄστρων, ἅπερ, ἕκαστον ἐκ τούτων, πολλὰ ἐπιστεφανοῦται ἑαυτῶι καὶ περίκειται, ὅταν ἑκάστην μοῖραν ἕκαστον ἄστρον ἀναφέρηται· ἐκ γὰρ τοῦ ὑπογείου κύκλου ὑποτίθεται εἶναι τὸν ἥλιον ⟨ἐν⟩ Καρκίνωι (569). πρὶν δὲ ⟨ἂν⟩ ἀνέλθηι, δεῖ σκοποῦντα τὰ ἄστρα συμβάλλειν, ὅτι μέλλει ἡμέρα γίνεσθαι. πάλιν μεταφέρει τὸν ἥλιον εἰς Λέοντα καί φησι 'πρὶν ἀνελθεῖν τὸν Λέοντα, σκόπει τὰ παρακείμενα ἄστρα καὶ συμβαλεῖς'. εἶτα μετάγει ἐπὶ τὴν Παρθένον τὸν ἥλιον* (590. 6).

568. *ὁππῆμος*: *ὑφ' ἓν ἀναγνωστέον· ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· αὐτὸς δέ σοι ὁ ὁρίζων κατὰ ἀνατολὴν καὶ δύσιν δείξει τὰ ζώιδια, ἃ περιστρέφει ἐν ἑαυτῶι· τὸ γὰρ περιστρέφεται* (567) *ἀντὶ ἐνεργητικοῦ ἐστιν. δείξει τότε ἑκάστην τῶν μοιρῶν (ἀντὶ τοῦ 'τῶν δωδεκατημορίων ἀναφαίνει'), ὁπότε τέλλουσαν παρέρχεται.*

1, 2 *φησὶν οὖ κερ.* Ald ‖ 2 *τὴν* ante *δύσιν* om M | *δύσιν λέγει* Ald | post *περιφερεῖς* Ald | *οὖσαι ἥ τε δύσις καὶ ἡ ἀνατολὴ κέρ.* ‖ 3 *παραπλήσιοι* AM ‖ 6 *τῆς ἀν.* Ald ‖ 7 *διδοίη* A ‖ 8 *τῶν* om A | *εἴτε καὶ* post *δύσ.* A: om M, *καὶ* om Ald | *ἐκ τῆς ἀν.* Ald ‖ 9 *περιστρέφεται* om M ‖ 9, 10 *δηλαδὴ τοῦ ὁρ.* Ald ‖ 11 *ζωδίων λ.* AAld | *τουτέστιν ὁ* Ald ‖ 12 *κεράτων* scripsi ex Arato: *ἄρκτων* (superscripto *ἄστρων*) M, *ἀρκτικῶν ἄστρων* AAld | *παρέχοι* M ‖ 13, 4 *ἐπίκειται* Ald ‖ 14 *ὅτι* A | *σὺν ἑκάστη γὰρ μοίρα* Ald | *ἀναφέρεται* AAld ‖ 14, 5 *ἐν τῶ ὑπογείω οὖν κύκλω* Ald ‖ 16 *δὴ* Ald | *ἀνέρθη* A | *σκοπεῖν τά τε ἄ.* libri ‖ 17 *συμβαίνειν* Ald; *συμβαλεῖν* Bekker | *εἶτα μετ.* Ald ‖ 18 *ἐπὶ τὸν* Ald ‖ 19 *συμβάλη* M | *ἐπάγει* AAld ‖ 21 *τὸ δὲ ὁππῆμος* Ald ‖ 23 *γὰρ αἰν* M: *δὲ* AAld ‖ 24 *οὖν* post *δείξει* Ald: om AM ‖ 25 *τῶν* om Ald | *ἀναφερει* AM, *ἀναφέρων* Ald ‖ 25, 6 *τελοῦσαν* A, *ἀνατέλλουσαν* Ald

569 sqq. *οὗ οἱ ἀφανρότατοι —: μέλλων διεξέρχεσθαι τὸν περὶ ἀνατολῶν καὶ δύσεων λόγον καὶ συνανατελλόντων καὶ συγκαταδυόντων τὴν ἀρχὴν ἀπὸ Καρκίνου ποιεῖται, ὃν καὶ ἐν τῇι ἀρχῇι τοῦ ζωιδιακοῦ κύκλου πρῶτον ὠνόμασε* (545), *καί φησιν, ὅτι Καρκίνου ἀνατέλλοντος οὐκ ἀμαυρὰ οὐδὲ ἄσημα ἄστρα συνανατέλλει αὐτῶι καὶ ἀντικαταδύνει, δύνειν δὲ τὸν Στέφανόν φησι κατὰ τὸ ἥμισυ* (573) *καὶ τὸν Νότιον Ἰχθὺν κατὰ ῥάχιν* (572), *πρὸς ἀνατολὰς ἐστραμμένων αὐτοῦ τῶν περὶ τὴν γαστέρα μερῶν. καὶ ἀντικαταδύνειν δέ φησι τὸν Ὀφιοῦχον ἀπὸ ποδῶν μέχρις ὤμων καὶ τὸν Ὄφιν, ὃν ἔχει ἐν ταῖς χερσί, μέχρι τραχήλου* (578).

572. *κατὰ ῥάχιν Ἰχθύς: εἰς δυσμὰς φέρεται ὡς ἐπὶ τὴν ῥάχιν ὁ Νότιος Ἰχθύς· ἄνω γὰρ νένευκεν. ὅτε δὲ ταῦτα δύεται ἀνατέλλοντος τοῦ Καρκίνου, πρώτη ἢ δευτέρα ὥρα τῆς νυκτός.*

574. *ἐσχατιαὶ βάλλουσι: πάλιν περὶ τοῦ Στεφάνου ἀναλαμβάνει μέλλοντος ἀνατέλλειν τοῦ Καρκίνου· τούτου γὰρ ἀνατέλλοντος τὸ ἥμισυ τοῦ Στεφάνου ἴδοις ἂν ὑπέργειον, τὸ δ' ἄλλο ἥμισυ δύσει προσβάλλουσι καὶ ἀφανίζουσιν εἰς δύσιν τοῦ Στεφάνου κατιόντος. § 'ἐσχατιὰς' δὲ τὰς δύσεις φησίν, ἐπεὶ καὶ 'προτέρην' (432) τὴν ἀνατολὴν λέγει.*

575. *αὐτὰρ ὁ γ' ἐξόπιθεν: ὁ δὲ Νότιος Ἰχθὺς εἰς ὀπίσω τραπεὶς καὶ οὕτως ἔχων τὴν θέσιν τὰ μὲν ὑπέρτερα, τὰ οὐραῖα, ἐν τῶι ἀφανεῖ ἔχει, τὰ δὲ ὑπὸ τὴν γαστέρα ἐν τῶι μετεώρωι. ὅπερ βίαιόν ἐστι τὰ ὑπέρτερα δύνειν, τὰ οὐραῖα. διό τινες ἐπὶ τὸν Ἐν γόνασι τοῦτο μετενηνόχασιν· τὰ γὰρ ὑπέρτερα αὐτοῦ ἐπὶ κεφαλὴν ἤδη δέδυκεν, ὅτε καὶ τὸ ἥμισυ τοῦ Στεφάνου, τὰ δὲ κάτω περὶ τὴν ἐσχάτην γαστέρα ἔτι ἐν τῶι μετεώρωι ἔχει.*

577, 8. *τὸν δὲ καὶ εἰς ὤμους κατάγει: τὸν δὲ Ὀφιοῦχον ἀπὸ γονάτων μέχρι τῶν ὤμων ἐπὶ δυσμὰς ἄγει ἀνατέλλων ὁ*

---

1 *ου τοι οἱ ἀφ.* A ‖ 3 *τῆι* om M ‖ 8 *κατὰ ἀ.* AAld ‖ 10 *μέχρι* libri ‖ 12 *Ἰχθύς* om M ‖ 13 *ὁ* om A | *νένευκεν δύεται δὲ ταῦτα* Ald ‖ 14 *τῆς* om M ‖ 17 *οὖν* post *μ.* Ald ‖ 17, 8 *τούτου γὰρ ἀνατ.* om Ald ‖ 19 *ἥμισυ αἱ δύσεις* AAld | *προσβάλλονται* A, *-ι* M, *παρέλαβον* Ald ‖ 20 *ἐπεὶ δὴ* A, *ἐπειδὴ* Ald ‖ 22 *ἐξόπισθεν* A | *δὲ* om Ald | *τοὐπίσω* Ald ‖ 23 *δύσιν* M ‖ 25 *ὑ. λέγειν* Ald | *ἢ τὰ ἐναντία* A post *οὐρ., οὐ τὸ ἐναντίον ἔδει* Ald ‖ 27 *ὅτε* Ald: *ὅτι* AM | *τὸ ἥμισυ* om AAld ‖ 28 *ἔτι* om AAld ‖ 30 *κατάγει* om AAld

Καρκίνος καὶ τὸν Ὄφιν ἄχρι αὐχένος. § *μογερὸν δέ, ὅτι ὅλος περὶ τὸν Ὄφιν πονεῖ.*

578. *αὐχένος ἐγγύς: τουτέστι μέχρις αὐχένος αὐτοῦ τοῦ Ὀφιούχου.*

ἄλλως. τοῦτο προσλαβεῖν ἀναγκαῖον, ὅτι ὁ Ὀφιοῦχος ἅμα Διδύμοις ἀναφερόμενος ἄρχεται δύνειν ἀπὸ τῶν ποδῶν μέχρι γονάτων, ὥστε ἀκόλουθόν ἐστι τὸ νῦν εἰρημένον. καὶ οὕτως ἔχει ὁ λόγος· μέχρι τῶν ὤμων καταφέρεται καὶ μέχρι τοῦ αὐχένος τοῦ Ὄφεως· ὀρθοῦ γὰρ αὐτοῦ δύνοντος τὰ μέχρι τῶν γονάτων ἀπὸ τῶν ποδῶν προκαταδέδυκεν ἤδη [καὶ] Διδύμων ἀναφερομένων (724, 5).

579. *οὐδ' ἂν ἔτ' Ἀρκτοφύλαξ: οὐ πολὺς οὐδὲ ἐξ ἴσου φαίνεται ἀμφοτέρωθεν, τουτέστιν ἐκ τῶν ὑπὲρ γῆν καὶ τῶν ὑπὸ γῆν, ἀλλὰ τὸ μὲν ὀλίγον ἄνω ὑπὲρ γῆν, τὸ δὲ πλεῖον ὑπὸ γῆν.* § *ἡμάτιος* (580) *δὲ ὑπέργειος, ἔννυχος ὑπόγειος. οὐκ ἂν οὖν εἴη πολὺς οὔτε ὑπὲρ γῆν οὔτε ὑπὸ γῆν ὁ Βοώτης τοῦ Καρκίνου ἀνατέλλοντος, ἀλλὰ τὸ πλεῖστον αὐτοῦ καταδεδυκός ἐστιν, ἐλάχιστον δὲ τὸ ἔτι ὑπὲρ γῆς· ἐπεὶ γάρ φησιν αὐτὸν τέσσαρσι ζωιδίοις ἀνατέλλουσιν ἀντικαταδύεσθαι* (581), *Ταύρωι Διδύμοις Καρκίνωι Λέοντι, ὅταν ὁ Καρκίνος ἀνατέλλειν ἄρχηται, οὔθ' ὑπὲρ γῆν πολύς ἐστιν οὔθ' ὑπὸ γῆν· δύο μὲν γὰρ αὐτοῦ ἤδη παρεληλύθασι μοῖραι, δύο δὲ ἔτι λείπονται. ὅταν δὲ ἀνενεχθῆι, τρεῖς μὲν αὐτοῦ δεδύκασι, μία δ' ἐστὶν ἡ ὑπολείπεται ὑπὲρ γῆς. Ταύρου δὲ ἀνατέλλοντος αὐτὸς δύνειν ἄρχεται* (721).

581. *τέτρασι γὰρ μοίραις: τοῦτο ἦν αἴτιον τοῦ ἀνατέλλοντος Καρκίνου, τὸ φαινόμενον ὀλίγον ἔχειν ὑπὲρ γῆς τὸν Βοώτην.* *μοίραις δὲ νῦν τοῖς ζωιδίοις. ὁ δὲ λόγος· τέτρασι ζωιδίοις ὁμοῦ καταφερόμενον αὐτὸν δέχεται ὁ ὁρίζων· ὁ γὰρ Βοώτης ἐπιψαύει τῶν δύσεων μετὰ Χηλῶν, εἶτα μετὰ Σκορ-*

---

1 *μογερὸν* AAld: *-οῦ* M | *δὲ αὐτὸν λέγει ὅτι* Ald | *ὅλος* Ald: *-ον* AM ‖ 3 *τὸ δὲ αὐχένα* Ald ‖ 5 *προσλαβεῖν δὲ τοῦτο* Ald ‖ 6 *τῶν* om Ald ‖ 9 *ὄφιος* AAld | *τὰ* om A ‖ 10 *τῶν* (pro *καὶ*) Ald ‖ 14 *πλέον* AAld ‖ 15 *οὖν* pro *δὲ* Ald ‖ 16 *οὖν ἔτι π. εἴη* Ald | *ὁ Βοώτης* om Ald ‖ 17 *Κ. ἤδη ἀρξαμένου ἀνατέλλειν ἀνατείλαντος δὲ τὸ πλ.* Ald | *πλεῖον* AAld | *δεδυκός* AAld ‖ 18 *γὰρ* pro *δὲ* AAld | *δέ ἐστι τὸ* AAld | *γῆν* AAld | *ἐπειδὴ* AAld | *φασὶν* AAld ‖ 22 *παρ. ἤδη* AAld ‖ 23, 4 *δ' ἔτι ὑπολέλειπται* AAld ‖ 24 *ὑπὲρ γῆς* om Ald ‖ 26, 7 *ἀνατείλαντος* Ald ‖ 27 *γῆν* AAld ‖ 29 *ὁμοῦ κατιόντων τὸν Βοώτην ὑποδέχεται* Ald

πίου καὶ Τοξότου, καὶ ὅτε ὁ Αἰγόκερως ἔρχεται ἐπὶ δύσιν τελείως καὶ ὁλοσχερῶς δύεται. καὶ οὕτω δ' ζωιδίων ἐπέχει χρόνον ἐν τῶι δύεσθαι. ἐπειδὴ τοίνυν, ἕως οὗ ⟨ἂν⟩ ἔλθηι ὁ Αἰγόκερως εἰς δύσιν, καθ' ὃν καὶ τελείως ὁ Βοώτης δύεται, λοιπὸν Καρκίνου κατὰ διάμετρον γίνεται ἀνατολή, διὰ τοῦτό φησιν, ὅτι τὸ τηνικαῦτα 'ἡμάτιος' ὅλος φαίνεται, ἐπειδὴ ἐν τέτρασι μοίραις δέχεται αὐτὸν ὁ ὠκεανός. διηνύσθησαν λοιπὸν Καρκίνου ἀνιόντος.

Cat (Cosmas in Gregorium | A Mai, Spic Rom II p. 148. cf Hyg II 4 p. 34 sq. Anal Eratosth p. 7])

Βοώτην καὶ 'Αρκτοφύλακά φησιν, οὗ ἐν τῶι μέσωι τῶν σκελῶν ἀνατέλλει 'Αρκτοῦρος (94), *τὸν τῆς Παρθένου . . .*

582. *ὃ δ', ἐπὴν φάεος: ὁ δὲ Βοώτης, ἐπὰν τοῦ φωτὸς καὶ τοῦ φαίνεσθαι κορεσθῆι ὑπέργειος ὤν. καλῶς εἶπε 'κορεσθῆι', ἐπειδὴ ὑπέργειος φαινόμενος πολὺν χρόνον ἀναλίσκει, τῆς μὲν ἡμέρας ὥρας ς', τῆς δὲ νυκτὸς πάσας τὰς ιβ'. διὸ χαριέντως εἶπεν ἐπὴν — κορέσηται, ὅτι τοσοῦτον χρόνον ἀναλίσκει φαινόμενος· ἀνατέλλει γὰρ τῆι Παρθένωι περὶ ὥραν ς' ἡμερινήν, ἣ⟨ν⟩ καθ' ὑπόθεσιν ἐν Καρκίνωι λάβωμεν τὸν ἥλιον· Καρκίνου ⟨γὰρ⟩ ὧραι δύο, Λέοντος ὧραι β', Παρθένου β', εἶθ' οὕτως ἀνέτειλεν ὥρας ς'. εἰ τοίνυν τὰς μὲν τῆς ἡμέρας λοιπὰς β' ὥρας ἐν τῶι ὑπεργείωι καὶ τὰς τῆς νυκτὸς ιβ', ἕως ἂν εἰς τελείαν δύσιν ἔλθηι (ἕως γὰρ ἂν οἱ Δίδυμοι ἔλθωσι, φαίνεται, ἐν δὲ τοῖς Διδύμοις τὸ τῆς νυκτὸς συμπέρασμα) — ἐπεὶ οὖν ὅλας ιη' ὥρας ἔμεινε φαινόμενος καὶ ὑπέργειος ὤν, διὰ τοῦτο εἶπεν 'ἐπειδὰν τοῦ φωτὸς κορεσθῆι, λοιπὸν πάλιν μέλλοντος Καρκίνου ἀνατέλλειν ⟨ἐν⟩ τῆι δύσει ⟨τὸ⟩ πλέον ἔχει τοῦ σώματος'* (582, 3).

583. *βουλυτῶι ἐπέχει: τουτέστιν· ὅταν ὅλος ἀναχωρήσηι*

1, 2 *Αἰγ. δύνει ἐπὶ δύσιν καὶ αὐτὸς τελείως* Ald ‖ 2 *οὕτω* Ald: *οὗτος* AM ‖ 3, 4 *τοῦ Αἰγοκέρωτος ἐλθόντος εἰς* Ald ‖ 4 post *δύσιν* Ald *ὁ Β. τελείως δ. ὁ δὲ Καρκ. τότε κ. δ. γίνεται τοῦ Αἰγοκέρωτος* ‖ 5 *τοῦ* post *Καρκ.* A ‖ 6 *ἡ. ὀλίγον* AAld | *αἴρεται* Ald ‖ 7 ? | *δὲ* post *διην.* Ald: om AM ‖ 9, 10 om Ald ‖ 10 *ἀρκτοῦρον δὲ τ.* AM | signavi lacunam, suppleas ⟨*πατέρα, ὃν Ἰκάριον λέγουσιν ἔνιοι* —⟩ vel simile ‖ 11 *ἐπειδὰν* Ald ‖ 12 *κ. ὑπόγειος* A | post *ὤν* Ald *πρὸς δύσιν βαδίζει* | *δὲ* post *καλῶς* Ald ‖ 14 *πάσης* Ald ‖ 16, 7 *ς' ὥραν* A ‖ 17 supplevi; *εἰ* Ald ‖ 18 supplevi ex Ald: om AM | *δύο γὰρ ὧραι Κ.* Ald | *ὧραι* om Ald ‖ 18, 9 *ὥστε περὶ ἕκτην ὥραν ἀνατέλλει. ἐπεὶ τοίνυν* Ald ‖ 18 *εἶτα* A ‖ 19 *ἀνατέλλει* A | *τάς τε* Ald ‖ 19, 20 *λ. ἓξ ὥρας* AAld ‖ 20 post *ὑπέργ.* Ald *ἐστι* | *δώδεκα* Ald | *ἂν* Ald: om AM ‖ 21 *δύσιν δύνει* M | *ἂν* Ald: om AM | *ἀνέλθωσι* Ald ‖ 23 *μένει* Ald | *ἐστὶ* pro *ὤν* Ald ‖ 25 cf p. 455, 10 ‖ 27 *ὅτε — ἀναχωρήσει* A | *ὅλος* om Ald

τοῦ ὑπὲρ γῆν μέρους καὶ πανδυσίαν ποιήσηι, προσλαμβάνει τῶι μεσονυκτίωι (τουτέστι ταῖς ἓξ ὥραις τῆς νυκτός) ἄλλας ὥρας β′, ὥστε ἐν ὀκτὼ ὅλαις ὥραις γίνεσθαι αὐτοῦ τὴν παντελῆ κατάδυσιν. διὸ εἶπε κεῖναί τοι — νύκτες ἑπομβρίοντι λέγονται (585), ἐπεὶ μακροτάτην ποιεῖται τὴν κατάδυσιν. βουλυτὸν (583) δὲ λέγει τὴν ἑσπέραν, καθ' ὃν καιρὸν λύονται οἱ βόες. ἐδίδαξεν οὖν ἡμᾶς, ὅτι ἓξ ὥρας ποιεῖται τῆς ἡμέρας, τῆς δὲ νυκτὸς ιβ′ (τοῦτο οὖν ἐστι τὸ δίχα εἶναι τὴν νύκτα, ⟨τὸ⟩ διπλοῦν ἀνύειν τοῦ καιροῦ) διπλάσιον τῆς νυκτὸς πορευόμενος. φησὶν οὖν· ἐπειδὰν τοῦ φωτὸς κορεσθῆι, ἐν τῆι δύσει λοιπὸν τὸ πλεῖον ἔχει τοῦ σώματος, ἐπειδὴ ἄκρα αὐτοῦ ἡ κεφαλὴ ἀπολείπεται καὶ χεῖρες, τῆς νυκτὸς τὸ τηνικαῦτα διπλάσιον ἰούσης τῶν ἓξ ἡμερινῶν ὡρῶν.

νυκτὸς ἰούσης: τὸ μὲν ὀλίγον ὑπὲρ γῆν, τὸ δὲ πλέον ὑπὸ γῆν ἐν τῶι βουλυτῶι, τουτέστιν ἐν τῆι δύσει, μένει πλέον τοῦ ἡμίσεος τῆς νυκτός, εἰς δύο αὐτῆς τεμνομένης. § ὅτε ὁ Καρκίνος, φησίν, ἀνατέλλει, τότε ὁ Ἀρκτοφύλαξ τὸ μὲν ὀλίγον [ἔχων] ὑπὲρ γῆν, τὸ δὲ πλέον ὑπὸ γῆν ἔχει καὶ ἐμβραδύνει καὶ ἐγχρονίζει τῶι βουλυτῶι, οἱονεὶ τῆι δύσει, τουτέστιν ἐγχρονίζει δύνων πλέον τοῦ ἡμίσεος τῆς νυκτός, εἰς δύο αὐτῆς τεμνομένης, ὁπηνίκα τοῦ ἡλίου δύνοντος καὶ αὐτὸς δύηται.

ἑπομβρίοντι λέγονται: ὀψὲ δύνων ὁ Βοώτης διὰ τῶν δ′ μοιρῶν, τουτέστιν ἡ ὥρας, ἐπέχει αὐτόν. Ὅμηρος (Od V 272) ὀψὲ δύοντα Βοώτην ἀντὶ τοῦ βραδέως δυόμενον. αὗται δὲ μάλιστα αἱ περιφοραὶ ὀψὲ δύοντος ἂν κληθείησαν οὐ μόνον διὰ

---

1 ποιήσει A ‖ 2 ς′ A ‖ 3 ὅλαις om M ‖ 4 κ. καὶ ν. Ald ‖ 6 ἣν ἑσπέραν A, ἣν omisso καιρὸν Ald | οἱ βόες λύονται AAld ‖ 6—10 post λύονται Ald ἢ τὸ δίχα νυκτὸς ἰούσης τοῦτό φησιν τὸ διπλασίω τῆς νυκτὸς καιρὸν ἀνύειν πορευόμενον τοῦ τῆς ἡμέρας. καὶ ἀπὸ τούτου ἐδίδαξεν ἡμᾶς, ὅτι ἓξ ὥρας ποιεῖται τῆς ἡμέρας, τῆς δὲ νυκτὸς ιβ′. φησὶν οὖν Ald ‖ 8 διχὰ AM ‖ 9 τὸν καιρὸν A | διπλασι$^{\omega'}$ A, -ίων M ‖ 10, 1 ἔχει τὸ πλεῖον AAld ‖ 12 διπλάσι$^{\omega}$ον A, -ίω M, ιον Ald ‖ 14—17 Ald sine lemmate ἢ ὅτε τὸ πλέον τοῦ ἡμίσεος τῆς νυκτὸς παρέλθηι εἰς δύο αὐτῆς τεμνομένης τοῦ Καρκίνου ἀνατέλλοντος τότε ‖ 15 ὑπὸ γῆν om M ‖ 16 ὁ om M ‖ 17, 8 ὑπὲρ γῆν ὀλίγον Ald ‖ 18 ἔχων post ὑπὲρ γῆν A, om Ald ‖ 18—20 τὸ δὲ ἐν τῶι βουλυτῶι, τουτέστιν ἐν τῆι δύσει, καὶ ὑπὸ γῆν πλέον ἔχει, ἐμβραδύνει δὲ καὶ ἐγχρονίζει τῶι βουλυτῶι, ἤγουν τῆι δύσει, δύνων Ald ‖ 21 δύνηται Ald ‖ 22 ὀψὲ Ald | δ. ἐστιν Ald ‖ 22, 3 τῶν διμοίρων ὡρῶν A, διὰ τῶν ὡρῶν τῶν τεσσάρων μοιρῶν τουτέστιν Ald ‖ 23 ἐπέχει Ald: -ων A, -ειν M | pro αὐτὸν Ald ὃν καὶ | καὶ Ὅ. A ‖ 24 δύοντι A | φησὶν ἀντὶ τοῦ βρ. Ald ‖ 25 δύνοντος A

τὸ τὰς ἐν τῶι καταφέρεσθαι ὀκιὼ ὥρας ἐπέχειν, ἀλλ᾽ ὅτι καὶ ιη ὧραι γεγόνασιν, ἕως οὗ ⟨ἂν⟩ παντελῶς δύηται. αὗται οὖν αἱ νύκτες μάλιστα ἑπόψὲ δύοντι ἂν κληθείησαν.

586. ὡς οἳ μὲν δύνουσιν: τοῦτον τὸν τρόπον οἱ προειρημένοι δύνουσιν, ὁ Στέφανος ὁ Ἐν γούνασι καὶ ὅσα προεῖπε καὶ ἐν τῆι ὀίσει τὰ ιβ′ σημεῖα. λοιπὸν δὲ καὶ ἀπὸ ἀνατολῆς. ἀνατέλλει δὲ ὁ Ὠρίων λαμπρὸς ὢν κατὰ τὴν ζώνην καὶ τοὺς ὤμους, ἔχων δὲ κἀν τῶι ξίφει λαμπροὺς ἀστέρας γ′ συναναφέρει καὶ Ποταμὸν κέραος — ἄλλου (589), τουτέστιν ἀνατολικοῦ μέρους.

ὃδ᾽ ἀντίος: τὰ μὲν οὖν προειρημένα ζώιδια ἀνατέλλοντι τῶι Καρκίνωι ἀντικαταδύνει, ὁ δὲ Ὠρίων συνανατέλλει αὐτοῖς, οὐκ ἀπρεπής, ἀλλὰ καὶ τὴν ζώνην εὐδηλοτάτην ἔχων καὶ τοὺς ὤμους καὶ τὸ ξίφος. ἀνατέλλειν δὲ τὸν Ἠριδανὸν ποταμὸν καὶ ὅλον θεωρεῖσθαι ὑπὲρ τὸν ὁρίζοντά ⟨φησιν 589⟩.

590. ἐρχομένωι δὲ Λέοντι —: ἀνατέλλοντος δὲ τοῦ Λέοντος ὅσα μὲν ἀντικατέδυνε τῶι Καρκίνωι παντελῆ ποιεῖται τὴν κατάδυσιν, δύνει δὲ καὶ ὁ Ἀετὸς ὅλος, τοῦ δὲ Ἐν γούνασι τὰ ἄλλα μέρη δέδυκε, τὸ δὲ γόνυ τὸ λαιὸν καὶ ἡ κνήμη καὶ ὁ ποὺς ἀκμὴν εἰσιν ὑπὲρ γῆν.

594. ἀντέλλει δ᾽ Ὕδρης κεφαλή: συνανατέλλει δὲ τῶι Λέοντι ἡ κεφαλὴ τῆς Ὕδρας ὁ Λαγωὸς ὁ Προκύων καὶ τοῦ Μεγάλου Κυνὸς οἱ ἐμπρόσθιοι πόδες. τὸ δὲ χαροπός ἤτοι λαμπρός. καὶ ἐν τῆι ἀνατολῆι τοῦ Καρκίνου ἡ κεφαλὴ τοῦ Λαγωοῦ ἄκρως ἦν ἀνατείλασα. ἀλλ᾽ ἐπειδὴ οὐ δυνατὸν ἦν ἄκρας μόνης κεφαλῆς μνημονεῦσαι οὕτω σμικροῦ ἄστρου, ὅτε σὺν τῶι Λέοντι πᾶσα ἀνῆλθεν, εἶπε καὶ ἐμνημόνευσεν.

596—606. οὐ μέν θην: περὶ τῆς τοῦ Λέοντος φάσεως ἱκανῶς εἰπὼν λοιπὸν καὶ περὶ τῆς ἀνατολῆς τῆς Παρθένου τεκμήρια

---

1 τὰς om Ald | κάτω φ. Ald | κατ. ἡ′ A | ιή′ M: ἡ′ AAld ‖ 2 ἕως ἂν δ. π. Ald | supplevi ‖ 5—7 post προεῖπεν Ald εἰπὼν δὲ περὶ τῶν ἀπὸ δύσεως δώδεκα ζωιδίων σημείων νῦν καὶ περὶ τῶν ἀπ᾽ ἀνατολῆς λέγει. ἀνατέλλει οὖν, φησίν, ὁ Ὠρ. ‖ 6 ιβ′ ζώδια ἢ σημ. A, cf Ald ‖ 8 καὶ τῶ A, καὶ ἐν τῶι Ald | καὶ pro γ′ Ald ‖ 9 καὶ om Ald | τοῦ ἀν. Ald ‖ 10 μέρους om Ald ‖ 12 αὐτίκα δύνει Ald | αὐτῶι Ald ‖ 14 ἠριδανὸν ut solet M, cf ed ad v. 360 ‖ 14, 5 ἀνατέλλει δὲ σὺν τῶι Ἠριδανῶι ποταμῶι καὶ ὅλος θεωρεῖται ὑ. τ. ὁρίζοντα Ald ‖ 15 supplevi ‖ 18 καὶ om M | ὅλος om M | ἐν γόνασι M ‖ 19 τὰ μὲν ἄλλα Ald | τὰ ὅλα μ. A ‖ 20 ὑπὸ AAld, cf ed ‖ 26 οὕτως μ. A, οὕτω μ. Ald ‖ 27 πᾶσαν Ald ‖ 28 φαύσεως AAld ‖ 29 εἶπεν M | τῆς prius om AAld

δίδωσιν. ἡ δὲ Παρθένος ἀνατέλλουσα οὐκ ὀλίγους ἀστέρας ὑπὸ τὸν ὁρίζοντα βάλλει, ἀλλὰ πολλοὺς εἰς δύσιν κατάγει, καὶ λέγει πολους· ἡ γὰρ Ἀρκαδικὴ τοῦ Ἑρμοῦ Λύρα καὶ ὁ Δελφὶς καὶ ὁ ὑπὸ τὸν Ἀετὸν Ὀιστός (οὗτοι γὰρ ὑπὸ δυσμὰς φέρονται), σὺν τούτοις καὶ τοῦ Κύκνου τὰ πρῶτα πτερὰ περὶ ἄκρους τοὺς ὤμους ἄχρι καὶ τῆς οὐρᾶς δύνει καὶ τοῦ Ἠριδανοῦ τὰ ἄκρα ἄρχεται σκιάζεσθαι· λοιπὸν γὰρ καὶ ἡ ἀρχὴ τοῦ Ἠριδανοῦ πρὸς δυσμὰς φέρεται καὶ παρήροι οἱ ἐν τοῖς ἄκροις ὄντες, τοῦ δὲ Ἵππου ἡ κεφαλὴ καὶ ὁ αὐχὴν δύνει, ἀνατέλλει δὲ ἡ Ὕδρα ἐπὶ πλέον ἕως τοῦ Κρατῆρος. ἀναφέρονται δὲ οἱ ὀπίσθιοι πόδες τοῦ Κυνὸς καὶ ἡ πρύμνα τῆς Ἀργοῦς. ἐμφαντικῶς δὲ εἶπεν ἕλκων ἐξόπισθεν πρύμναν (604). ἡ δὲ ἡμίτομος οὖσα καὶ μέχρι τοῦ ἱστοῦ κατηστερισμένη ἐμφαίνεται (605), ὅταν ἀνατέλλῃ ὅλη ἡ Παρθένος.

596—609. ὑπὸ νείατα βάλλει: ἱκανῶς περὶ τῶν τῆς ἀνατολῆς τῆς Παρθένου τεκμηρίων ἐπεξελθὼν ἐπὶ Χηλὰς ἔρχεται καί φησιν· ἐπερχόμεναι δὲ αἱ Χηλαὶ καὶ μέλλουσαι ἀνατέλλειν, εἰ καὶ λεπτὰ φαίνουσι καί εἰσιν ἀμαυραὶ ⟨καὶ⟩ ἄγνωστοι καὶ ἀκατάληπτοι, παρέρχονται οὐδαμῶς, ἐπειδὴ μετ' αὐτῶν τεκμήριον ὁ Βοώτης ἅπας ἀθρόως ἀνατέλλει καταλαμπόμενος τῶι Ἀρκτούρωι ἀστέρι, ὅς ἐστι μέσος αὐτοῦ τῶν μερῶν περὶ τὸ ἐν τοῖς μηροῖς ζῶμα.

603. φθάμενος δὲ Κύων: ὁ δὲ Σείριος τοὺς ὀπισθίους πόδας ἀναιρεῖται φθασάντων τῶν ἐμπροσθίων. διὸ εἶπε φθάμενος, ὅτι τοὺς ὀπισθίους φθάνει πόδας ἀνατέλλων.

605. ἣ δὲ θέει γαίης: λείπει ἡ ὑπέρ πρόθεσις, ἵν' ᾖι 'ὑπὲρ γαίης'. ἡ δὲ Ἀργὼ φαίνεται ὑπέργειος κατὰ τὸν ἱστὸν διχαζομένη· ὁ γὰρ ἱστὸς ἐπ' ἄκρου ἐστὶ διχοτομήματος, ἐπειδὴ ἡμίτομός ἐστιν· ἐν γὰρ τῶι μέσωι τῆς νηός ἐστιν. διὸ καὶ ὁ

---

5 τούτω M ‖ 8, 9 φ. παρηορίας γὰρ τὰς ἄκρας φησίν. καὶ τοῦ Ἵππου δὲ ἡ κεφαλὴ δύνει, ἀν. Ald | ἡ ante κεφ. om A ‖ 11, 2 ἐξόπισθε AM ‖ 12 τοῦ ὄϊστοῦ AMAld: correxi ex Arato ‖ 13 ἐμφέρεται M, φαίνεται A Ald ‖ 16 τῆς ante Π. om Ald | ὑπεξελθὼν A | τὰς Χ. Ald ‖ 18 ἀμ. ἀλλ' οὖν οὐδαμῶς ἄγν. Ald ‖ 19 οὐδαμῶς hic om Ald ‖ 20 ἀθρόως om Ald, cf p. 458, 8 | καὶ post ἀνατ. A ‖ 20, 1 ἱπὸ τοῦ -ου ὅς Ald ‖ 21 ἐ. μέρος Ald | post αὐτοῦ Ald κεῖται γὰρ παρὰ τὸ ἐν τοῖς μηροῖς ζῶμα ‖ 24 ἀνατειλάντων Ald | διὰ τοῦτο οὖν φησι φθ. Ald ‖ 25 πόδας φθάνει AAld | ἀνατέλλει M ‖ 27 ἡ γὰρ AAld | φέρεται AAld | ὄϊστὸν A ‖ 28 τοῦ διχ. Ald | ἐπεὶ AAld ‖ 29 post ἐστιν Ald ὁ δὲ ἐν τῶι μ.

τόπος, ἔνθα κεῖται, μεσόδμη καλεῖται. ὁ δὲ λόγος· ἡ δὲ Ἀργὼ πᾶσα ὑπέργειος φέρεται, ἥτις κατὰ τὸν ἱστὸν ἔχει διχοτόμημα, ὁπηνίκα πᾶσα ἡ Παρθένος ἀνατείλῃ. § *περαιόθεν — δὲ ἐκ τοῦ ὑπὸ γῆν μέρους ἀνέλθῃ εἰς ἀνατολήν.*

607—9. *οὐδ' ἂν ἐπερχόμεναι: ἀλλ' οὐδὲ αἱ Χηλαὶ ἐπερχόμεναι, τουτέστι ἀνατέλλουσαι, ἀσημείωτοί εἰσιν· συνανατέλλει γὰρ αὐταῖς ὁ Βοώτης.* § *ἀθρόος* δὲ (609) *εἶπε τὴν ἰδιότητα τῆς ἀνατολῆς δηλῶν, ὅτι τὰ ἐν πολλῷ χρόνῳ δύνοντα ἀθρόως ἀνατέλλει. ἐκ δὲ τῶν ἐναντίων τὰ ταχέως δύνοντα πλείονι χρόνῳ τὰς ἀνατολὰς ποιεῖται, ὥσπερ ὁ Ὠρίων.* § *ἡ δὲ Ἀργὼ μετέωρος ἤδη πᾶσα· μέρη γὰρ αὐτῆς συνανατέλλει Λέοντι, ὥστε ὁμοῦ ταῖς Χηλαῖς τὴν πᾶσαν ἀνατεταλκέναι.* § *γραπτέον δὲ οὐ μάλα πᾶσα* (610), *ἐπειδὴ οὐχ ὅλη κατηστέρισται, καθὼς εἴπομεν* (p. 410. 457), *ἀλλ' ἡμίτομος.* § *τὸ δὲ βεβοημένος —* (609) *ἀντὶ τοῦ καταλαμβανόμενος τῶι Ἀρκτούρωι.*

607—612. *Χηλαὶ καὶ λεπτὰ φάουσαι —: ἐπειδὴ εἶπεν "ὅτε ἄνεισιν ὁ Λέων, ἡ κεφαλὴ τῆς Ὕδρας φαίνεται, ὅτε ἡ Παρθένος, ἀνατέλλει μέχρι τοῦ Κρατῆρος, ὅτε αἱ Χηλαί, λοιπὸν ἅπαν τὸ σῶμα πλὴν μόνης τῆς ἄκρας οὐρᾶς', ἐπάγει εἰκότως, ὅτι πολλή τίς ἐστιν ἐν οὐρανῶι κειμένη* (cf 594. 602).

ἄλλως. ἀντὶ τοῦ καὶ ἡ Ὕδρα φαίνεται πᾶσα. οἳ δὲ οὕτως ἤκουσαν ⟨τὸ⟩ Ἀργὼ δ' οὐ μάλα πᾶσα μετήορος, ὅτι οὐ τὸ τηνικαῦτα ἡ Ἀργὼ ἐστι μετήορος, ἀλλὰ καὶ πρὶν τὴν πᾶσαν ἀνελθεῖν Παρθένον. ὅτε μέντοι ἡ πᾶσα ἀνέρχεται, τότε καὶ ἡ Ὕδρα ὁλοσχερῶς φαίνεται.

615. *αἰεὶ γνὺξ —: τοῦ δὲ διὰ παντὸς γνὺξ πεπτηῶτος (λέγει δὲ τοῦ Ἐν γούνασιν) αἱ Χηλαὶ ἀνιοῦσαι μόνην τὴν δεξιὰν κνήμην μέχρι αὐτῆς τῆς ἐπιγουνίδος ἄγουσιν.*

αἰεὶ δὲ Λύρηι: τῶι ἀεὶ ἐν γοίνασιν ὄντι, πλησίον τῆς

---

2 *τὸν* om Ald ‖ 3, 4 *δὲ ἤγουν ἐκ τοῦ* Ald ‖ 4 *εἰς ἀνατολήν* om M ‖ 6 *ἀσημειώτατοι* A, *ἀσημειότατοι* Ald ‖ 9 *τοῦ ἐναντίου* Ald | *ταχέα* A ‖ 10 *χρ. ἀνατέλλει ὥ.* Ald | *ὁ* om M ‖ 11 *μετήορος* A, *μετήωρος* Ald | *μέρη* Ald: *μέρει* AM | *τῶι Λ.* Ald | *ὥστε* AAld: *ὥσπερ* M ‖ 12 *τὴν* om Ald ‖ 12, 3 post *ἀνατ.* Ald *τὸ δὲ οὐ μάλα πᾶσα φησίν, ἐπειδὴ* ‖ 15 *ἢ καταλαμπόμενος* ante *τῶι* Ald ‖ 16 *φαίνουσαι* A, *φάρουσαι* Ald ‖ 20 *ἐστιν* om AAld ‖ 21 *ἄλλως — πᾶσα* om et scholia coniunxit Ald | *πᾶσα φαίνεται* A ‖ 22 supplevi ex Ald | *οἳ δὲ τὸ Ἀργὼ δ' οὐ μάλα πᾶσα οὕτως ἤκουσαν, ὅτι* Ald | *πᾶσα μάλα* A ‖ 24, 5 *τότε κἀκείνη καὶ ἡ* Ald ‖ 27 *οὕτως* ante *αἱ* A: om MAld | *τὴν* om M | *δεξιτερὴν* Ald ‖ 28 *αὐτῆς* om AAld ‖ 29—459, 2 *τὸ δὲ αἰεὶ Λύρη πρὸς τὴν διδ. ἐστὶ τῆς θέσεως* Ald ‖ 29 *τῶ* M: *τὸ* A

Λύρας ὀκλάζοντι (67), *τούτωι πρὸς τὴν διδασκαλίαν οὕτω τῆς θέσεως* (*πλησίον γάρ ἐστι τῆς Λύρας*) ⟨*ἐχρήσατο*⟩. *εἴγε ἐν τοῖς πρώτοις εἶπε γούνατί οἱ σκαιῶι πελάει* (272).

617. *ἀμφότερον δύνοντα*: *δύνειν καὶ πάλιν φησὶ τὸν Ἐν γούνασι καὶ διὰ τῆς αὐτῆς νυκτὸς ἀνιέναι, ἐπειδὴ τῶν ἀμφιφανῶν ἄστρων ἐστίν. ἀμφιφανῆ δὲ τὰ ἐπὶ δεξιὰ τοῦ θερινοῦ τροπικοῦ, ὅσα ἀρχομένης νυκτὸς ἀνατέλλοντα φαίνεται, ὥσπερ καὶ ὁ Ἀρκτοῦρος.*

618. *πολλάκις αὐτονυχεί*: *κατὰ τὴν αὐτὴν νύκτα. ὁ δὲ Ἐν γούνασι τῶν ἀμφιφανῶν ἄστρων ἐστίν, ὃν συμβέβηκε διὰ τῆς αὐτῆς νυκτὸς θεωρεῖσθαι καὶ ἀνατέλλοντα καὶ δύνοντα· μεταξὺ γὰρ τοῦ ἀρκτικοῦ κύκλου κατηστέρισται, ὃν ἔοικεν ἀειφανῆ τυγχάνειν, καὶ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ, ὃν παρέδωκε πέντε μέρη τῶν ἡ ὑπέργεια ἔχειν καὶ γ' ὑπόγεια* (498 sq.). *ὅταν οὖν ὁ ἥλιος τὸν χειμερινὸν τροπικὸν διοδεύηι ἔχοντος αὐτοῦ τῶν ἡ μερῶν τὰ ε' μέρη ὑπόγεια, τὰ δὲ γ' ὑπέργεια, τῆς νυκτὸς κατ' ἐκεῖνον τὸν καιρὸν* ⟨*ι'*⟩ *καὶ ε' ὡρῶν γινομένης, ὁ Ἐν γούνασι μεταξὺ τοῦ θερινοῦ καὶ τοῦ ἀρκτικοῦ κύκλου τεταγμένος καὶ περιενηνεγμένος ἤδη διὰ τῆς ἡμέρας τὸ ὑπέργειον μέρος ποιεῖται τὴν δύσιν ἀπὸ πρώτης ἡμέρας ἀναγκαῖον καὶ περὶ ὥραν ἐνάτην τῆς ἡμέρας ἀνατέλλων εὑρίσκεται σὺν ταῖς Χηλαῖς καὶ τῶι Τοξότηι* ⟨*καὶ*⟩ *τὸ ἥμισυ τοῦ Στεφάνου συνανατέλλει καὶ τοῦ Κενταύρου* ⟨*τὰ*⟩ *πρὸς τὴν οὐράν* (619—626).

618. *τοῦ μὲν ἄρ' οἴη*: *σὺν ταῖς Χηλαῖς, φησί, τοῦ Ἐν γούνασιν ἡ κνήμη φαίνεται μέλλοντος ἀνιέναι τοῦ Ζυγοῦ. ἀνέλαβε δὲ τὸ προειρημένον* (612).

620. *αὐτὸς δ' ἐς κεφαλήν*: *ἡ μὲν κνήμη, φησίν, αὐτοῦ φαίνεται μελλουσῶν ἀνιέναι τῶν Χηλῶν, αὐτὸς δὲ ἐπὶ κεφαλὴν*

---

1 *τοῦτο* A | *οὕτω* scripsi: *οὐ τὸ* A, *οὐ τῶ* M, om Ald ‖ 2 supplevi | post *Λ.* Ald *καὶ ἔοικεν ὀκλάζοντι πλησίον αὐτῆς καὶ ἐν τοῖς πρ. δὲ εἶπεν* ‖ 3 de *πρώτοις* cf ad v. 796 ‖ 4 *καὶ πάλιν* om Ald ‖ 5 *καὶ* om Ald ‖ 6 *ἀστέρων* libri | *ὃν συμβέβηκε διὰ τῆς αὐτῆς νυκτὸς θεωρεῖσθαι καὶ ἀνατέλλοντα καὶ δύνοντα* post *ἐστίν* iteravit (cf l. 10) AAld | *γὰρ* pro *δὲ* AAld | *ἐπιδέξια* Ald ‖ 9 *τὸ δὲ πολλάκις αὐτ. ἀντὶ τοῦ κατὰ* Ald ‖ 9—11 (*ὁ — δύνοντα*) om Ald, cf ad l. 6 ‖ 10 *ἐν γόνασι* M | *ἀστέρων* A ‖ 11 *καὶ* post *θ.* om M ‖ 12 *κατεστήρικται* M | *ἀμφιφανῆ* A ‖ 15 *ὀκτὼ* A ‖ 16 *ὑπέργεια — ὑπόγεια* A ‖ 17 *ὡρῶν γινομένης* Ald: *ὥραις γινόμενος* (*γενόμενος* A) AM ‖ 18 *καὶ* post *τ.* om M ‖ 19 *ὑπόγειον* Bekker ‖ 20 *πρώτης ὥρας τῆς ἡμέρας καὶ ἀναγκαίως* Bekker | *θ'* A, *ἐννάτην* M ‖ 22, 3 *μὲν* (om A) *ταύρου* libri ‖ 24 *ἄρ* M ‖ 25 *μελλουσῶν ἀ. τῶν χηλῶν* A ‖ 27, 8 *ἡ μὲν — κεφαλὴν* om A

κείμενος ἐν τῇι ἀνατολῇι ἐκδέχεται τὰς τοῦ Σκορπίου ἀνατολας καὶ τοῦ Τοξότου· οὗτοι γὰρ τέλεον αὐτὸν ἄγουσιν.

ἄλλως. ταῖς μὲν Χηλαῖς ἡ κνήμη αὐτοῦ συναναφαίνεται, τὰ δὲ μέσα τῶι Σκορπίωι, ἡ δὲ ἀριστερὰ χεὶρ ἅμα τῇι κεφαλῇι τῶι Τοξότηι, ὥστε τρισὶ ζωιδίοις αὐτὸν συναναφέρεσθαι.

627. τῆμος ἀποιχομένην κεφαλήν —: ἐν τῶι ἀνιέναι μέλλειν τὴν Παρθένον ἡ κεφαλὴ τοῦ Ἵππου εἰς δυσμὰς κατενεχθεῖσα μόνη. νῦν μελλουσῶν τῶν Χηλῶν ἀνιέναι (626) σὺν ἡλίωι ἔστιν ἰδεῖν τὸν πάντα Ἵππον δύνοντα. διό φησι 'τὸ τηνικαῦτα μετὰ τὴν παρελθοῦσαν ἑαυτοῦ κεφαλὴν καὶ δύσασαν ὁ Ἵππος ὁλοσχερῶς ὅλος δύεται'.

628. καὶ προτέρου Ὄρνιθος ἐφέλκεται ἔσχατος οὐρή: ἢ προτέρου λέγει κατὰ τὴν θέσιν (τοῦ γὰρ Ἵππου ἐπίπροσθέν ἐστι κατὰ τὴν θέσιν) ἢ πρότερον τὸν Κύκνον λέγει ὡς πρὸς ἀντιδιαίρεσιν καὶ πρὸς σύγκρισιν τοῦ Ἀετοῦ· βορειότερος γὰρ αὐτοῦ ὁ Κύκνος, τὰ δὲ βορειότερα καὶ ἀνώτερα, ἐπεὶ προανατέλλει τῶν νοτίων. ἄνω δὲ τὰ βόρεια, ὅτι μετεωρότερα, ὡς πρὸς τὸν ὁρίζοντα.

629—633. δύνει δ' Ἀνδρομέδης κεφαλή: δύνει δὲ ἡ τῆς Ἀνδρομέδης κεφαλή· τῶν δὲ νοτίων τὸ Κῆτος ὥσπερ ἐπ' αὐτὴν καταφέρεται, ὁ δὲ Κηφεὺς ὥσπερ ἀποσοβῶν τὸ Κῆτος φαίνεται. τοῦ μὲν οὖν Κήτους τὸ μέχρι τῆς λοφιᾶς δύνει, τοῦ δὲ Κηφέως ἡ κεφαλή.

629. τὸ δέ οἱ μέγα δεῖμα: ἐπάγει τῇι Ἀνδρομέδαι τὸ Κῆτος ὁ νότος· συνδυόμενον γὰρ δοκεῖ ὥσπερ ἐπ' αὐτὴν σπεύδειν. § τὸ δὲ ἠερόεις (630) ἀχλυώδης καὶ χειμερινὸς καὶ σκοτεινός· ἐν γὰρ τῶι χειμῶνι μᾶλλον πνεῖ.

630, 1. ἀντία δ' αὐτός: ποιητικεύεται· ἐκτείνει γὰρ τὴν χεῖρα, ὥσπερ παρακελευόμενος τῇι παιδὶ ἐκκλίνειν τὸ Κῆτος, ἐπειδὴ σὺν αὐτῇι κατῆλθεν.

---

2 τόξου A ‖ 3 αὐτῆς M ‖ 5 τῶι om M | ὥστε Bekker: ὥσπερ, cf p. 458, 11 | συναναφαίνεσθαι A ‖ 8, 9 σὺν ἡλίωι post Ἵππον iterat AAld: om M ‖ 10 ἑαυτοῦ AAld: -ῶι M | δύσαν A ‖ 11 ὁλοσχερῶς om A, ante ὁ Ald ‖ 12 schol praecedenti adhaeret nullo addito distinctionis signo AM ‖ 12—15 τὸ δὲ προτέρου — οὐρή εἶπεν ἢ διὰ τὴν θέσιν — θέσιν ἢ πρὸς ἀντιδιαίρεσιν καὶ σύγκρισιν Ald ‖ 14 μετὰ libri ‖ 15 ὡς om M ‖ 19 κεφαλή om AAld ‖ 21 ἐπὶ αὐτῆι M ‖ 22 τὰ μ. A ‖ 24 ἀνδρομέδηι Ald ‖ 25 ὡς M ‖ 26 ὁ ἀχλ. M | καὶ σκοτεινός om M ‖ 27 χειμερινῶ A | πνεῖ μᾶλλον AAld ‖ 28, 9 π. καί φησιν ἐκτείνειν τὸν Κηφέα τ. χ. — παρακελευόμενον τῶι π. Ald

632. *καὶ τὸ μὲν ἐς λοφιήν*: καὶ τὸ μὲν Κῆτος μέχρι ὤμων καὶ στήθους δύεται, ὁ δὲ Κηφεὺς μόνῃ τῇι κεφαλῇι· τὰ γὰρ λοιπὰ αὐτοῦ ἄδυτα, ὅτι ἔνδον ἐστὶν ἐν τῶι βορείωι.

634—646. *καμπαὶ δ' ἂν Ποταμοῖο*: ἅμα τῶι Σκορπίωι ἀνατέλλοντι αἱ τοῦ Ποταμοῦ καμπαὶ δύνουσι καὶ ὁ Ὠρίων. ὃς κυνηγετῶν περὶ Χίον τὴν Ἄρτεμιν ἐθεάσατο καὶ τῶν πέπλων αὐτῆς ἐλάβετο. ἡ δὲ θυμωθεῖσα παραυτὰ ἐκ γῆς σκορπίον ἀνέδωκεν, ὑφ' οὗ ἐπλήγη ὁ Ὠρίων. καὶ νῦν οὖν ὡς διὰ φόβον ἀνατέλλοντος Σκορπίου ὁ Ὠρίων δύνει.

636. *ὃς καὶ ἐπερχόμενος*: ὅστις, ὁ Σκορπίος, ἀνατέλλων ἐκφοβεῖ καὶ εἰς δυσμὰς ἄγει τὸν Ὠρίωνα. εἶτα ἐπάγει βιωφελῶς τὴν ἱστορίαν δεικνύς, ὅτι δεῖ μὴ ἀσεβεῖν, ἐξ ὧν ὁ Ὠρίων πέπονθεν. ἀρχόμενος δὲ τῆς ἱστορίας ἐξευμενίζεται τὴν Ἄρτεμιν, ὅτι ἄρχεται λέγειν, ὡς ὑπ' ἀνθρώπου Ὠρίωνος ἐβιάζετο, καὶ τὴν αἰτίαν ἀφοσιοῦται, λέγων ὅτι τῶν παλαιοτέρων ἐστὶν ἡ φήμη καὶ οὐκ ἐμοῦ (637). καὶ σφόδρα ἀστείως αὐτὸ πεποίηκεν· βιωφελῆ γὰρ ἐκτιθέμενος τὴν ἱστορίαν, ἐξ ὧν προευμενίζεται, δείκνυσιν, ὅτι οὐδὲ λόγωι θεμιτὸν ταῦτα λέγειν, μὴ ὅτι γε καὶ πράττειν. ἔχει δὲ ὧδε ἡ ἱστορία ἀπ' ἀρχῆς· Οἰνοπίων, ὁ Διονύσου καὶ Ἀριάδνης παῖς, ἐν Χίωι τῆι νήσωι ὤικει ταύτης βασιλεύων. αὕτη ἡ Χίος εἶχε πλεῖστα ἑρπετά, ὡς καὶ διὰ τὸ πολύθηρον αὐτὴν εἶναι Ὀφιοῦσ⟨σ⟩αν κληθῆναι. πρὸς χάριν τοίνυν Οἰνοπίωνος ἦλθεν ἀπὸ Βοιωτίας ὁ Ὠρίων ἄριστος ὢν κυνηγός, ὅπως καθάρηι τὴν νῆσον. ἔχων δὲ σὺν αὐτῶι τὴν Ἄρτεμιν κυνηγοῦσαν ἀκόσμως ἐβιάζετο. ἣ δὲ κολώνην τῆς νήσου ἐποίησε διαρραγῆναι καὶ ἀναδοθῆναι τὸν σκορπίον, ὑφ' οὗ ὁ Ὠρίων πληγεὶς ἀπώλετο. καὶ κατηστερίσθη καὶ αὐτὸς καὶ ὁ σκορπίος. ὥσπερ δὲ ⟨ἐν γῆι⟩, καὶ ἐν οὐρανῶι δεδοικὼς αὐτὸν ὁ Ὠρίων ἀεὶ φεύγει, καὶ ὅτε ἐκεῖνος ἀνατέλλει, ὁ Ὠρίων δύνει, ὅτε δὲ δύνει ὁ Σκορπίος, ὁ Ὠρίων ἀνατέλλει. ὁ μὲν οὖν Νίκανδρος, τῆς τῶν θεῶν εὐσεβείας γλιχόμενος, βραχύν τινά φησιν (Ther 18) εἶναι τὸν σκορπίον δεικνύς, ὅτι θεῶν βουλήσει καὶ βραχέα ἰσχύει κατὰ μει-

---

3 δὲ pro γὰρ Ald ‖ 7 σκορπίον ἐκ τῆς γῆς AAld ‖ 8 ἐπλήγην A ‖ 10 ὁ om M ‖ 14 Ὠρίωνος om Ald ‖ 15 καὶ ἀφ. αὐτὴν λέγων Ald ‖ 16 ἐμή Ald ‖ 18 τὰ τοιαῦτα λ. Ald | μήτι δὲ καὶ A, μήτε δὲ καὶ Ald ‖ 19 ἀπ' ἀρχῆς Ald: ἀπαρχήν AM ‖ 19 sqq. ἱστορία in margine A ‖ 19 οἰνοποίων A ‖ 21 ἔχει Ald ‖ 23 οἰνοποίωνος A ‖ 24 αὐτῶι AMAld ‖ 24, 5 κυνηγετοῦσαν A Ald ‖ 26 ὁ Ὠρίων post οὗ AAld: om M ‖ 27 καὶ ante αὐτὸς om A ‖ 31 γινόμενος libri ‖ 32 καὶ ante θεῶν A | βραχέα M: μικρὸς ὤν AAld

ζόνων, οὗτος δέ, ὁ Ἄρατος, ⟨τῆς⟩ ἀστροθέσεως κατανοήσας τὸ μέγεθός φησιν, ὅτι καὶ ὅλον ὄρος ἀνέρρηξεν, ἵνα ἀναδοθῇι ὁ σκορπίος (642).

640. *θήρης ἀρνύμενος: περιποιούμενος ἀντικαταλλασσόμενος διὰ τοῦ φονεύειν τὰ ζῶια χάριν Οἰνοπίωνι. ἐὰν δὲ αἰνύμενος γράφηται, σημαίνει τὸ λαμβάνων. ὁ δὲ Ὠρίων κατὰ διάμετρον τῶι Σκορπίωι.*

641. *ἣ δέ οἱ ἐξ αὐτῆς ἐπετείνατο: γράφεται καὶ ἐπετείλατο. ὁ δὲ λόγος· ἡ δὲ Ἄρτεμις ἐξ αὐτῆς, τῆς Χίου, ἐπετείλατο ἀναδοθῆναι, τουτέστιν ἐποίησεν. θηρίον δὲ ἄλλο, ὡς πρὸς τὰ ὄντα ἐν τῆι Χίωι, ὧν καὶ φόνον εἰργάζετο ὁ Ὠρίων.* § *τὸ δὲ πολλὸν ἐόντα* (643): *ὅτι μέγας ἦν ὁ Ὠρίων, καὶ κατὰ τὸν Ὅμηρον ἔξεστί τινα μαθεῖν· λέγων γὰρ τὸ μέγεθος τῶν παίδων τῆς Ἰφιμεδείας τὸ μὲν μῆκος ἐννεόργυιον ἐπιφέρει ‘μετά γε κλυτὸν Ὠρίωνα’* (Od XI 310. 312).

644. *πλειότερος προφανείς: τὸν Σκορπίον φησὶ πλείονα αὐτοῦ καὶ μείζονα, στοχαζόμενος ὅτι καὶ δύο ἄστρων μῆκος ἐπέχει καὶ ἑξηκοντάμοιρός ἐστι μόνος.*

646. *Ὠρίωνα περὶ χθονὸς ἔσχατα φεύγειν: καὶ αὐτὸν ἀπὸ τῶν λέξεων σφόδρα ὑπογράφει τὸν Ὠρίωνα δεδοικότα τὰ τῆς γῆς ἔσχατα καταλαμβάνειν ὑπερβολῆι τοῦ φόβου καὶ τῆς δειλίας.*

648. *οὐδὲ μὲν Ἀνδρομέδης: τότε, καὶ τῆς Ἀνδρομέδας καὶ τοῦ Κήτους ὅσα ὑπελείπετο τῆι τῶν Χηλῶν ἀνατολῆι, καὶ ταῦτα δύνει, τοῦ δὲ Κηφέως τὰ μέχρι ζώνης δέδυκεν· τὰ μὲν γὰρ ἄλλα ἀπὸ τῶν ποδῶν μέχρι τῆς ἰξύος ἐν τῶι ἀειφανερῶι ἐστι κύκλωι, ἡ δὲ ζώνη ἅπτεται τοῦ ὁρίζοντος· τοῦτο γάρ ἐστι τὸ γαῖαν ἐπιξύει* (650). § *Ἄρκτους δὲ εἶπεν ἀρκτικὸν κύκλον* (652).

---

1 *οὕτως μέντοι* A | supplevi | ὁ ante ἀστρ. A, *ἐκ τῆς* Ald ‖ 4 *θήρης* om M ‖ 4, 5 *ἀντι(ὶ* Ald)*καταλασσόμενος* AAld ‖ 5 *τὸ φ.* AAld | *οἰνοποίωνος* A, *οἰνοπίωνος* Ald | *εἰ* MAld ‖ 6 *γράφοιτο* AAld | *ἔστι δὲ ὁ* Ald ‖ 7 *τοῦ σκορπίου* Ald ‖ 8 *ἐπετείνατο* om AAld ‖ 8, 9 *γράφεται — λόγος* om hic Ald, cf l. 11 ‖ 9 *ἡ Ἄρτ. φησιν ἐξ* Ald ‖ 10 *δὲ* om Ald ‖ 11 *καὶ* om Ald | *εἰργάσατο* A | post Ὠ. Ald *τὸ οὖν ἐπετείνατο γράφεται καὶ ἐπετείλατο*, cf l. 8 ‖ 12 *τὸ δὲ* om et scholia coniunxit AAld | *ὅτι γὰρ σφόδρα μ.* A Ald ‖ 13 *τινα* om Ald ‖ 14 *ἐννεόργυιον κατὰ τὸ μῆκος* Ald ‖ 16 *πλειότερα* Ald ‖ 18 *ἑξηκοντόμοιρον(ς* Ald) AMAld, cf p. 354, 29 | *μόνος* Ald: *-ον* AM ‖ 19 *ἔσχατα φεύγειν* om AAld ‖ 19, 20 *αὐτὸς ἀπ' αὐτῶν τῶν* AAld ‖ 23 *ἀνδρομέδης* Ald ‖ 28 *τὸν ἀρκτ.* Ald

649. *πανσυδίηι φεύγουσιν*: *σὺν παντὶ τῶι πλήθει κατάγονται οὖν· ὁ γὰρ Ὠρίων δυόμενος ἐκ τοῦ σπεύδειν καὶ δεδοικέναι τὰ προειρημένα αὐτοῦ πάντα ἄστρα διώκει καὶ προωθεῖ. διὸ εἶπεν, ὅτι σὺν πᾶσι τοῖς μετ' Ὠρίωνος κατιοῦσι, τῶι Δελτωτῶι τῶι Ταύρωι τῶι Κηφεῖ τῶι Περσεῖ —. § τὸ δὲ ἀπευθέες* (648) *ἄπευστοι καὶ παρημελημένοι. ἀλλὰ δεῖ νοεῖν, ὅτι καὶ αὐτοί, τό τε Κῆτος καὶ ἡ Ἀνδρομέδα, δι' ὅλου δεδύκασιν.*

653. *ἡ δὲ καὶ αὐτὴ παιδός*: *λείπει ἡ μετά, ἵν' ᾖι· μετὰ τοῦ εἰδώλου τῆς θυγατρὸς αὐτῆς φέρεται ἡ Κασσιέπεια, οἱ δὲ πόδες αὐτῆς καὶ τὰ γόνατα οὐ κοσμίως φέρονται, ἀλλ' ἀκόσμως· ἐπὶ κεφαλὴν γὰρ δίκην κυβιστητῆρος δύεται.*

657. *μειρομένη γονάτων*: *τῆι δύσει τῶν γονάτων· ὁ γὰρ ὁρίζων οὐ δέχεται αὐτῆς τὰ γόνατα ὡς ἐπὶ τὰ βόρεια ὄντα.*

657, 8. *ἐπεὶ οὐκ ἄρ' ἔμελλεν ἐκείνη Δωρίδι καὶ Πανόπηι μεγάλων ἄτερ ἰσώσασθαι*: *ἐπειδὴ ἐκείνη, ἡ Κασσιέπεια, οὐκ ἔμελλεν ἰσώσασθαι καὶ περὶ κάλλους ἐναντιωθῆναι ταῖς Νηρῄσιν ἄνευ μεγάλων τιμωριῶν καὶ ζημιῶν· διὰ γὰρ τὴν αἰτίαν ταύτην καὶ ὁ Ποσειδῶν τὸ κῆτος ἔπεμψεν αὐτῆι τῆι χώραι, ὡς ἀναγκασθῆναι θοίνην αὐτῶι προθεῖναι τὴν Ἀνδρομέδαν.*

659. *ἣ μὲν ἄρ' εἰς ἑτέρην φέρεται*: *οὕτω μὲν οὖν ἡ Κασσιέπεια ἐπὶ δυσμὰς κατάγεται (νῦν γὰρ ἑτέρην τὴν δύσιν), ὁ δὲ οὐρανός, φησί, κάτωθεν, ἀπὸ τοῦ ὁρίζοντος, ἄλλα ἄστρα ἀπὸ τῆς ἀνατολῆς φέρει, ὡσανεὶ ⟨λέγοι⟩ 'τὰ μὲν ἀνατέλλει, τὰ δὲ δύνει'.*

660. *Στεφάνοιό τε δεύτερα κύκλα*: *ἀντὶ τοῦ δεύτεραι περίοδοι· ἐν γὰρ τῶι ἀνιέναι τὸν Καρκίνον εἶπεν, ὅτι ὁ Στέφανος δύεται* (572). *νῦν οὖν, ἐπειδὴ ἀνῆλθεν, εἶπε δεύτερα κύκλα.* § [*ἐπειδὴ*] *Χηλῶν μελλουσῶν ἀνιέναι, ὅτε καὶ ἡ τοῦ Κενταύρου*

---

1 *ἤγουν σὺν* Ald ‖ 2 *οὖν* om Ald ‖ 3 *δεδοικέναι* MAld: *δεδυκέναι* A | *προκείμενα* M ‖ 4 *εἶπε σὺν* (omisso *ὅτι*) AAld ‖ 6 *ἄσκεπτοι* AAld | *δεῖ δὲ ν.* Ald ‖ 7 *Ἀνδρομέδη καταδεδύκασιν* (omisso *δι ὅλου*) Ald ‖ 9 *ἡ* om M ‖ 11 *κυβηστῆρος* AM ‖ 12, 3 *ἤγουν ὑπὸ τῆς δύσεως περιζομένη κατὰ τὰ γόνατα* Ald ‖ 14 *ἄρ* AM ‖ 14, 5 *ἐκείνη — ἰσώσασθαι* om MAld ‖ 17 *νηρήισιν* AMAld ‖ 18 *ἔπεμψε* (*ἀνέπεμψε* Ald) *τὸ κῆτος* AAld ‖ 19 *τῆι χώραι αὐτῆς* Ald | *αὐτοῦ* M ‖ 20 *ἀνδρομέδην* Ald ‖ 21 *ἄρ'* om AM ‖ 22 *φησίν* post *δύσιν* traiecit Ald ‖ 23 *ἄστρα ἄλλα* (*-ὰ* Ald) AAld ‖ 26 *δεύτεροι* AMAld ‖ 28 *ἤ* ante *ἐπ.* Ald ‖ 29 *μελλουσῶν τῶν χηλῶν ἀ.* AAld | *ὅτε καὶ* om Ald

οὐρὰ ἐφαίνετο, τὸ ἥμισυ αὐτοῦ ἦν φανερόν (625). νῦν δέ, ὅτε Σκορπίος ἀνῆλθεν, ὁ πᾶς φαίνεται. διὰ τοῦτο δεύτερα κύκλα.

ἄλλως. τοῦτό φησι δεύτερα κύκλα ὅταν δύνηι εἰς κύκλος καὶ ὅταν μέλληι ἕτερος ἀνατέλλειν, καὶ λοιπὸν δύο εἰσὶ κύκλοι.

661—4. Ὕδρης τ' ἐσχατιήν, φορέει —: καὶ τὴν οὐρὰν τῆς Ὕδρας (ὅτε γὰρ ἤμελλον αἱ Χηλαὶ ἀνιέναι, εἶπεν 'ἐπειδὴ δὲ ἀνῆλθον τὰ ἔσχατα μέρη τῆς Ὕδρας' 611 sq.) συναναβαίνειν φησὶ καὶ τὸν ⟨Κέν⟩ταυρον τῶι λοιπῶι σώματι μέχρι τῆς κεφαλῆς καὶ τῆς δεξιᾶς χειρός, ἐν ἧι τὸ Θηρίον κρατεῖ, τούς τε ἐμπροσθίους πόδας τεκμήριον τοῦ μέλλειν ἀνιέναι ⟨τὸ Τόξον⟩ σὺν ἡλίωι.

664. ἱππότα φηρός: παρὰ τὸ Ὁμηρικὸν ἦθος· τῶι γὰρ ἱππότα ἀντ' εὐθείας ἐχρήσατο ὁ ποιητής (passim), οὗτος δὲ ἀντὶ γενικῆς. φῆρα δὲ λέγει τὸν Κένταυρον ποιητικῶς.

665, 6. Τόξωι καὶ σπείρη Ὄφιος: ἐπιόντι δὲ τῶι Τοξότηι καὶ ἀνατέλλοντι ἀνατέλλει ἡ τοῦ Ὄφεως σπεῖρα καὶ τὸ σῶμα τοῦ Ὀφιούχου, ἀνάγει δὲ αὐτὰς τὰς τοῦ Ὀφιούχου χεῖρας καὶ τὴν προτέραν περίκλασιν καὶ καμπὴν τοῦ Δράκοντος.

πολυτειρέος δὲ (668) τοῦ πολὺν κάματον παρέχοντος τῶι φέροντι, παρὰ τὸ τείρειν. τοῦτο δὲ οὐκ ἦν τῶι φυσικῶς ἐξηγουμένωι (cf Proleg VI), ἀλλὰ πολυτειρέος τοῦ πολυαστέρου. καὶ μᾶλλον θεωρηματικῶς.

669. τοῦ γε μὲν Ἐν γόνασιν: εἶτα παρένθεσις· ἀεὶ γὰρ ἀνατέλλει εἰς τὸ ἐναντίον προτραπείς· οἱ γὰρ πόδες πρῶτοι ἀνάγονται, ὕστερον δὲ ἡ κεφαλή. ὁ δὲ λόγος· τοῦ γε μὴν Ἐν γούνασιν ἀνατέλλει τὰ γόνατα καὶ ἡ ζώνη καὶ ὁ ὦμος σὺν τῆι δεξιᾶι χειρί. τίνος δὲ ἕνεκεν οἱ πόδες πρῶτοι ἀνατέλλουσιν,

---

1 ἐμφαίνεται A | τὸ δὲ ἥ. A, καὶ τὸ ἥ. Ald ‖ 3—5 (ἄλλως — κύκλοι) om M ‖ 3 ἦ pro ἄλλως Ald | δύο κ. Ald ‖ 6 φορέει om Ald ‖ 7 ἔμελλον Ald ‖ 7—9 post εἶπεν Ald αὐτὴν ἀνελήλυθέναι. νῦν δὲ καὶ τὰ ἔσχατα μέρη αὐτῆς φησι συναναβαίνειν καὶ τοῦ Κενταύρου τὸ λοιπὸν σῶμα ‖ 8 ἀνῆλθε A ‖ 9 supplevi ex Arato, cf Ald ‖ 10 χειρὸς om Ald ‖ 10, 1 οἱ δὲ ἐμπρόσθιοι πόδες τ. AAld ‖ 13 ἀντὶ AAld ‖ 15, 6 ἐπιόντος δὲ τοῦ τοξότου καὶ ἀνατέλλοντος AAld ‖ 18 περίκλασιν AAld: περίκλυσιν M ‖ 18, 9 scholia coniunxit M ‖ 19 τὸ δὲ π. οὐ τοῦ ποπλὴν (sic) καμπὴν π. Ald | κάμπηνον A ‖ 20 φ. ἦ κόπον Ald | οὐ γὰρ φυσικὸν τὸ οὕτως ἐξηγεῖσθαι, ἀλλὰ π. Ald ‖ 21 πολυάστρου Ald ‖ 21, 2 τοῦτο γὰρ μᾶλλον θεωρηματικόν Ald ‖ 23 ἐγγόνασιν A, ἐν γούνασιν MAld ‖ 25, 6 ἐν γόνασιν A

εἶπε περὶ γὰρ τετραμμένος αἰεὶ ἀντέλλει (669, 70), καὶ οὐχ οτι ζώνην ἔχει, ἀλλ' ἀπὸ τῆς ζώνης τὸν τόπον ἴσον ἐκτίθεται, δῆλον· ἐπήγαγε γὰρ καὶ στήθεα (671) μέχρι κάρη δ' ἑτέρης μετὰ χειρός (672) 'ἡ δὲ κεφαλὴ μετὰ χειρὸς [τῆς κεφαλῆς] τῆς ἑτέρας, τουτέστι τῆς ἀριστερᾶς, τῶι Τόξωι ἀνέρχονται καὶ τῶι Τοξότηι ἀνατέλλοντι.'

672. κάρη δ' ἑτέρης μετὰ χειρός: ἡ κεφαλὴ τοῦ Ἐν γούνασι μετὰ τῆς ἑτέρης χειρός, τουτέστι τῆς ἀριστερᾶς, σὺν τῶι Τόξωι καὶ τῶι Τοξότηι ἀνατέλλοντι ἀνέρχονται ἢ συνανέρχονται.

674, 5. σὺν τοῖς Ἑρμαίη — Λύρη —: σὺν δὲ τοῖς προειρημένοις ἡ τοῦ Ἑρμοῦ Λύρα καὶ ὁ Κηφεὺς ἄχρι τοῦ στήθους ἐκ τοῦ ἀνατολικοῦ ὠκεανοῦ ἀναπέμπεται. καλῶς δὲ εἶπε τὸ παρελαύνεται (675) ὥσπερ παρωθεῖται [φησίν], ἐπειδή ἐστι τὰ αὐτοῦ βόρεια ἃ εἶπε μὴ δύεσθαι διὰ τοῦτο, ἐπειδὴ ὀλίγον παντελῶς μένει χρόνον ὑπὸ τὸν ὁρίζοντα.

καὶ στήθεος ἄχρις: ὅτι τὰ ἄλλα αὐτοῦ ἄδυτα, τοῦτο δὲ μόνον αὐτοῦ τὸ ἄχρι τοῦ στήθους τοῦ σώματος ἀνιὸν καὶ κατιόν.

καὶ ἄλλως. ὅτι τὰ ἄλλα αὐτοῦ ἄδυτα, τοῦτο δὲ μόνον αὐτοῦ τὸ ἄχρι τοῦ στήθους [αὐτοῦ μόνον] καὶ δύει καὶ ἄνεισιν.

676. ἦμος καὶ μεγάλοιο Κυνός: τὸ τηνικαῦτα, φησί, καὶ τοῦ Σειρίου αἱ λαμπηδόνες εἰς δυσμὰς φέρονται, ὅτε ὁ Τοξότης ἀνατέλλει. μεγάλοιο δὲ εἶπεν ἀμαρυγαί διὰ τὸν Σείριον αὐτοῦ ἀστέρα. καὶ τὸ πᾶν γοῦν σῶμα δέδυκε τοῦ Ὡρίωνος πλὴν τῆς δεξιᾶς χειρός (677).

677. καὶ πάντα κατέρχεται Ὡρίωνος: τοῦ Τοξότου,

---

1 post εἶπε Ald ἀεὶ γὰρ περιτετραμμένος ἀνατ. | ἀνατέλλει libri ‖ 2 ἔχει Ald: -ων AM ‖ 3 δὲ post δῆλον Ald | καὶ om M ‖ 4, 5 seclusi; om Ald ‖ 7—10 schol om M ‖ 7 ἄλλως pro lemmate A, ἢ Ald ‖ 8 μετὰ τῆς ἀριστερᾶς χειρὸς AAld ‖ 8, 9 σὺν τῶι τοξότηι ἀνέρχεται: — AAld ‖ 11 λύρα Ald | δὲ om M ‖ 13, 4 τῶι π. M ‖ 14 γὰρ post ὥσπερ Ald | φησιν om Ald ‖ 15, 6 δύεσθαι. διὸ καὶ ὀλίγον παντελῶς μ. χρ. Ald ‖ 16 παντελῶς post χρόνον A ‖ 16, 7 τὸ οὖν στήθεος ἄχρι Ald ‖ 17 διότι AAld ‖ 18 τοῦ prius om Ald | τοῦ σώματος om Ald | ἄχρι στήθους αὐτοῦ μόνον A, cf l. 21 | καὶ δύει καὶ ἄνεισιν AAld ‖ 20, 1 schol M: om AAld ‖ 21 seclusi ‖ 25 γοῦν om Ald | τοῦ Ὡρ. ante δέδυκε Ald ‖ 26—p. 466, 2 post χ. Ald ἀνερχομένου γὰρ τοῦ Τοξότου τὰ τοῦ Ὡρίωνος πάντα δύνει πλὴν τῆς δεξιᾶς χειρός· αὕτη γὰρ μένει ὡς βορειοτέρα

φησίν, ἀνερχομένου τὰ τοῦ Ὡρίωνος πάντα κατέρχεται πλὴν τῆς χειρός, ἣγουν τῆς δεξιᾶς, λειπομένης ὡς βορειοτέρας οὔσης.

678. πάντα γε μὴν ἀτέλεστα: τοῦ ⟨αὐτοῦ⟩ παραλλήλου εἰσὶν ὅ τε Λαγωὸς καὶ ὁ Κύων, ὥστε προανατέλλειν τε ἀεὶ τὸν Λαγωὸν καὶ προκαταδύνειν, μηδέποτε δὲ ἑτέρως ἔχειν ὡς ἐν ἄλλωι. τὸ δὲ ἀτέλεστα, ἐπεὶ οὐδέποτε καταλαμβάνεται ὑπὸ τοῦ Κυνός· οὕτω γὰρ κατηστέρισται ὑπὸ τοῦ Κυνὸς διωκόμενος.

679—692. ἀλλ' οὐχ Ἡνιόχωι Ἔριφοι: οἱ μέντοι Ἔριφοι καὶ ἡ Αἴξ κατὰ τὴν χεῖρα τοῦ Ἡνιόχου σημεῖα μὲν χειμῶνος φέρουσιν, ὅταν ἑσπερίαν δύσιν ποιῶνται, οὐ μέντοι εὐθὺς δύονται, ἀλλὰ τὰ μὲν περὶ τὴν κεφαλὴν τοῦ Ἡνιόχου καὶ τὴν χεῖρα τὴν ἑτέραν καὶ τὴν ἰξὺν τῶι Αἰγοκέρωτι κατέρχεται, τὰ δὲ λοιπὰ Τοξότηι ἀνατέλλοντι. ὁ μέν⟨τοι⟩ Περσεὺς ἄνευ γόνατος καὶ δεξιοῦ ποδὸς δύνει, τῆς δὲ Ἀργοῦς ἡ περιφέρεια ἡ κατὰ πρύμναν, αὐτὴ δὲ ἡ Ἀργὼ ἅμα Αἰγοκέρωτι ἀνιόντι κατέρχεται καὶ ὁ Προκύων. ἀνατέλλουσι δὲ ὅ τε Κύκνος καὶ ὁ Ἀετὸς καὶ ὁ καλούμενος Ὀιστὸς καὶ τὸ Θυτήριον.

680. μεγάλην ἀνὰ χεῖρα: ἔχειν φησὶ (cf 157 sqq.) τὴν χεῖρα ταύτην ἐξαίρετόν τινα διαφορὰν πρὸς τὸ λοιπὸν σῶμα τοῦ Ἡνιόχου· κατὰ γὰρ τὴν ἑώιαν ἀνατολὴν τῆς Αἰγὸς καὶ τῶν Ἐρίφων χαλεπώτατος χειμὼν γίνεται.

681, 2 καί οἱ μελέων διακέκριται ἄλλων: καὶ οἱ Ἔριφοι διακριτικοί εἰσιν ἀστέρες ἐν πᾶσι τοῖς τοῦ Ἡνιόχου ἀστράσι καὶ ἱκανοὶ πρὸς τὸ κινῆσαι χειμῶνα, ὅτε σὺν ἡλίωι εἰσὶ καὶ πορεύονται. δοκεῖ δὲ μὴ εἶναι ἀληθές· οὐ γὰρ γίνεται πλησίον τῆς Αἰγὸς καὶ τῶν Ἐρίφων, μᾶλλον δὲ τοῦ Ἡνιόχου, ὅτε ⟨ἐν⟩ τῶι Ταύρωι ἢ τῶν Διδύμων θατέρωι ἐστίν. ἀλλά φαμεν, ὅτι, ὅταν ὁ ἥλιος ἦι ⟨ἐν τῶι⟩ Τοξότηι κατὰ τὴν τάξιν ταύτην, ἣν νῦν ἐξηγούμεθα, ἑώιου ἀνατέλλοντος ἐκείνου ἑῶιοι αὐτοὶ δύον-

---

3 supplevi; τοῦ αὐτοῦ post παρ. Ald ‖ 4 τε alt om AAld ‖ 5 καὶ μηδ. ἑτ. AAld ‖ 6 ἐπειδὴ AAld ‖ 8 sequitur schol l. 19 M ‖ 9 lemma om M | μέντοι om Ald ‖ 11 ποιοῦνται A ‖ 13 τοῦ αἰγοκέρωτος A ‖ 14 μέντοι Ald | ὅλως ante ἄνευ τοῦ γ. Ald ‖ 15 τοῦ δ. Ald | καὶ τῆς Ἀ. Ald | ἡ ante κατὰ om AAld ‖ 16 αὕτη A ‖ 18 sequitur schol v. 683, 4 M ‖ 20 τινα om AAld ‖ 21 ἀνοτολὴν A ‖ 23 διακέκριται ἄλλων om AAld ‖ 24 post ἀστράσι A add εἶναι λ., Ald ὡς εἶναι λ. ‖ 25 ὅταν Ald | τῶι ἡλ. Ald | εἰσὶ scripsi: ὦσι AMAld ‖ 26 πορεύωνται Ald ‖ 28 ἢ διδύμοις ἐν θατέρω A, ἢ διδύμοις ἔνθα θέρος M | ὅτι om AAld ‖ 29 suppl Ald | τὴν om A | αὐτὴν Ald

ται καὶ ὅτι χειμών ἐστιν ἄκρος. ἔχουσιν οὖν τινα πρὸς τὸν ἥλιον κοινωνίαν ἐκ τοῦ καιροῦ διὰ τὸ ἑῶιον, ὅτι οἱ μὲν ἀνατέλλουσιν, οἱ δὲ δύνουσιν.

683, 4. ἀλλὰ τὰ μὲν κεφαλὴν —: ἀνελθόντος τοῦ Τοξότου οὐχ ὁ πᾶς Ἡνίοχος εἰς δυσμὰς φέρεται, ἀλλὰ ἀπὸ ποδῶν μέχρις ἰξύος. ἀνερχόμενος δὲ ὁ Αἰγόκερως τὴν ἄλλην χεῖρα, ἐφ' ἧς εἰσιν οἱ Ἔριφοι, ⟨κατάγει⟩. λέγει δὲ τὴν ἀριστεράν· ἡ γὰρ δεξιὰ ἤδη δέδυκε, τὰ δὲ ἔσχατα μέρη τοῦ Ἡνιόχου, τὰ ἀπὸ τῶν ποδῶν ἕως ἰξύος, σὺν τῶι Τοξότηι ἀνιόντι εἰς δυσμὰς κατάγεται.

685—8. οὐδέ τι Περσεὺς —: μέλλοντος δὲ Αἰγοκέρωτος ἀνιέναι οὔτε ὁ Περσεὺς οὔτε τὸ ἀκροστόλιον τῆς Ἀργώιας πρύμνης ἔτι φαίνεται, ἀλλ' ὁ μὲν Περσεὺς δύεται πλὴν μόνου τοῦ γόνατος καὶ τοῖ ποδὸς τοῦ δεξιοῦ (ταῦτα γὰρ ἔχει φαινόμενα), τῆς δὲ τοσοῦτον δέδυκεν, ὅσον εἰς τὴν περίκλασιν καὶ καμπὴν τῆς πρύμνης.

689 sq. αὐτὴ δ' Αἰγοκερῆϊ: αὐτὴ δὲ πᾶσα ἡ Ἀργὼ ἀνατέλλοντος Αἰγοκέρωτος κάτεισιν, ὅτε καὶ ὁ Προκύων εἰς δυσμὰς φέρεται.

690. ἦμος καὶ Προκύων δύεται: ἀνατέλλοντος τοῦ Ἡνιόχου αὐτίκα δύνει ὁ Κύων καὶ ὁ Ὠρίων ὅλος καὶ ὁ Λαγωός, ὃν ἀτέλεστα διωκόμενον (678) εἶπε πιθανῶς πάνυ· ἀμετακίνητος γὰρ ἡ τῶν ἄστρων θέσις. δύνειν δὲ καὶ τὸν Ἡνίοχον καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος, τὴν ἀριστερὰν αὐτοῦ χεῖρα, ⟨φησίν⟩, ἐφ' ἧς κατεστήρικται ἡ Αἶξ καὶ οἱ Ἔριφοι.

693, 4. Ἵππος δ' Ὑδριχόοιο: ὁ δὲ Ἵππος τοῦ Ὑδροχόου ἐπιτελλομένου τοῖς ποσὶ καὶ τῆι κεφαλῆι ἀνελίσσεται καὶ ἀνατέλλει.

694, 5. ἀντία δ' Ἵππου ἐξ οὐρῆς: κατὰ διάμετρον δὲ τοῦ Ἵππου κατ' οὐρὰν ὁ Κένταυρος δύνει. ὁ δὲ λόγος· δύνει δὲ κατ' οὐρὰν [καὶ] ὁ Κένταυρος, ἡ μέντοι κεφαλὴ αὐτοῦ καὶ

---

2 ? ‖ 4 τε post κεφ. Ald ‖ 5 ἀλλ' Ald ‖ 6 ἀνερχομένου δὲ αἰγοκέρωτος ἡ ἄλλη χείρ Ald ‖ 7 supplevi | δύνει post Ἔρ. add Ald ‖ 8 ὑπὸ A ‖ 9 τῶν om AAld ‖ 13 δύνεται A, δύνει Ald ‖ 15 τῆς Ald: τὸ AM ‖ 20 lemma om Ald ‖ 20, 1 ἀν. γὰρ αὐτοῦ αὐτίκα Ald ‖ 23, 4 καὶ τὸν Η. om Ald ‖ 24 τοῦ ἡνιόχου post σώμ. Ald ‖ 24, 5 ἡ ἀριστερὰ χειρ δηλαδή, ἐφ' Ald ‖ 26 ὑδροχόοιο AAld | ὁ om Ald | Ἵππ. δὲ Ald ‖ 27 ἀναδύεται libri ‖ 29 ἐξ οὐρῆς om AAld ‖ 31 οἱ μ. ὦμοι αὐτοῦ καὶ ἡ κεφ. Ald

οἱ ὦμοι καὶ ὁ Θώραξ οὐ δύνανται ἅμα τῶι Ὑδριχόωι καταφέρεσθαι (697).

696,7. ἀλλ' οὗ οἱ δύναται κεφαλήν: εἰς τὴν θέσιν ποιητικεύεται. ὅμως γε μήν, φησίν, ἔλκουσα αὐτὸν ἡ νὺξ οὐ δύναται αὐτοῦ τὴν κεφαλὴν καὶ τοὺς ὤμους σὺν τῶι στήθει χωρῆσαι καὶ λαβεῖν, ἀλλὰ τῆς Ὕδρας τῆς διαπύρου —.

697. ἀλλ' αἴθοπος Ὕδρης: αἴθοπος τῆς διαπύρου, ὅτι ὑπὸ τὰ θερινὰ ζώιδια τὴν ἀπὸ τοῦ αὐχένος σπείρωσιν καὶ τὰ μέτωπα καταφέρει.

ἄλλως. τῆς δέ γε Ὕδρας τὰ μέτωπα καὶ ἡ κατὰ τὸν αὐχένα σπεῖρα... τὰ μέντοι πλείω αὐτῆς καὶ ὑπὲρ γῆς ἐστι καὶ ἀναφερομένων τῶν Ἰχθύων συγκαταφέρεται ἅμα τῶι Κενταύρωι.

ἄλλως. ἢ διὰ τὸ εἶναι αὐτὴν πλησίον τῶν θερινῶν ζωιδίων, ἢ διὰ τὸ λαμπρὸν τῶν ἀστέρων αὐτῆς, ἢ διὰ τὸ δάκνον· ἐὰν γὰρ δήξηι, ὡσανεὶ καίει.

699—701. ἢ δὲ καὶ ἐξόπισθεν πολλὴ μένει: ⟨εἰ⟩ καὶ τὰ πρῶτα μέρη δέδυκε τῆς Ὕδρας, καὶ ὄπισθεν πολλή τις καὶ ἐκτεταμένη φαίνεται (λέγει δὲ τὰ ὄπισθεν αὐτῆς μέρη). ἀλλ' ὅμως καὶ αὐτὴν πᾶσαν τὴν Ὕδραν σὺν παντὶ τῶι Κενταύρωι, ἐπειδὰν οἱ Ἰχθύες ἀνατέλλωσιν, ἀθρόως ἐμφέρεται.

701, 2. ὁ δ' ἐπ' Ἰχθύσιν ἔρχεται Ἰχθύς: ὁ δὲ [Νότιος] Ἰχθὺς ἀνατελλόντων τῶν Ἰχθύων ἔρχεται καὶ φαίνεται, ὅσον ὀπίσω τοῦ Αἰγοκέρωτος κεῖται, ὁ Νότιος.

702. ὑποκείμενος: ὑποκάτω μὲν κείμενος τοῦ Αἰγοκέρωτος, πλὴν καὶ ὑποκάτω τῶν Ἰχθύων· δύο γὰρ ζώιδια ἐπέχει.

703. οὐ μὲν ἄδην: οὐ μὲν παντελῶς καὶ δι' ὅλου ἀνέρχεται ὁ Ἰχθύς· ἐκδέχεται γὰρ ἐπ' ὀλίγον ἄλλου ἄστρου ἀνατολήν.

---

1 δύνονται M | ὑδροχόω AAld ‖ 3 lemma om Ald quae sic incipit ἀποβλέπων δὲ εἰς τὴν θέσιν ποιητ. λέγων ἔλκουσα ‖ 6 τῆς δ. M: τοῦ δ. A | ἀλλὰ — διαπύρου om Ald ‖ 7 post lemma διάπυρος ἡ Ὕδρα, ὅτι Ald ‖ 8 post ζ. Ald ἐστι. ταύτης οὖν τὴν τοῦ αὐχένος σπ. Ald | ὑπὸ A | σπείρωσιν A | 10, 1 ἄλλως — σπεῖρα om Ald ‖ 10 μετέωρα M ‖ 11 καὶ ante ὑπὲρ om A Ald | γῆν Ald | καὶ alt om AAld ‖ 12 δὲ τῶν Ald | τῶι om AAld ‖ 13 schol om M | om lemma Ald quae sic αἴθοπα δὲ αὐτήν φησιν ἢ διὰ ‖ 14 ὡς ἔφην post ζ. add Ald ‖ 16 ἐξόπισθεν AMAld | πολλὴ μένει om AAld | suppl Ald ‖ 18 φ. ἤγουν τὰ Ald ‖ 19 τῶι om AAld ‖ 21 Ἰχθύς om MAld ‖ 21, 2 ὁ δὲ N. — ἔρχεται om Ald ‖ 23 κινεῖται AAld | ὁ om Ald ‖ 24 schol om M | ὑποκείμενος δὲ ἤγουν ὑπ. κείμενος Ald ‖ 26 ἤγουν οὐ Ald | μὴν alt AAld ‖ 27 ἐκδ. ὑπ' ὀλ. A | κατ' ὀλ. Ald

λέγει δέ, ὅτι αὐτῶν ⟨τῶν⟩ Ἰχθύων ἀνελθόντων ὁ πᾶς φανερὸς γίνεται.

ἄλλως. τῶν Ἰχθύων ἀναφερομένων ἀναφέρεται καὶ ὁ Νότιος Ἰχθὺς ὑπὸ τῶι Αἰγοκέρωτι κείμενος οὐχ ὅλως (μέρη γὰρ αὐτοῦ τῶι ἑξῆς δωδεκατημορίωι συναναφέρεται, τουτέστι τῶι Κριῶι). οὕτω καὶ ἡ Ἀνδρομέδα δυσὶ ζωιδίοις συναναφέρεται, τὸ μὲν δεξιὰ αὐτοῦ Ἰχθύσι, τὰ δ' ἀριστερὰ ἅμα τῶι Κριῶι (704—9).

704. *οὕτω καὶ μογεραὶ χεῖρες: κακοπαθεῖς φησι τὰς χεῖρας τῆς Ἀνδρομέδας διὰ τὰ δεσμά, ἃ περίκειται.*

ἄλλως. ὥσπερ ὁ Ἰχθὺς οὐχ ἅπας ἄνεισιν, ἀλλὰ ἄλλου ἄστρου προσμένει ἐπιτολήν, τουτέστι δωδεκατημορίου, οὕτω καὶ ἡ Ἀνδρομέδα. καὶ τὸ πῶς λέγει, ὅτι τὰ πάντα μέρη αὐτῆς τοῦ σώματος διχῶς ἀνέρχεται, ὥστε τὸ μὲν ἥμισυ αὐτῆς ὑπὲρ τὸν ὁρίζοντα θεωρεῖσθαι, τὸ δὲ ἥμισυ συγκαταλείπεσθαι.

707—11. *τὰ μέν οἱ κατὰ δεξιὰ χειρός: τὰ μὲν οὖν δεξιὰ μέρη αὐτῆς τῶν Ἰχθύων ἀνατελλόντων ἀναφέρεται, τὰ δὲ ἀριστερὰ ὁ Κριὸς ἀνιὼν ἔλκει. οὗ ἀνιόντος κατὰ διάμετρον θεωρεῖσθαι ἐπὶ τῆς δύσεως τὸ Θυτήριόν ⟨φησι⟩, τοῦ δὲ Περσέως τὴν κεφαλὴν καὶ τοὺς ὤμους ἀνατέλλοντας.*

712, 3. *καί κ' ἀμφήριστα πέλοιτο ἕως ἢ ἐπὶ Ταύρωι: ἐπειδὴ πλησίον ἀλλήλων εἰσὶ τὰ ζώιδια ταῦτα, ὅ τε Κριὸς καὶ ὁ Ταῦρος, φησίν, ὅτι ἀμφίβολα ⟨ἂν⟩ γένοιτο, πότερόν ποτε λήγοντι τῶι Κριῶι ὁ πᾶς συνανέρχεται ἢ τοῖς πρώτοις μέρεσι τοῦ Ταύρου. ὅλος μέντοι γε γίνεται ὑπέργειος ἀνατέλλοντος τοῦ Ταύρου* (714, cf Attali fr 28 p. 22—24).

714, 5. *οὐδ' ὅ γε Ταύρου λείπεται: οὐδὲ ὁ Ἡνίοχος ὑστερεῖ τότε, ἀλλὰ συνανατέλλει τῶι Ταύρωι ἐπιβεβηκὼς αὐτοῦ τῶι ἀριστερῶι κέρατι, καὶ οὐδαμῶς αὐτοῦ ἀνιόντος, τοῦ Ταύρου, ὁ Ἡνίοχος ἀπολείπεται.*

---

1 suppl Ald ‖ 3 *ἄλλως* om Ald | *τῶν οὖν* Ald ‖ 5 *τουτέστι* om A Ald ‖ 6, 7 *οὕτω — Κριῶι* om AAld ‖ 9 *Ἀνδρομέδης* Ald ‖ 10 *ἄλλως* om Ald | *δὲ* post *ὥσπερ* Ald ‖ 11 *ἐπιτολὴν προσμένει* AAld | *τ. τοῦ δωδ.* Ald ‖ 12 *ἡ* om A | *Ἀνδρομέδη* Ald, *ἀνδρομέδας* A | *καὶ ὅπως* Ald | *πάντα τὰ* Ald ‖ 14 *θεωρεῖται* Ald | *καταλείπεσθαι* M ‖ 15 *χειρός* om AAld ‖ 16 *ἀναφέρεσθαι* M ‖ 17 *ἕλκει* om M ‖ 19 *καὶ* ante *τὴν* Ald: om AM ‖ 20 *πέλοιτο* om AAld | *ἕως — Ταύρωι* om Ald ‖ 21 *εἰσὶν ἀλλ.* Ald ‖ 22 *ἀμφίβολον* Ald | suppl Ald ‖ 22, 3 *πότ. καὶ αὐτὴ ἡ ζ. λήγοντι* Ald ‖ 24 *ὅλως* Ald ‖ 24, 5 *ὑπέργειος γίν. τοῦ T. ἀνατ.* AAld ‖ 26 *ὁ* alt om A ‖ 27 *αὐτοῦ* om A ‖ 29 *ἠνίοχος* AAld: *περσεὺς* M

716—20. *μοίρῃ γε μὲν οὐκ ἐπὶ ταύτῃ —: οὐχ ἅπας, φησίν, ἅμα ἀνατέλλει ὁ Ἡνίοχος τῷι Ταύρωι (μοῖρα γὰρ τὸ ζῴδιον τοῦ Ταύρου), ἀλλ' ὅλον τὸν Ἡνίοχον οἱ Δίδυμοι ἀνάγουσιν. οἱ μέντοι Ἔριφοι καὶ ἡ Αἶξ καὶ τὸ θέναρ τοῦ ἀριστεροῦ ποδὸς ἅμα τῷι Ταύρωι συναναφέρονται, ὁμοίως δὲ καὶ τοῦ Κήτους ἥ τε λοφιὰ καὶ ἡ οὐρά.*

719. *ὅτε λοφιή τε καὶ οὐρή: καὶ καθ' ὃν καιρὸν συμβέβηκε τοῦ Κήτους τήν τε λοφιὰν καὶ τὴν οὐρὰν ἐκ τῶν νοτίων μερῶν ἀνατέλλειν, τότε δὴ καὶ ὁ Ἀρκτοφύλαξ ἄρχεται μετὰ τοῦ πρώτου ζωιδίου, τουτέστι τοῦ Σκορπίου, δύνειν, ὃς ἐστι κατὰ διάμετρον τῷι Ταύρωι.*

721—3. *δύνει δ' Ἀρκτοφύλαξ ⟨— μοίρῃι⟩: πάλιν τὸ ζῴδιον εἶπεν (cf 716), ἐπειδὴ ἐν τέτρασι μοίραις δύνει, τουτέστιν ἐν τέσσαρσι ζωιδίοις. κατὰ διάμετρον τοίνυν ἄρχεται καὶ ὁ Ἀρκτοφύλαξ δύνειν ἀνελθόντος Κριοῦ, ὅτε αἱ Χηλαὶ δύονται· πρώτη γὰρ μοῖρα τῆς τοῦ Βοώτου δύσεως αἱ Χηλαί. αἱ δὲ τέσσαρες μοῖραι, Χηλαὶ Σκορπίος Τοξότης καὶ Αἰγόκερως, κατάγουσιν ἐπὶ δύσιν ἄνευ χειρὸς τὸν Βοώτην· ἄδυτος γὰρ αὐτοῦ ἡ χείρ, ἐπειδὴ ἔνδον ἐστὶ τοῦ ἀρκτικοῦ· αὕτη γάρ, ἡ λαιὰ αὐτοῦ χείρ, πλησίον ἐστὶ τῆς μεγάλης Ἄρκτου.*

724—7. *ἀμφότεροί τε πόδες: οἱ δὲ τοῦ Ὀφιούχου πόδες μέχρι γονάτων καταδυόμενοι ἕστωσάν σοι τεκμήριον τῶν Διδύμων ἀνιόντων, καθ' ὃν καιρὸν καὶ ὅλον τὸ Κῆτος ὑπὲρ τὸν ὁρίζοντα θεωρεῖται.*

726, 7. *Κήτεος οὐδὲν ἕλκεται: τῶν Διδύμων ἀνιόντων οὐδὲν τῶν προειρημένων τοῦ Κήτους ἔτι ἕλκεται ἐπὶ ἀνατολάς, ἀλλ' ὅλον ἤδη ἐπὶ τὸ φανερόν ἐστιν. τὸ δὲ ἀμφοτέρωθεν οὔτε ἐξ ἀνατολῶν οὔτε ἐκ δύσεων.*

727—31. *ὅλον δέ μιν ὄψεαι ἤδη: κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ὅλον τὸ Κῆτος ὑπὲρ τὸν ὁρίζοντα θεωρεῖται, ἅμα σὺν αὐ-*

---

1 μὴν M | οὐκ ἐπὶ ταύτηι om AAld ‖ 2 ὁ om A ‖ 2—3 μοῖραν — ζ. εἶπεν ἤγουν τὸν Ταῦρον Ald ‖ 3 ἡνίοχος superscripto τὸ ζῴδιον A ‖ 7 lemma et καὶ om Ald | δὲ post ὃν Ald ‖ 10 δύνειν τουτέστι Σκ. AAld ‖ 11 post Ταύρωι Ald omisso lemmate εἴπομεν δὲ πρῶτον, ὅτι ὁ Ἀρκτοφύλαξ ἐν τέτρασι μοίραις δύνει, ἤγουν ἐν τέτρασι ζωιδίοις, κατὰ ‖ 13 εἴπομεν M, -ωμεν A ‖ 14 post ἄρχεται Ald τότε (omisso καὶ ὁ Ἀρκτ.) ‖ 15 δύνουσι Ald ‖ 17 καὶ ante Αἰγ. om Ald ‖ 18 τοῦ βοώτου A ‖ 19 τοῦ ἀρκτικοῦ ἐστιν ἔνδον AAld | αὕτη Ald: αὐτὴ AM ‖ 25 τὸ δὲ Κήτ. Ald, cf p. 471, 2 | ἤγουν τῶν Ald ‖ 26 τοῦ προειρημένου κήτους Ald ‖ 27 ἐστιν: — A ‖ 28 δύσεως M ‖ 29, 30 ὅλον — θεωρεῖται om Ald ‖ 29 δὴ τὸν M

τῶι καὶ ὁ Ἠριδανὸς ποταμὸς κατηστερισμένος ὑπὸ τὸν ἀριστερὸν πόδα τοῦ Ὡρίωνος. δύνανται οὖν, φησίν, οἱ ναῦται ἐν αἰθερίωι τῶι καταστήματι ταῦτα τὰ ἄστρα ἐπιτηροῦντες καὶ μάλιστα τὸν Ὡρίωνα τεκμήρασθαι, πόσον τῆς νυκτὸς ὑπολείπεται μέρος καὶ πόσον διάστημα πεπλεύκασιν.

728. ἤδη καὶ Ποταμοῦ: τότε τὴν τοῦ Ποταμοῦ πρώτην καμπὴν ἐν καθαρῶι καὶ εὐδίωι πελάγει ναύτης ἀφορῶν ἴδοι ⟨ἄν⟩.

ἐζήτησαν δέ, δι' ἣν αἰτίαν ἐν τούτωι μόνωι αὐτοῦ ἐμνήσθη. καὶ φαμέν, ὅτι, ἐπειδὴ ἐπάγει (730) τὸν Ὡρίωνα πρὸς ὃν μάλιστα ἀφορῶντες πλέουσιν οἱ ναῦται, ὑπὸ δὲ τοὺς τοῦ Ὡρίωνος πόδας οὗτός ἐστι, διὰ τοῦτο αὐτοῦ ἐμνήσθη.

730—2. αὐτὸν ἐπ' Ὡρίωνα μένων: ἐκδεχόμενος· ἰδὼν γὰρ τὴν τοῦ Ποταμοῦ πρώτην καμπὴν μετανοήσεις, ὅτι λοιπὸν Ὡρίων ἀνατέλλει, ἵνα ἀπὸ τοῦ Ὡρίωνος φανέντος γνῶις, πόστη νυκτός ἐστιν ὥρα· πανταχῆ γάρ, ἐν παντὶ τῶι οὐρανῶι, ταῦτα τὰ διὰ τῶν ἄστρων τεκμήρια θεὸς παρέχει.

730, 1. εἴ οἱ ποθι σῆμα: ἐάν ποτε αὐτῶι ἢ νυκτὸς σημεῖον ἢ πλοῦ μέτρον εἴποι.

731. ἢ νυκτὸς μέτρον ἠὲ πλόου: τουτέστιν· τεκμαίρεται ἀπὸ τοῦ δεῖνος ἀστέρος ἀνατέλλοντος, πόσον πλοῦν περαιώσει, δύνοντος τοῦ σεσημειωμένου ἀστέρος. οἷον, ἔστ' ἂν δῦναι θέλῃι ὁ δεῖνα ἀστήρ, ἡμεῖς ἀποπλεύσομεν ἐν τῶι δεῖνι τόπωι. ἢ τοὐναντίον, ἔστ' ἂν ὁ δεῖνα ἀστὴρ μέλλῃι ἀνατεῖλαι· παρασημειοῦνται γὰρ αὐτούς, ὅπερ ἐλέγομεν.

ἱστέον δέ, ὅτι τέλος τῶν ἄστρων ἐποίησεν.

---

2 post Ὡρ. schol ad 726 sq. sequitur in AAld | αὐτὸν ἐπ' Ὡρίωνα μένων: ἤγουν ἐκδεχόμενος· οἱ γὰρ ναῦται δύνανται ἐν Ald ‖ 3 αἰθρίω M ‖ 8 ἴδῃ AM | suppl Ald ‖ 9 sqq. in margine A ἀπορία λύσις ‖ 9 ἐζήτηται AAld | ἦν M: ποίαν AAld | μόνω M ‖ 12 οὗτος scripsi: αὐτὸς AAld, τοῦτο M ‖ 13—17 cf de Ald ad l. 2 quae post πεπλ. l. 5 sic ἰδόντες γὰρ τὴν τοῦ Ποταμοῦ α' καμπὴν κατανοήσουσιν, ὅτι λοιπὸν ὁ Ὡρίων ἀνατέλλει. τοῦ δὲ Ὡρίωνος φανέντος γνώσονται, πόση τῆς νυκτός ἐστιν ὥρα· πανταχῆ — οἱ θεοὶ παρέχουσιν ‖ 15 πόση AAld ‖ 17 οἱ θεοὶ παρέχουσιν AAld ‖ 18, 9 schol om M ‖ 19 εἴποι· τεκμαίρεται γὰρ ἀπὸ τοῦδε τοῦ ἄστρου Ald ‖ 22, 3 δύναι θέλλῃ A, δύνηι Ald ‖ 23 εἰς τὸν δεῖνα τόπον Ald ‖ 24 μέλλει ἀνατείλειν (sic) Ald ‖ 25 ? | ὡς ἔφημεν Ald ‖ 26 ἱστέον — ἐποίησεν M: ἕως ὧδε τὰ περὶ τῶν ἄστρων, ἤγουν τῶν φαινομένων Ald, om A

733. *Οὐχ ὁράαις; ὀλίγη μέν: ἡ δοκοῦσα εἶναι πρός τινα τοῦ λόγου ἀπότασις ἐπλαγίασε πρὸς τὸ [οὐχ ὁράαις] ἐνθεῖναι τὸ εἰς Ἀγκλείδην προοίμιον [ἀνα]φερόμενον* (cf Ach p. 81 An II p. 141. 152 sq.). *ἀλλ' ἠγνόησαν, ὅτι ποιητικόν ἐστιν ἔθος, ὡς καὶ Ὅμηρος 'ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις'* (Il IV 223) *καὶ 'Πατρόκλεις ἱππεῦ'* (Il XVI 20 al) *καὶ 'οὐδὲ σέθεν, Μενέλαε'* (Il IV 127), *καὶ διὰ τούτων ἦθος ἐγγίνεται τοῖς ὑποκειμένοις.*

Ἄλλως. οὐχ ὁράαις: λοιπὸν πειρᾶται διὰ πολλῶν παραστῆσαι, ὅτι πολλὰ τεκμήρια ἡμῖν οἱ θεοὶ παρέχουσι καὶ οὐ μόνον δι' ἡλίου καὶ σελήνης, ἀλλ' ἤδη καὶ ζώιων ἑρπετῶν φυτῶν καὶ ἄλλων, ὅτι διὰ πάντων προνοεῖται ἡμῶν ὁ θεός. ἄρχεται οὖν τὰς τῆς σελήνης φάσεις ἐκτιθέναι καὶ φησιν, ὅτι μετὰ τὴν τοῦ ἡλίου δύσιν ἐπὶ τῆς ἑσπέρας, ἐὰν φανῇ μηνοειδεῖς καὶ λεπτὰς ἔχουσα τὰς κεραίας, αὔξησιν τοῦ αὐτῆς φωτὸς ἐπιδείκνυται. ὅταν δὲ ἄρχηται σκιὰν τῶν σωμάτων ἀποτελεῖν, τετράδα τοῦ μηνὸς σημαίνει. ὅταν δὲ εἰς ἡμικύκλιον διαιρῆται, διχότομος ὀνομάζεται, ὀγδόην ἡμέραν ἐπέχουσα. πλήρης δὲ γενομένη πανσέληνος καλεῖται. ἐντεῦθεν δὲ πάλιν μειουμένη τῶι φωτὶ πολλὰς ὑπαλλάσσει φάσεις, καὶ καθ' ἑκάστην φάσιν αὐτῆς ἐπινοίας λαμβάνομεν τῶν τοῦ μηνὸς ἡμερῶν· ἡ μὲν γὰρ ἀμφίκυρτος ἐννεακαιδεκάτην δηλοῖ, διχότομος δὲ λήγουσα εἰκάδα καὶ δευτέραν ἢ τετάρτην. μετὰ δὲ τὴν διχότομον λεπτὰς πάλιν ἔχουσα καὶ μηνοειδεῖς τὰς κεραίας δηλοῖ τὰς ἐπὶ συνόδου ἡμέρας. εἶτα συν⟨ο⟩δε⟨ύ⟩ουσα τῶι ἡλίωι καὶ περιφωτιζομένη ὑπ' αὐτοῦ ἀφανὴς γίνεται ἡμέραις δυσὶ καὶ μοίραις ὀλίγαις.

Ἄλλως. διαλεχθεὶς ἡμῖν καὶ πληρώσας τὸν περὶ τῶν

1—7 post *χειμών* p. 473, 5 Ald *ἔδοξε δέ τισιν ὅτι τὸ οὐχ ὁράαις β' πρόσωπον ὂν πρός τινα ἀναφέρεται, πρὸς ὃν ὁ Ἄρατος διαλεγόμενος προοιμιάζεται, Ἀγκλείδην καλούμενον. ἠγνόησαν δέ, ὅτι οὐχ ὡς προσφωνῶν τινι τῶι δευτέρωι ἐχρήσατο προσώπωι, ἀλλὰ ποιητικῶι ἔθει οὕτω τὸν λόγον ἐσχημάτισατο. καὶ Ὅμηρος — διὰ γὰρ τῶν τοιούτων ἦθος κτλ.*, cf l. 5 sqq. ‖ 1 *ὁράας* M ‖ 2, 3 seclusi ‖ 3 sqq. *περὶ σελήνης* textui praescriptum A, *ὀλίγη μέν* pro lemmate Ald ‖ 8 *ὁράας* M | *λοιπὸν* om Ald ‖ 10 *καὶ δι'* ante *ἑρπ.* M, *καὶ* Ald: om A | *καὶ* ante *φ.* Ald: om AM ‖ 11 post *ἄλλων* Ald *παντοίων δεικνὺς* | *προνοοῦνται ἡ. οἱ θεοί* AAld ‖ 12 *φαύσεις* AAld ‖ 13 *μηνοειδὴς* AAld ‖ 14 *ἔχουσα* om A, post *κεραίας* Ald ‖ 16 *εἰς* Ald: om AM | *διαιρῆται* Ald: *διήρηται* AM ‖ 17 *ἡ μοῖραν* Ald ‖ 17, 8 *γενομένης* Ald ‖ 19 *ἀλάσσει* A, *ἀλλάσσει* Ald | *φύσεις* AM Ald; *φαύσεις* coni Bekker | *φαῦσιν* AAld ‖ 21, 2 *δὲ γενομένη κβ' ἢ κγ'* Ald ‖ 22 *ἢ τετάρτην* om M ‖ 23 *ἄνοδον* AAld ‖ 26 *οὐχ ὁράας* pro lemmate AAld | *διαλεχθεὶς ἡμῖν καὶ* AAld: om M

ὡρῶν καὶ τῆς τῶν ἄστρων καταλήψεως λόγον ἔρχεται ἐπὶ ἄλλο βιβλίον σφόδρα βιωφελές, ὃ καλεῖται Διοσημεῖαι, καὶ βούλεται περὶ σελήνης διαλαβεῖν· ἀπὸ γὰρ τοῦ ποιοῦ τῆς σελήνης σχήματος καὶ ἀπὸ τῶν τοῦ ἡλίου ἀκτίνων δηλοῖ ἡμῖν, εἰ ἔσται χειμών. περὶ δὲ τῶν τῆς σελήνης σχημάτων ἔστιν εἰπεῖν ἑτέρως (? 740, 1). § τὸ δὲ ἐξῆς οὐχ ὁράαις —· ὅταν ἀπὸ τῆς δύσεως ἡ σελήνη φαίνηται, αὐξομένου καὶ ἱσταμένου τοῦ μηνὸς διδάσκει, ἡμέραν δ' μέν, ὅταν πρῶτον ἀποβάλῃ σκιὰν ἀπὸ τῶν σωμάτων ἡμῶν, ἡ δὲ ἱσταμένου καὶ ἡμιλάμπρου τοῦ φωτός, διχομηνίαν δὲ πανσελήνου καὶ πᾶν τὸ ἐν αὐτῇ πρόσωπον πλῆρες τοῦ φωτὸς ἐχούσης.

734. ἑσπερόθεν φαίνηται: ἀπὸ τῆς ἑσπέρας ὅτε φαίνεται, ἑσπέραν τὸν ὑπὸ γῆν τόπον καλῶν· ἀποστᾶσα γὰρ ἡ σελήνη ἡλίου δώδεκα μοίρας τίκτεται.

735. μηνὸς ὅτι πρώτη ἀποκλίναται: μῆνα κυρίως ἔλεγον οἱ Ἕλληνες τὸν χρόνον τὸν ἀπὸ τῆς σεληνιακῆς συνόδου παρὰ τὴν μήνην μῆνα ὀνομάσαντες· ἐμέτρουν γὰρ οἱ Ἕλληνες πρὸς τὸν τῆς σελήνης δρόμον τοὺς μῆνας, Αἰγύπτιοι δὲ πρὸς τὸν τοῦ ἡλίου. ἀπὸ δὲ γέννης τρίτην ἡμέραν ἄγουσα ἡ σελήνη μηνοειδὴς κατὰ τὸ σχῆμα τοῦ φωτὸς καλεῖται, ἡνίκα λεπτὸν φῶς τοῖς κέρασιν ἐπιτρέχει. ὀγδοαία δὲ οὖσα διχότομος ὀνομάζεται, ὅταν τοῦ ὅλου κύκλου τὸ ἥμισυ φωτισθῇ, ἐναταία δὲ ἀμφίκυρτος, ὅταν τῷι διχοτόμωι κυρτώσεις προσγένωνται τοῦ φωτός, ὥστε κατ' ὀλίγον τὸ ἥμισυ τοῦ κύκλου φωτισθῆναι. πεντεκαιδεκαταία δὲ οὖσα πανσέληνος καὶ διχόμηνος, πληρωθεῖσα [τοῖς φωσί]· πᾶσα γὰρ ἐν διαμέτρωι οὖσα τοῦ ἡλίου διχασθέντα ἐν ιε' ἡμέραις δηλοῖ τὸν μῆνα. ἐντεῦθεν λοιπὸν κατὰ

---

1 τῶν ἄστρων τῆς καταλήψεως A ‖ 2, 3 καὶ β. — διαλαβεῖν om M ‖ 4 εἰ ἔ. ἢ μὴ Ald ‖ 5 περὶ — ἑτέρως om Ald (cf ad p. 472, 1), post ἑτέρως scholii finem A ‖ 6 οὕτως post ἐξῆς Ald | ὁρᾶις Ald | τῆς om Ald ‖ 7, 8 αὐξανομένου μηνός, ἤγουν τοῦ φωτός, σημεῖον διδάσκει, δ' δὲ ἡμέραν, ὅταν Ald ‖ 8 δ' μὲν ἡμ. A | ἀποβάλλη A ‖ 9 ἡ δὲ ἡμιλ. ὄντος τοῦ φ. Ald | ἱσταμένης A ‖ 10 πανσέληνον πᾶν Ald ‖ 10—13 καὶ πλ. φωτὸς ἔχουσαι. τὸ οὖν ἑσπ. φ. ἤγουν ὅτε φ. ἀπὸ τῆς ἑσπ. ἑσπέραν δὲ τὸν ὑπὸ γῆς τόπον καλεῖ Ald ‖ 13 γῆς AAld | καλεῖ Ald ‖ 14 ἡλίου om Ald | ιβ' AAld | μοίραις M ‖ 15 ἀποκλίναται om A, lemma Ald quae sic ἰστέον δέ, ὅτι μῆνα ‖ 17 παρὰ τὸ μένειν ἢ παρὰ τ. μ. Ald | ἐμέτρουν M | οἱ om M ‖ 18 τοὺς μῆνας ante πρὸς AAld ‖ 22 ὅλου om Ald | αὐτῆς post κ. Ald | ἐνναταία AM, δεκαταία Ald ‖ 23 τοῦ om A Ald ‖ 24 ὥστε πλέον ἢ τὸ Ald ‖ 25 διχόμηνος AAld: διχότομος M ‖ 26 τῷι φωτί Ald ‖ 26, 7 διχασθέντα AAld: -ος M

τὸ ἀνάπαλιν β΄ ἀμφίκυρτος, β΄ διχότομος, β΄ μηνοειδής. ἔπειτα ἀρπαγιμαία (ἀφανὴς γὰρ λοιπὸν φαίνεται ὑπὸ τὰς τοῦ ἡλίου αὐγὰς γενομένη), ἔπειτα συνοδική, ἡνίκα ἐν τῷι αὐτῷι ζωιδίωι τὰς αὐτὰς μοίρας ἔχει. ἐπειδὰν δὲ τὴν ἰσομοιρίαν παραλλάξηι, τότε πάλιν γέννων φαμέν.

735. ὁτε πρώτη ἀποκίδναται: ἐν ταῖς ἀρχαῖς τοῦ μηνὸς τοσοῦτον ἄρχεται ἀποσκίδνασθαι φῶς τῆς σελήνης καὶ αὐγὴ ἀπ᾽ αὐτῆς, ὅσον ἀμυδρὰν σκιὰν ἡμῶν τοῖς σώμασι ποιεῖν· ὅταν γὰρ πανσέληνος ᾖι ἤτοι ὁλόκυκλος, τότε καὶ τὸ φῶς πλεῖον ἔχουσα σκιὰν οὐχὶ μικρὰν ἡμῖν ἀποτελεῖ.

736. ἐπὶ τέτρατον ἦμαρ ἰοῦσα: τεταρταία, φησί, γενομένη ἄρχεται δύνασθαι σκιάζειν [ἐν] τῶι φωτὶ αὐτῆς (τριταία γὰρ οὐ δύναται διὰ τὴν περικειμένην τοῦ φωτὸς ἀδράνειαν). φησὶν οὖν· ὅταν πρώτη τῆς σελήνης αὐγὴ ἀπὸ γέννης ὑψόθεν σκεδαννύ⟨η⟩ται, ὥστε καὶ σκιὰν δύνασθαι ποιεῖν, γίνωσκε (ἀπὸ κοινοῦ) τεσσάρων οὖσαν ἡμερῶν τὴν σελήνην.

737. ὀκτὼ δ᾽ ἐν διχάσιν —: ὀκτὼ δὲ ἡμέρας ἄγει διχότομος οὖσα. διχόμηνος δὲ παντὶ προσώπωι πεντεκαιδεκαταία οὖσα· πληρεστάτη γάρ.

738, 9. αἰεὶ δ᾽ ἄλλοθεν ἄλλα —: διὰ παντὸς δὲ ἀλλαχόθεν καὶ πολυπλασίως τὰ πλάτη τοῦ φωτὸς ἐπεκτείνουσα δηλοῖ καὶ λέγει, ὁποία καὶ πόστη τοῦ μηνός ἐστιν ἡμέρα. προείπομεν δέ (p. 472), ὅτι τῶν μηνῶν αἱ καταλήψεις ἐκ τοῦ φωτὸς αὐτῆς ἐγγίνονται.

ἄλλως. ἀεὶ δὲ ἄλλοθεν ἄλλα δεικνῦσα πρόσωπα ἤγουν εἴδη, τουτέστιν ἐν πολλαῖς μορφαῖς φαινομένη, λέγει ἡμῖν, πόστη ἡμέρα τοῦ μηνὸς ἀνατέλλει.

---

1 *δευτέρω* ter (pro *β΄*) A ‖ 2 *φαίνεται* A, *γίνεται* superscripto *φαίνεται* M: *γίνεται* Ald ‖ 3, 4 *ἐν τῷ αὐτῷ ζωδίῳ* iterum M post *ἔχει* ‖ 5 *γεννᾶν* Ald, cf p. 473, 19 ‖ 6—10 schol om M ‖ 6 *ἀποσκίδναται* A: om Ald ‖ 7 *τὸ* ante *φῶς* AM: om Ald ‖ 8 *τὸ ἀμ.* A ‖ 9 *ἤγουν* Ald ‖ 10 *ὑμῖν* A ‖ 11 *τέταρτον* A | *οὖν* ante *ἦμαρ* Ald | *ἰοῦσα* om AAld | *τουτέστιν τετ. γεν.* omisso *φησὶ* Ald ‖ 14—16 (*φησὶν — σελήνην*) om Ald ‖ 14 *ὅτι* A ‖ 15 supplevi | *καὶ* om A ‖ 17 de *διχάσιν* cf ed | *ἡμερῶν* M ‖ 18, 9 *τὰ δὲ διχόμηνα ἄγει, ἤγουν τὴν μέσην τοῦ μηνός, ὅταν ἐν παντὶ πρ. ἤγουν κύκλωι πληρωθῆι φωτός, τουτέστιν ὅταν ᾖι πεντεκαιδεκαταία* Ald ‖ 19 *πληροῦται γάρ* A ‖ 22 *δὲ λ.* (pro *καὶ*) M | *πόση* A | *ἐστιν* om Ald | *ἡ ἡμ.* Ald ‖ 22, 3 *προσείπομεν* A ‖ 24 *γίνονται* AAld ‖ 25 omisso lemmate *ἢ ἀεὶ ἄλλοθεν — ἤγουν* Ald ‖ 26 *γενομένη* AAld | *εἴρει καὶ λέγει* Ald | *πόση* A ‖ 27 *τῆς σελήνης* A

740. *ἄκρα γε μὴν νυκτῶν: περὶ μὲν τῆς ἐν νυκτὶ τῶν ὡρῶν διακρίσεως ἤδη προείπομεν* (p. 448 sq. 471, 15). *αὐτὴν δὲ τὴν νύκτα καὶ τὴν ἡμέραν, ἥτις ἐστὶ τοῦ μηνός, ἐξῆς διδάσκει. μῆνα δὲ λέγομεν τὸν ἀπὸ συνόδου σελήνης καὶ ἡλίου χρόνον ἐπὶ σύνοδον, ὅταν ᾖι ἡμερῶν κϑ΄. ἐπὶ δὲ τῶν τοιούτων συνόδων ἡμέραν ἄκουε τὸν ἐκ τῆς νυκτὸς καὶ ἡμέρας χρόνον. τούτωι δὲ τῶι μηνὶ ἐχρῶντο πρὸς τὴν τῶν πολιτικῶν ἡμερῶν ἀγωγήν, καὶ νῦν ἔτι χρῶνται πολλοὶ τῶν Ἑλλήνων. § ἄκρα δὲ νυκτῶν: ἡ ἑσπέρα καὶ ὄρϑρος, ἅπερ ἱκαναὶ πρὸς τὸ σαφὲς δηλῶσαι ἐκεῖναι αἱ ιβ΄ μοῖραι, τῶν ιβ΄ ζωιδίων δηλονότι.*

ἄλλως. τὰ ιβ΄ ζώιδια ἱκανά ἐστι σημαίνειν ἀρχάς τε καὶ τέλη τῶν νυκτῶν. § μέγαν δὲ ἐνιαυτὸν (741) *λέγει τὸν ἡλιακόν· οἱ γὰρ παλαιοὶ γ΄ ἤιδεσαν μέτρα χρόνου, [τὴν τῆς σελήνης περιοδον] ἡμέραν μήνην ἐνιαυτόν. μέγιστον δὲ τούτων ὁ ἐνιαυτός. ὅτι δὲ λέγει τὸν ἡλιακόν, δῆλον ἐξ ὧν ἀρότου καὶ φυτείας μνήμην ποιεῖται* (742). *ὁμοία δὲ τῶι προοιμίωι ἡ διάνοια ἐσκέψατο δ᾽ εἰς ἐνιαυτὸν ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνουσιν* (11, 2).

ἄλλως. ὁ λόγος· αἱ τῶν δώδεκα ζωιδίων ἀνατολαὶ καὶ δύσεις ἱκαναὶ πεφύκασι τῶν ἐνιαυσιαίων καιρῶν τὴν διαφορὰν οἰκείως διασαφῆσαι, ἔαρος ϑέρους μετοπώρου χειμῶνος· διὰ γὰρ τούτων καταλαμβάνομεν τὴν διαφορὰν τῶν κατὰ τὴν γεωργίαν ἔργων, σπόρου φυτείας ἀμήτου τῶν ἄλλων ἁπάντων. ἐμφανεῖς δὲ τοῖς βουλομένοις ἀκριβῶς προσέχειν τυγχάνουσιν αἵ τε ἀνατολαὶ καὶ δύσεις τῶν ζωιδίων διὰ τὴν τοῦ ϑεοῦ πρόνοιαν. ὁμοία δὲ τῶι προοιμίωι ἡ διάνοια ἐσκέψατο δ᾽ εἰς ἐνιαυτὸν ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν (11, 2; cf l. 16—18).

---

1 *μὲν* Ald ‖ 4, 5 *σ. ὅς ἐστιν ἡμ.* Ald ‖ 5 *οὖν* post *ὅταν* A: om M, cf Ald | *ἀκούει* Ald ‖ 7 *διαγωγήν* AAld ‖ 8 *ἡ* om M ‖ 9 *ἱκαναὶ* Ald: *-ὰ* AM | *σαφὲς* AMAld; *σαφῶς* Bekker | *ἐκεῖναι* om Ald ‖ 11, 2 *ἄλλως — νυκτῶν* om Ald ‖ 11 *σημᾶναι* A ‖ 12 *τὰ δέ που μέγαν εἰς ἐνιαυτόν* (741): *μέγαν ἐνιαυτὸν τὸν ἡλ. λέγει* Ald ‖ 13, 4 *τὴν — ἐνιαυτόν* om A ‖ 13 *τρία* AAld ‖ 14—18 post *περιοδον* Ald *τὴν ἑκάστην ὥραν τοῦ ἐνιαυτοῦ καὶ τὴν ἡλιακὴν περιοδον. μέγιστον δὲ τῶν ἄλλων ἡ ἡλιακή. ὅτι δὲ τὸν ἡλιακὸν χρόνον λέγει, δῆλον — ποιεῖται, ἡ δὲ διάνοια ὁμοία τῆι τοῦ προοιμίου — σημαίνοιεν* ‖ 15 *λέγει* om A ‖ 16—18 *ὁμοία — σημ.* om hic M, cf l. 26, 7 ‖ 16 *ὁμοίως* A ‖ 17 *καὶ* A ‖ 26, 7 *ἐσκέψατο — σημαίνοιεν* om A hoc loco, cf l. 16—18

743—7. *ἐκ Διὸς ἤδη πάντα —*: *ὑπὸ τοῦ Διὸς παρεδόθη τοῖς ἀνθρώποις, ἵνα οἱ μὲν πρὸς ἀντίληψιν τῶν κατὰ τὴν γεωργίαν ἔργων ὠφεληθῶσιν, οἱ δὲ εἰς ναυτιλίαν φυλασσόμενοι τὰς χειμερίους ἀνατολάς τε καὶ δύσεις τῶν ἄστρων, οἷον Ἀρκτούρου Ἐριφων Αἰγός, ἀπό τε τῆς ἑσπέρας σημείωσιν ποιούμενοι τοῦ μέλλοντος καὶ ἀπὸ τοῦ ὄρθρου, τουτέστιν ἀπὸ τῆς ἑκάστου τῶν ιβ' ζωιδίων ἀνατολῆς τε καὶ δύσεως· ὁ γὰρ ἥλιος ἐν τῇι ἐνιαυσιαίαι περιόδωι διεξιὼν τὸν ζωιδιακὸν κύκλον κατὰ τάξιν εἰς ἓν ἕκαστον τῶν ζωιδίων μεταβαίνει. διὸ ὄγμον τὴν πορείαν αὐτοῦ ὠνόμασεν* (749). *καὶ Ὅμηρος 'ὄγμον ἐλαύνω⟨σιν⟩'* (Il XI 68).

744—6. *καὶ μέν τις καὶ νηΐ —*: *ὅτι τὰ ἀπλανῆ, φησί, δηλοῖ τοὺς καιρούς, καὶ τεκμήρια δίδωσι τοῦ πλοῦ· καὶ γάρ τις καὶ νηῒ ἑαυτὸν εἰσδεδωκὼς πολυκλύστου χειμῶνος ἐσκέψατο ἢ τοῦ δεινοῦ Ἀρκτούρου μνημονεύσας· ὀλίγη γὰρ αὐτοῦ ἡ χειμερινὴ δύσις. ὃ δὲ Χηλαῖς συγκατέρχεται Σκορπίωι Τοξότηι Αἰγοκέρωτι* (722), *ἡ δὲ τετράμηνος χειμερινή ἐστιν. ἔμαθεν οὖν περὶ ἐσομένου χειμῶνος ὁ ναυτίλος ἢ τοῖ Βοώτου μνησθεὶς* (*δεινοῦ δὲ* (745) *οἱ μὲν τοῦ λαμπροῦ, οἱ δὲ τοῦ χειμερινοῦ ὡς πρὸς τὸ παρόν*) *ἤ τινων ἄλλων ἀστέρων θέας, οἵτινες ἐξ ὠκεανοῦ ἀρύονται* (746) *ἀντὶ τοῦ ἀνατέλλουσιν.*

747. *ἀμφιλύκης: φασὶ γὰρ τὸν λύκον ἀνακεῖσθαι τῶι Ἀπόλλωνι. καὶ ὥσπερ ἐκεῖνον μέν τις ὧν προβλέπει, οὕτω καὶ τὸν λύκον διὰ τὸ ὀξυδερκὲς αὐτοῦ προσίρμοσαν [αὐτὸν] τῶι Ἀπόλλωνι. διὰ τοῦτο καὶ λυκόφως λέγεται, ὅταν ὁ λύκος θεάσηται.*

749. *ὄγμον ἐλαύνων: ὄγμος κυρίως ἡ τάξις καλεῖται*

---

1 *ἤγουν ὑπὸ* Ald ‖ 2 *τὴν* om MAld ‖ 3 *εἰς* M: *πρὸς* Ald, om A ‖ 6 *ἑκάστης* AAld ‖ 10 *ἐλαίνω* AM, *ἐλαύνων* Ald ‖ 14 *δεδωκὼς τοῦ* Ald | *πολυκλύστοιο* AM ‖ 15 *ἢ* et *δεινοῦ* om MAld | *οὐκ ὀλ. γὰρ* Ald ‖ 15, 6 *δύσις χειμερινὴ* AM; *χ. αὐτοῖ δ.* Ald ‖ 16 *ταῖς γὰρ Χ.* Ald ‖ 17 *ὥστε τετρ. ἐστιν* (omisso *χειμ.*) Ald ‖ 18 *περιεσομένου* AM, *περὶ τοῦ ἐσομένου* Ald ‖ 18—20 *ἢ τοῦ δεινοῦ Ἀρκτούρου μνημονεύσας ἤγουν τοῦ Βοώτου· ἀπὸ μέρους γὰρ τὸ πᾶν. ἤ τινων* Ald ‖ 19 *ἢ δεινοῦ μεμνημένος* pro lemmate A | *τοῦ* alt om A ‖ 20 *θέας* scripsi: *θεάσοιτο* AM, om Ald ‖ 21 *ἤγουν ἀν.* Ald ‖ 22—27 *ἀμφιλίκην δὲ τὴν ἀνατολὴν φησι διὰ τὸ τ. λ. — Ἀπ. ὡς γὰρ ἐκεῖνος μακρόθεν ὢν ὁρᾶν δύναται, οὕτω δὴ καὶ ὁ λύκος ὀξυδερκής ἐστιν. διὰ δὴ τὸ ὀξυδερκὲς αὐτοῦ — Ἀπ. ταύτη τοι καὶ λυκόφως τὴν αὐγὴν λέγουσιν, ἤγουν ὅταν ὁ λύκος θεᾶται. τὸ δὲ ὄγμος σημαίνει μὲν κυρίως τὴν τάξιν τῶν θ.* Ald, om M ‖ 23 corrupta ‖ 25 *λυκόφωτον* AM ‖ 27 *ἐλαύνων* om A | *ὄγμον κ.* M | *δὲ* post *ὄγμ.* A | *καλεῖται* om A

τῶν θεριζόντων, ὅπου ἀμῶνται, ἢ ὁ μεταξὺ δύο φυτειῶν τόπος ἀργός. ἐπειδὴ οὖν τὴν μέσην γραμμὴν τοῦ ζωιδιακοῦ ὁ ἥλιος πορεύεται, ἔχει δὲ ὁ κύκλος ἄλλας δύο ἑκατέρωθεν γραμμάς, διὰ τοῦτο εἶπεν ὄγμον τὸν τοῦ ἡλίου δρόμον.

750. τοτὲ μέν τ' ἀνιῶν —: ἢ γὰρ ἀνατέλλων ἑώιας τὰς φαύσεις παρέχει αὐτοῖς ἢ δύνων ἑσπερίας.

τὸ δὲ αὐτίκα: οὐκ ἀργῶς. ἐπ' ἀμφοτέρων· ἢ γὰρ αὐτίκα ανιὼν μετὰ τὴν ἑώιαν τοῦ ἄστρου φαῦσιν ἢ πρὸ ὀλίγου τῆς τοῦ ἄστρου ἑσπερίας φαύσεως δεδυκώς.

751. ἄλλος δ' ἀλλοίην ἀστήρ: ἐφ' ἕκαστον ὁ ἥλιος τῶν ἐν ταῖς μοίραις ἄστρων ἔρχεται ..., οἷον σήμερον, τῆι δὲ ἑξῆς οὐκέτι σὺν αὐτῶι· ἔρχεται γὰρ ἐπὶ τὴν δευτέραν μοῖραν καὶ ἐπιψαύει τοῦ ἀστέρος τοῦ ἐν τῆι δευτέραι μοίραι ὄντος. διὸ εἶπεν ἄλλος δ' ἀλλοίην — ἐπιδέρκεται ἡμέραν ἀστήρ. ἢ ἄλλος κατὰ [τὴν] ἀλλοίην [τῶν ἀστέρων] ἡμέραν θεωρεῖται. κατὰ ποίαν δηλονότι φησὶν ἑώιαν ἀνατολὴν ἢ ἑσπέριον ἢ δύσιν τινὰ τούτων; ἐπειτοι γε καθ' ἑκάστην ἡμέραν ἕκαστος αὐτῶν καὶ ἀνατέλλει καὶ δύεται, ὡσὰν τοῦ κόσμου καὶ ἐν ἡμέραι καὶ ἐν νυκτὶ ἀπὸ σημείου ἐπὶ σημεῖον φερομένου.

752. γινώσκεις τάδε καὶ σύ: ὁριστικὸν ἀντὶ προστακτικοῦ, ἀντὶ τοῦ γίνωσκε. § συναείδεται δὲ ἀντὶ τοῦ συνάιδεται πρόκειται. § κύκλα (753) ἐνιαυτοί. § ἐπιδινεῖται (755) παρέρχεται. § ὁ δὲ λόγος· γίνωσκε, ὅτι ἀναλογοῦντες ἀλλήλοις καὶ σύμφωνοι γίνονται οἱ τοῦ ἡλίου δρόμοι διὰ ιϑ' ἐτῶν ἐπιθεωρούμενοι. ὁμοίως δὲ καὶ ἡ ἀνατολὴ τῆς τοῦ Ὡρίωνος ζώνης μέχρι τῆς παντελοῦς δύσεως αὐτοῦ, ἔτι γε μὴν καὶ ἡ τοῦ Κυνὸς ἀνατολή τε καὶ δύσις διὰ τῶν ἴσων ἐτῶν σύμφωνοι γίνονται.

---

1 post ἀμ. Ald σημαίνει δὲ καὶ τὸν μ. ‖ 1, 2 τόπον ἀργόν Ald ‖ 2 οὖν om et δι' αὐτὸν add A ‖ 4 ἡ. κύκλον AAld ‖ 5 αὐτοῖς post ἑώιας Ald ‖ 6 φαύσεις AAld: φάσεις M | αὐτῆς A ‖ 7 τὸ δὲ MAld: τοτὲ A | οὐκ ἀργῶς A: om MAld ‖ 8 φάσιν M ‖ 9 φαύσεως om M ‖ 10 ἄλλοτε δ' Ald ‖ 11 ἀστέρων AAld ‖ 11, 2 post σήμερον A ἐλθὼν ἐπὶ τὴν πρώτην μοῖραν ἀνατέλλει. τὸ ἑξῆς οὐκέτι, Ald τυχὸν τῶι ἐπὶ α' μοῖραν συνανατέλλει. οὐκοῦν τὸ ἑξῆς οὐκέτι ‖ 14 σὺν ἡλίωι ante ἀστήρ AAld ‖ 15 κατὰ ἄλλην ἡμέραν τῶν ἀστέρων ϑ. Ald ‖ 15, 6 κατὰ τὴν ἑώιαν δηλ. ἀν. ἢ δύσιν ἤ τινα Ald ‖ 16 ? | φησὶν A: φάσιν M | ἑσπέριον ἢ om A ‖ 18 ὡσὰν M: ὡς AAld | καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέραι AAld ‖ 20 ἢ ante lemma Ald | post lemma ἀντὶ τοῦ γίν. Ald ‖ 21, 2 συνάιδεται δὲ ἤγουν πρόκ. Ald ‖ 22 ἐνιαυτοὶ κύκλα M ‖ 23 ὁ δὲ λόγος om AAld | γίν. οὖν φησιν ὅτι Ald | ἀναλογοῦσι AAld | τοῖς ἀλλ. A ‖ 24 δέκα ἐννέα A ‖ 27 τε om Ald

τὰς μὲν οὖν ἡμέρας τῆς ἐννεακαιδεκαετηρίδος ἀπὸ τῆς τοῦ ἡλίου ἐνεργείας ἐπέδειξε (748 sqq.), *τὰς δὲ νύκτας ἀπὸ τῆς τοῦ Ὡρίωνος ἀνατολῆς τε καὶ δύσεως διὰ τὸ ἐκεῖνα τὰ ἄστρα καταληπτὰ τοῖς ἀνθρώποις ἐν τῇι νυκτὶ μάλα γίνεσθαι* (754, 5).

ἄλλως. Μέτων τις γέγονε παλαιὸς ἀστρονόμος, ὃς ἀκριβῶς ἀριθμήσας εἶπε μικρὸν ἐνιαυτὸν ὡς πρὸς σύγκρισιν τοῦ μεγάλου, περὶ οὗ πάλαι ἐλέγομεν (cf p. 429, 6 sqq.), *ὅτε σύνοδος τῶν ζ' ἀστέρων γίνεται ἐπ' ἀπωλείαι τοῦ παντός. δεξάμενοι τοίνυν οἱ μετὰ Μέτωνα ἀστρονόμοι πίνακας ἐν ταῖς πόλεσιν ἔθηκαν περὶ τῶν τοῦ ἡλίου περιφορῶν τῶν ἐννεακαιδεκαετηρίδων, ὅτι καθ' ἕκαστον ἐνιαυτὸν τοιόσδε ἔσται χειμὼν καὶ τοιόνδε θέρος καὶ τοιόνδε φθινόπωρον καὶ τοιοίδε ἄνεμοι, καὶ πολλὰ πρὸς βιωφελεῖς χρείας τοῖς ἀνθρώποις. ἐπειδὴ οὖν ἤδη ταῦτα ἐγνώσθη ἐκ τῶν πινάκων καὶ αὐτὸς ἐκεῖθεν ἔγνω τὰ πολλὰ ὁ Ἄρατος, φησίν, ὅτι καὶ αὐτὸς γινώσκεις· πάλαι γὰρ ἀείδεται καὶ φαίνεται καὶ φανερὰ τοῖς Ἕλλησι γέγονεν. ἐδέξαντο δὲ αὐτὰ Ἕλληνες παρ' Αἰγυπτίων καὶ Χαλδαίων. ποῖα οὖν ἐστι ταῦτα, ἃ συναείδεται, ἐπήγαγε, τὰ κύκλα καὶ αἱ περιφοραὶ αἱ διὰ ἐννεακαίδεκα ἐτῶν γινόμεναι τοῦ ἡλίου. φησὶν οὖν, ὅτι πάντας τοὺς ἀστέρας ὁ ἥλιος ἐπέρχεται καθ' ἕκαστον ἐνιαυτόν, ἄλλοτε ἄλλωι ἐμπελάζων, ὁτὲ μὲν ἀνιών, ὁτὲ δὲ καὶ δύνων* (748—50).

754, 5. *ὅσσα τ' ἀπὸ ζώνης*: *ὅσα, φησί, καὶ ἔμαθες ἀπὸ τῶν παλαιοτέρων, ἀπὸ τῆς ζώνης τοῦ Ὡρίωνος πάλιν εἰς αὐτὸν τὸν Ὡρίωνα ἡ νὺξ ἄστρα ἐπιφέρει καὶ ὅσα ἀπὸ τοῦ Κυνὸς εἰς αὐτὸν τὸν Κύνα. βούλεται δὲ καὶ περὶ πάντων εἰπεῖν τῶν ἀπλανῶν. προεῖπον δὲ περὶ τῶν ἄλλων πολλοὶ [γὰρ], οἱ [πρὸ Ἀράτου] περὶ Εὔδοξον καὶ Ἵππαρχον καὶ ἄλλοι τινές. ἤρξατο*

---

1 *οὖν* om A | *τῆς ἐννεακαιδεκαέτων* A, *τῶν ἐννεακαίδεκα ἐτῶν* Ald ‖ 5 *γινώσκεις τάδε* (752) pro lemmate Ald ‖ 7 *πάλιν ἐλέγομεν* AM: correxi; *οὗ πρότερον εἴπομεν ἤγουν ὅταν* Ald | *ὅταν* AAld ‖ 8 *γίνεται* scripsi: *γένηται* AMAld | *ἐπὶ* A ‖ 8, 9 *οἱ δὲ μετὰ Μέτωνα ἀ. καὶ π.* Ald | *μέτων* M ‖ 10 *ἐννεακαιδεκατηρίδων* A, cf p. 479, 11 ‖ 11 *καὶ τοιόνδε ἔαρ* post *χ.* add Ald ‖ 13 *δὲ* (pro *οὖν*) A ‖ 15 *αὐτὸς* M, *αὐτὰ* A; *καὶ αὐτὸς γινώσκεις αἰτά* Ald ‖ 16 *καὶ φαίνεται* A, *καὶ ἄιδεται* Ald: om M ‖ 18 *συνείδεται* AAld ‖ 19 *γενόμεναι* AAld | *τοῦ ἡλίου* post *περιφοραὶ* AAld ‖ 21 *ὅτε — ὅτε* M ‖ 22 *καὶ* om Ald ‖ 24 *τὴν νύκτα ἄστρα περιφέρειν* Ald | *περιφέρει* A ‖ 24, 5 *καὶ ὅσα — Κύνα* post *ἀπλανῶν* l. 26 A ‖ 25 *καὶ* om MAld | *λέγειν* Ald ‖ 26 *γὰρ* Ald (pro *δὲ*) ‖ 26, 7 seclusi (cf p. 354, 19 et Anal Eratosth p. 17 sq.) | *οἱ πρὸ Ἀράτου Εὔδοξός τε καὶ Ἵππαρχος καὶ* Ald ‖ 27 *ἤρξαντο* AAld

δὲ ἀπὸ Ὠρίωνος, ὅτι ὑπόκειται Καρκίνωι καὶ ὅτι μάλιστα εἰς αὐτὸν οἱ πλέοντες ὁρῶσι καὶ ὅτι νότιός ἐστιν, ἐκ δὲ τῶν νοτίων μερῶν καὶ ἀεὶ ἐκδέχονται ἐσόμενον χειμῶνα.

ἄλλως. ὅσα ἄστρα ἀπὸ τῆς ζώνης τοῦ Ὠρίωνος εἰς ἕσχατον Ὠρίωνα (ὅ ἐστι μέχρι τῶν ποδῶν αὐτοῦ) ἡ νὺξ ἐπιδινεῖται —. ἀπὸ κοινοῦ δὲ τὸ γινώσκεις (752). ἀρχὴ δὲ τοῦ ἐνιαυτοῦ ἐστιν ἡ τῆς ζώνης τοῦ Ὠρίωνος ἐπιτολή, τέλος δὲ τῶν ποδῶν τοῦ Ὠρίωνος ἡ ἐπιτολὴ καὶ τοῦ Κυνός. εἰς τρία δὲ αὐτοῦ διήρηται ἡ ἐπιτολή, ὦμον ζώνην πόδας.

756—64. οἵ τε Ποσειδάωνος ὁρώμενοι —: οὐ μόνον, φησίν, ὁ ἀριθμὸς τῆς ἐννεακαιδεκαετηρίδος ἐστὶν εὔχρηστος τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τῶν λοιπῶν ἀστέρων αἱ παρατηρήσεις, τῶν τε Ποσειδῶνος καὶ τῶν τοῦ Διός. εἰσὶ δὲ Ποσειδῶνος μὲν ἀστέρες οἱ τοὺς χειμῶνας καὶ τὰς εὐδίας δηλοῦντες, Διὸς δὲ οἱ τὰ πρὸς γεωργίαν εὔχρηστα μηνύοντες. ὅταν οὖν μέλλῃς πελαγίωι δρόμωι σεαυτὸν ἐμπιστεύειν, πολυπραγμόνησον πρῶτον τὴν παρατήρησιν τῶν τὰς εὐδίας ἢ τοὺς χειμῶνας δηλούντων ἀστέρων. κόπος μὲν γὰρ βραχὺς τυγχάνει τῶι βουλομένωι τὴν τῶν σημείων ἀκρίβειαν μετέρχεσθαι, ἡ δὲ ὠφέλεια πολλή· ἑαυτούς τε γὰρ τότε σώιζουσιν οἱ ἄνθρωποι πρῶτον οἱ τὴν παρατήρησιν αὐτῶν ἔχοντες, τῶν τε ἀνατολῶν καὶ ⟨τῶν⟩ δύσεων τῶν ἄστρων, καὶ τοῖς ἄλλοις παραίτιοι γίνονται ἀσφαλείας, προμηνύοντες αὐτοῖς τὰς μελλούσας τοῦ ἀέρος περιστάσεις ἐκ τῶν περὶ οὐρανὸν σημείων.

758—62. τῶι κεἰνων πεπόνησο —: διὸ ἐκείνων τῶν ἄστρων, ⁱτῶν βιωφελῆ χρείαν ἐχόντων, ἐν ἐπιμελείαι ἔσο καὶ γίνωσκε καὶ μάνθανε αὐτούς· ὀλίγος μὲν γὰρ ἐκ τούτων κάματος, τουτέστιν ἐκ τῆς μαθήσεως, πολὺ δὲ τὸ βιωφελές ἐστι τῶι ταῦτα παρατηροῦντι ἀνδρὶ ἐπιφροσύναις καὶ λογισμοῖς. § τὸ δὲ μέλοι δέ τοι: περὶ δὲ τούτων τῶν ἀστέρων μελέτω σοι, ὅσα

---

2 τῶν om AAld ‖ 3 καὶ om Ald | ἀεὶ post ἐκδ. AAld ‖ 4 ἡ γινώσκεις pro lemmate Ald | καὶ ὅσα AAld ‖ 6 κατὰ κ. Ald ‖ 8 αὐτοῦ (pro τοῦ Ὠρ.) Ald ‖ 9 πόδα ζώνην AAld ‖ 11 ἐννεακαιδεκατηρίδος A ‖ 12 τῶν om M ‖ 14 τὰ om M ‖ 15 δεικνύοντες AAld ‖ 18, 9 γάρ ἐστι τῶ βουλομένω βραχὺς τὴν τῶν σημ. μαθεῖν ἀκρ. ἡ AAld ‖ 20 τότε om AAld ‖ 21 τε om Ald ‖ 22 τοῖς om M ‖ 23 τὰς om AAld | ἀστέρος AAld | ἐπιστάσεις AAld ‖ 26 ἐν M: om A; ἐπιμέλειαν ἔχε Ald ‖ 29 ἐν ταῖς post ἀ. add Ald ‖ 30 μέλει Ald | ἄστρων AAld

κεχρημένα καὶ ασφαλῶς εἰρημένα περὶ πλοῦ ἐστιν, ὅταν [ἐν] νηῒ σαυτὸν πιστεύῃς καὶ μέλλῃς εὑρεῖν, πόθεν ἔσται κύματα.

765. *πολλάκι γὰρ καὶ τίς τε*: *πολλάκις γάρ, φησί, γαλήνης οὔσης θεασάμενός τις ἀνὴρ ἔμπειρος σημεῖόν τι διὰ τῆς νυκτὸς προέγνω χειμῶνα ἐπιγενησόμενον καὶ ἀσφαλισάμενος τὴν ναῦν ἐμπειρίαι ναυτικῇ διεσώθη.*

ἄλλως. πολλάκις γάρ, φησί, καὶ γαλήνης ὑπαρχούσης ἀσφαλίζεταί τις περὶ τῆς νηὸς ἐκ τῆς περὶ τὰ μέλλοντα προγνώσεως· οὐ γὰρ ἐκ τοῦ παραχρῆμα γίνονται οἱ χειμῶνες, ἀλλὰ πολλάκις ἐκ τῶν σημείων τεκμαιρόμεθα καὶ μετὰ τρεῖς ἡμέρας χειμῶνα γενησόμενον καὶ μετὰ πέντε.

767, 8. *ἄλλοτε δὲ τρίτον*: *ποτὲ μὲν μετὰ τρεῖς ἡμέρας γίνεται χειμών, ποτὲ δὲ μετὰ ε΄, ⟨ἢ⟩ ἀπροοράτως. ἀλλ' ὅμως ἐκ τῶν πρώην γινομένων σημείων προγινώσκομεν.*

768—71. *καὶ πολλάκις ἀπροσδόκητος ὁ χειμὼν ἐπέρχεται· οὐ γὰρ πάντα οἱ ἄνθρωποι τὰ σημεῖα ἐπιστάμεθα, ἀλλ' ἔτι καταλείπεται ἡμῖν ἄδηλά τινα, ὧν ἴσως ἐξ ὑστέρου δώσει καὶ ἡμῖν ὁ θεὸς τὴν γνῶσιν.*

771. *Ζεύς*: *ὁ οὐρανός, ὡς καὶ ἐν ἄλλωι (265) Ζεὺς αἴτιος. καὶ ὁ μὲν οὐρανός, φησίν, ἐκ τῶν ἐγκειμένων αὐτῶι ἀστέρων δίδωσιν ἡμῖν σημεῖα, ἄλλα δὲ ἡμῖν παρέχει ἡ σελήνη διχότομος γινομένη (τοῦτο δὲ εἶπεν, ἐπεὶ καθ' ἑκάστην αὐτῆς περίοδον διχότομος γίνεται δίς), ἀλλὰ καὶ πεπληθυῖα, τουτέστι πληροσέληνος οὖσα. συμβάλλεσθαι δὲ οὐκ ὀλίγα εἰς πρόγνωσιν εὐδίας τε καὶ χειμῶνος τὸν ἥλιον δύνοντά τε καὶ ἀνατέλλοντα, ἃ μὲν εἰς ὅλον μῆνα, ἃ δὲ καὶ εἰς αὐτὴν τὴν ἡμέραν· ὁ γὰρ ἥλιος ἀνατέλλων σημεῖα τῆς ἡμέρας παρέχει ἤτοι χειμερίου ἢ εὐδινῆς ἢ καὶ δύνων γε τῆς νυκτός. ὁποῖα μέντοι γε μηνὸς*

---

1 *κεχρημένα* Ald: *κεκριμ(μ Ald)ένα* AM ‖ 2 *μέλλεις* A, *μέλης* M, *μέλλης* Ald | *ὁρεῖν* (sic) *καὶ ὁρμᾶν ἐπάνω τῶν κυμάτων δηλαδή*: — Ald ‖ 3 *καί τις τε* om Ald ‖ 5 *προεῖδε* Ald ‖ 6 *θάλασσαν* pro *ναῦν* Ald ‖ 7 *ἤ* pro *ἄλλως* Ald | *γάρ φησι* abscissa A | *καὶ* ante *γαλ.* deesse videtur in A ‖ 7, 8 *οὔσης ἐν τῇι νυκτὶ ἀσφ.* Ald ‖ 8 *τῆς* ante *ν.* om M ‖ 9 *ἐκ τοῦ παραυτίκα δεῖ προσμένειν τὸν χειμῶνα ἀλλὰ* Ald ‖ 10 *καὶ μετὰ ε΄ γενησόμενον* AAld ‖ 12—14 schol om M ‖ 12 *μὲν* Ald ‖ 13 *ποτὲ δὲ καὶ* ante *ἀπρ.* add Ald: om A | *τῶν προγινομένων* Ald ‖ 14 *γινώσκομεν* Ald ‖ 15 *ἀπροσδοκήτως* AAld ‖ 16 *πάντες* A ‖ 17 *ἴ. καὶ ἐς ὕστερον* Ald | *καὶ* om Ald ‖ 18 *τοῦ γνῶναι* A ‖ 19 *δώσει Ζεὺς ἤγουν* Ald | de v. 265 cf adn in ed ‖ 22 *γενομένη ἀμφοτέρωθεν καὶ γὰρ καθ' ἑκάστην* Ald ‖ 25 *τε* alt om Ald ‖ 26 *καὶ* om M ‖ 27 *ἤτοι* om Ald ‖ 28 *εὐδιεινῆς* AAld | *καὶ* om Ald | *τοῦ* ante *μ.* Ald: om AM

σημεῖα γίνεται, ὅτε τὰ ζώιδια διέρχεται, δείκνυσιν (779 sqq.). *ὁ γοῦν Εὔδοξος Κριὸν μέν φησιν ἡλίου διερχομένου μαλακὰ γίνεσθαι πνεύματα, ὁμοίως δὲ καὶ Ταῦρον, ὅταν δὲ Διδύμους, ζεφύρους τε πνεῖν καὶ βορέας ψυχρούς.*

771, 2. *ὃ γὰρ οὖν γενεήν: οὗτος γὰρ ἀεὶ τὸ τῶν ἀνθρώπων γένος ὠφελεῖ πανταχόθεν καὶ ἐν παντὶ ὁρώμενος καὶ παρέχων τὰ φανερὰ σημεῖα.*

τὸ δὲ πάντοθεν εἰδόμενος (772) *οἱ μὲν οὕτως ʿδιὰ γῆς διὰ θαλάττης διὰ παντὸς μέρους τοῦ κόσμουʾ, οἱ δὲ οὕτως ἐξέλαβον ʿδιὰ κληδόνων διὰ μαντειῶν δι᾽ ὀνείρων διὰ σημείων διὰ τῶν παραπλησίων πάντωνʾ.*

778. *σκέπτεο δέ: περισκέπτου δὲ πρῶτον (τουτέστιν ἐν τῇι τρίτηι ἡμέραι, ἧι καὶ φαίνεται) τῶν κεράτων αὐτῆς τῆς σελήνης· ἐξ αὐτῶν γάρ ἐστι καταλαβεῖν τὰ ἐναντία ὄντα ἀλλήλοις, τουτέστι χειμῶνά τε καὶ εὐδίαν.*

779. *ἄλλοτε γάρ τ᾽ ἄλληι μιν: πρὸς τὴν ἑσπέραν καὶ δύσιν, ὅτε καὶ ἀρχὴν ἔχει ἀπὸ συνόδου οὖσα ἡλίου· εἴπομεν γάρ* (p. 475, 2 sqq.), *ὅτι τὰς ἀρχὰς ἀπὸ συνόδου ἔχουσα τοῦ ἡλίου πρὸς τὴν ἑσπέραν φαίνεται, εἰκότως· εἰ γὰρ νομίζεται ⟨ἐν⟩ Ταύρωι εἶναι ὁ ἥλιος περὶ τρίτην ἢ τετάρτην, αὕτη δὲ τοῦ Ταύρου περὶ τριακοστὴν μοῖραν δύνοντος τοῦ ἡλίου, λοιπὸν αὕτη πρὸς τῇι δύσει φαίνεται, ἕως οὗ ⟨ἂν⟩ ὅλος ὁ Ταῦρος κατενεχθῆι. καὶ ἐὰν πάλιν ἧι ἐν Διδύμοις τοῦ ἡλίου μετὰ τοῦ Ταύρου δύνοντος, αὕτη ἄλλας δύο ὥρας ἔχει ὑπὲρ γῆν, ἕως ⟨ἂν⟩ καὶ οἱ Δίδυμοι κατέλθωσι, καὶ οὕτως ὅσον αὐτοῦ ἀποκλίνει, μεῖζον τὸ φῶς αὐτῆς γίνεται καὶ ἀνωτέρω φαίνεται τῆς δύσεως. ὅτε ἀπ᾽*

---

1 *μηνὸς τὰ ζώδια γ.* A | ὅτε Ald: om AM | *γ. σημεῖα δι.* A | *δείκνυσιν* Ald: om AM | *μέντοι* (pro *γοῦν*) A, *γὰρ* Ald ‖ 2 *γίνεσθαι* Ald: *γίνεται* A M ‖ 3 post *T.* Ald *Διδύμους δὲ ζέφυρόν τε πνεῖν* ‖ 4 *πνεῖς καὶ βορέαν* M | 5 *ὁ Ζεὺς* post *ἀεὶ* AAld ‖ 8 *τὸ οὖν* Ald, om A ‖ 8, 10 *ἐξέλαβον ἤγουν* post *οὕτως* Ald ‖ 9 *θαλάσσης* AAld ‖ 9, 10 *οὕτως ἤγουν* Ald ‖ 10 *κλειδόνων* ς ‖ 11 *καὶ διὰ* Ald ‖ 13 *ἐν ᾗι* Ald | *τὰ κέρατα* Ald ‖ 15 *χειμῶνος καὶ* (*τῆς* add Ald) *εὐδίας* AAld ‖ 16 *τ᾽* om AAld | *ἄλλη* AM, *ἄλλην* Ald | *ἤγουν* (pro *καὶ*) Ald ‖ 17 post *συνόδου* AAld *συνοδεύουσα* (*γὰρ* add Ald ς) *πλησίον τοῦ ἡλίου πρὸς* ‖ 18 *ἔχουσα* scripsi: *οὖσα* M ‖ 19 suppl Bekker ‖ 20 *τὴν τρ.* A | *μοῖραν* post *τετ.* Ald | *αὐτὴ* M ‖ 21 *δύναντος* M | *τοῦ* om M | *αὐτὴ* M ‖ 22 *τὴν δύσιν* AAld ‖ 22, 3 *κ. ἐὰν δὲ* Ald ‖ 23 *πάλιν* om MAld | *ἐν* om AM ‖ 23, 4 *δύνοντος* Bekker: *δύναντος* AMAld ‖ 24 *αὐτὴ* M ‖ 25 *αὖ* A, *αὐτὸς* Ald ‖ 26—482, 1 *ἀπ᾽ οὖν* scripsi: *ἀπὸ* A, *ἐπουν* (sic) M, *οὖν ἀπὸ* Ald

οὖν συνόδου οὖσα ἄγει τρίτην ἢ τετάρτην ἡμέραν καὶ ἔχει λαμπρὸν τὸ φῶς, εὐδίας ἐστὶ σημαντική.

ἄλλως. πολλὰς φαντασίας ἔχει, ὡς καὶ ἐπὶ τῶν ὑδάτων· ὡς γὰρ ἂν ταῦτα ἔχοι φύσεως, οὕτω καὶ τὰ ἐν αὐτοῖς ἡμῖν προσπίπτει· ἀλλοῖα οὖν τὰ ἐν θολερῷ καὶ παχεῖ τῷ ὕδατι, ἀλλοῖα δὲ τὰ ἐν καθαρῷ. ποτὲ μὲν οὖν ⟨καθαρόν, ποτὲ δὲ⟩ διάφορον τὸ φῶς ἐστι, καὶ ἡ μορφὴ δὲ κερατοειδής ἐστιν, ὁτὲ δὲ ἀλλοία καὶ διάφορός ἐστιν. ὁ δὲ νοῦς· εὐθὺς ἀπὸ συνόδου οὖσα καὶ γέννης τρίτην ἢ καὶ τετάρτην ἡμέραν διάφορον αὐτῆς τῶν κεράτων ἔχει τὸ σχῆμα.

ἐπιγράφει: τὸ δὲ ἐπιγράφει ἐπιχρωματίζει. ἡ μεταφορὰ ἀπὸ τῶν χρωμάτων. § κερόωσι δὲ (780) κερατοποιοῖσι σχηματίζουσιν εἰς κεραίας.

782. τάων καὶ περὶ μηνός: ἀπὸ γὰρ τῶν περὶ τὴν αὔξησιν αὐτῆς σημείων δυνήσει μαθεῖν περὶ ὅλου τοῦ μηνός, εἰ ὀμβρινὸς ἢ ἀνεμώδης ἢ αὐχμηρὸς ἢ νήνεμος ἔσται.

783—7. λεπτὴ μὲν καθαρή τε —: τουτέστι τριταία οὖσα, εἰ μὲν λαμπρὸν εἴη τὸ φῶς, εὐδίας ἐστὶ σημαντικόν, εἰ δὲ πυρρὸν καὶ ξανθόν, ἀνέμου δηλωτικόν, εἰ δὲ μέλαν καὶ ζοφῶδες, χειμῶνος καὶ ὑετοῦ. ἔστι μὲν οὖν αὐτὸ τὸ σεληνιακὸν φῶς διόλου ἀπαθὲς καὶ λαμπρόν (ἄτοπον γὰρ τοῖς στοιχείοις πάθη διδόναι), ὁ δὲ περικείμενος ἡμᾶς οὗτος ἀὴρ πρὸς πάντα συμπάθειαν ἔχων τοιοῦτον αὐτῆς ἀποδεικνύει τὸ φῶς· ὅτε γὰρ πνεῖν μέλλουσι ξηροὶ ἄνεμοι, τῆς ξηρότητος τῆς ἐσομένης ἀντιλαμβανόμενος ὁ ἀὴρ πυρρὸς γίνεται καὶ ξανθοῦται· καυστικὸν γὰρ ἀεὶ τὸ ξηρὸν καὶ πυρῶδες. καὶ οὗτος ὁ ἀὴρ τοιοῦτος γενόμενος σφάλλει ἡμῶν τὴν ὄψιν οὕτως ὁρᾶν τῆς σελήνης τὸ φῶς, καὶ ἔστι σημεῖον ἀνέμων ξηρῶν.

ἄλλως. τριταίαν ἄγουσα ἡμέραν ἀπὸ συνόδου καὶ οὖσα

---

1 τρίτον A ‖ 2 σημαντικὸν A ‖ 4 ἔχοι Bekker: ἔχῃ AM, ἔχει Ald | τὰ Ald: om AM ‖ 5 γοῦν AAld ‖ 6, 7 supplevi; ποτὲ δὲ καὶ ἡ μ. ὁτὲ μὲν γὰρ κερ. Ald ‖ 7 ἐστι τὸ φῶς AAld ‖ 8 ἐστιν post διάφ. om Ald ‖ 9 γεννήσεως A, γεννᾶται M; γενήσεως περὶ γ' Ald | ἢ om Ald ‖ 9, 10 αὐτῆς post περ. Ald | τ. περάτων libri ‖ 10 τὸ om AAld ‖ 11—13 post l. 16 M ‖ 11 lemma om M Ald ‖ 12 σωμάτων libri ‖ 15 εἰ M: ἢ AAld | ἐστιν post ὀμβρ. AM ‖ 16 νηνέμιος M ‖ 18 ἦι libri | σημαντική AAld ‖ 19 πυρὸν M | ἄνεμον δηλοῖ AAld ‖ 21, 2 διδόναι πάθη AAld ‖ 22 παρακείμενος ἡμῖν AAld | καὶ post ἡμ. M: om AAld ‖ 23, 4 ὅταν — μέλλωσι AAld ‖ 24 τῆς ante ἐσ. om A ‖ 25 πυρὸς MAld | ξανθός AAld ‖ 26 γινόμενος A ‖ 29 omisso lemmate Ald ἢ τριταία οὖσα ἤγουν τρίτην ἡμέραν ἄγ. | ἄγουσα AAld: -αν M

λεπτὴ (οὕτω γάρ ἐστι τριταία οὖσα) καθαρὸν καὶ διαυγὲς τὸ φῶς ἔχουσα εὐδίας ἐστὶ σημαντική. λεπτὴ δὲ οὖσα, τουτέστι τριταία, καὶ σφόδρα ἐρευθὴς οὖσα καὶ πυρῶδες τὸ φῶς ἔχουσα πνευμάτων ἐστὶ δηλωτική. ταῦτα δὲ προειρήκαμεν (p. 482, 20—28).

785. πνευματίη —: ὅταν δὲ ἄνεμοι μέλλωσι πνεῖν, πάλιν τῆς ἐσομένης ὑγρότητος ὁ ἀὴρ ἀντιλαμβανόμενος παχυμερής τις ἐκ τῆς ὑγρότητος γίνεται καὶ ζοφώδης καὶ τοιοῦτον ἡμῖν δείκνυσι μέλαν καὶ ζοφῶδες τὸ τῆς σελήνης φῶς· καὶ γὰρ καὶ τὰς μελαίνας τῶν νεφελῶν καὶ ζοφώδεις ὑετοῦ αἰτίας φαμὲν εἶναι, τὰς δὲ καθαρὰς ἀνέμων· τὰ γὰρ πνεύματα, ἅπερ σίφωνας καλοῦσιν οἱ ναυτίλοι, συστρεφόμενα ἐν τῇι θαλάσσηι ἀνιμᾶται τὸ ὕδωρ καὶ συνιστάμενα παχέα καὶ ζοφώδη γίνεται καὶ ἀποτελοῦντα πιλήσεις νεφελώδεις, ἐξ ὧν φέρεται καὶ ὁ ὑετός. σίφωνας δὲ αὐτοὺς λέγουσιν οἱ ναυτίλοι· πολλάκις γὰρ καὶ αὔτανδρον τὸ σκάφος μετὰ τοῦ ὕδατος ἀνιμῶνται εἰς ὕψος καὶ ἐξασθενοῦντες πάλιν ἀφιᾶσιν. κάτωθεν τοίνυν ἐκ τῆς γῆς πολλαὶ ἀναθυμιάσεις γίνονται, αἳ τὸν ἀέρα μεταβάλλουσιν.

785, 6. παχίων δὲ καὶ ἀμβλείηισι κεραίαις —: παχυμερὴς δὲ καὶ ζοφωδεστέρα φαινομένη καὶ ἔχουσα τὰς κεραίας ἀμβλυτέρας καὶ ἀμαυροτέρας ἐν τετάρτηι ἡμέραι, ὅτε οὐκ ἔδει, εἴγε καὶ σκιὰν πέμπει τεταρταία οὖσα, ὑπὸ [δὲ] νότου ἀμβλύνεται (ὑγρὸς γὰρ καὶ χειμερινὸς οὗτος, καὶ δηλονότι τῇι ὑγρότητι παχυμερῆ ποιῶν τὸν ἀέρα τοιαύτην ὁρᾶσθαι ποιεῖ τὴν σελήνην) ⟨ἢ⟩ ὑετοῦ ἐπιγινομένου.

ἄλλως. ὅταν δὲ παχεῖα ᾖι καὶ ἀμβλυτέρας τὰς κεραίας ἔχηι, νότον προσδοκᾶν ἢ ὄμβρον. ὅταν δὲ τρίτην ἄγουσα ἡμέραν μήτε περικεκλασμένας ἔχηι τὰς κεραίας μήτε ὑπτιάζηται, ζεφύρου σημαντική. εἰ δὲ ἀπὸ τρίτης μέχρι τετάρτης ἡμέρας

---

3 πυρρῶδες A ‖ 4 ταῦτα δὲ πρ. M: om AAld ‖ 5 δὲ om Ald | μέλωσι A ‖ 8 εἰ γὰρ κ. M ‖ 9 νεφῶν A ‖ 10 ἃ Ald ‖ 11 ναῦται AAld, cf l. 14 | συστρεφόμεναι A | ἀνιμῶνται AAld ‖ 12, 3 ἀποτελοῦντα A: -οῦνται M, -οῦσι Ald ‖ 13 πιλώσεις AAld | καὶ om M ‖ 14 ναῦται Ald | ἐπειδὴ πολλάκις καὶ Ald ‖ 16 scripsi: ἐξασθενοῦντας πάλιν M, πάλιν ἐξασθενοῦντα A, πάλιν ἐξασθενοῦντες Ald | ἀφιᾶσι Ald: ἀφίησι AM | κάτωθεν. ἐκ γῆς τ. Ald ‖ 18 super ἀμβλείησι scriptum ἀμβλίησι A | κεραίαις om AAld ‖ 19 δὲ om Ald ‖ 21 πέμπειν τεταρταίαν οὖσαν εἰκός. ὑπὸ Ald | δὲ om AAld ‖ 22 δῆλον ὅτι M ‖ 22, 3 τῇι ὑγρότητι post ἀ. AAld ‖ 23 ἀστέρα A | post σελ. Ald ἢ οὖν ὑπὸ νότου ἀμβλύνεται ἢ ὑετοῦ ἐπιγιγνομένου ‖ 24 ἐπιγενομένου M ‖ 25 pro ἄλλως Ald ἢ καὶ οὕτως ‖ 27 παρακεκλασμένας AAld | ἔχει A ‖ 28 ἀπὸ τρίτης (γ′ Ald) ἡμ. μέχρι τετάρτης (δ′ Ald) AAld

τὸ αὐτὸ τηρήσει σχῆμα, χειμῶνος ὑπογυίου σημαντικὴ τυγχάνει. ὅθεν κελεύει θεωρεῖν αὐτὰς ἀμφοτέρας τὰς κεραίας ἀπὸ πρώτης αὐξήσεως.

786. *τέτρατον ἐκ τριτάτοιο*: *ἐν τετάρτῃ ἡμέραι οὐκ ἔδει εἶναι τὸ φῶς αὐτῆς ἀμενηνόν, ἀλλ᾽ ἔδει καὶ σκιὰν ἀποπέμπειν. ἐκ τούτου δὲ δῆλον, ὅτι ὀφείλουσα ἔχειν ἰσχυρὸν τὸ φῶς ἀμενηνὸν ἔχει. ἆρα οὖν ἐξ αἰτίας τινὸς τοῦτο πέπονθεν; ἢ γὰρ νότῳ ἀμβλύνεται ἢ ἐσομένῳ ὕδατι* (787)*· καὶ γὰρ ὁ νότος ἐξ ὑγροῦ ἀέρος συνίσταται· διὸ καὶ καρηβαρής. πάντα δὲ τὰ πυρώδη διὰ μὲν πυκνοῦ τοῦ ἀέρος ὁρώμενα ἐρυθρὰ φαίνεται, δι᾽ ἀκράτου δὲ καθαρά. καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες πάντες φλογώδους οὐσίας κεκοινωνήκασι καὶ αἰθέρος εἰσὶ πιλήματα. διαυγῆ τοίνυν αὐτὴν φαινομένην σημεῖον εὐδίας ⟨φησίν⟩, ὅτε διὰ ξηροῦ τοῦ ἀέρος φερομένην, ἐρυθρὰ⟨ν⟩ δὲ κίνησιν πνευμάτων διὰ τὴν περὶ τὸν ἀέρα πύκνωσιν, ὃς διαχεόμενος ἀνέμους ποιεῖ· καὶ γὰρ οὐδέν ἐστιν ἄλλο ἄνεμος ἢ ῥύσις ἀέρος.*

Seneca NQ V 1 Plut Plac III 7 p. 374 D. (infra p. 486, 11)

788 sqq. *εἰ δέ κ᾽ ἀπ᾽ ἀμφοτέρων*: *οἱ ἄνεμοι πάλιν οἱ πνέοντες τοῦτον τὸν περικείμενον ἡμᾶς ἀέρα ἐπιπροσθεν ἑαυτῶν διωθοῦνται. καὶ ἐὰν μὲν ζέφυρος πνεύσῃ, ἀπὸ τῆς δύσεως ἐπιπροσθεν αὐτοῦ διωθούμενος τὸν ἀέρα ἔμφασιν ἡμῖν παρέχει τοῦ δοκεῖν τῆς σελήνης τὰ κέρατα ὡς ἐπὶ ἀνατολῆς πρηνῆ φέρεσθαι. ἐὰν δὲ ἀπηλιώτης πνεύσῃ, τότε ἀνάπαλιν ἄνω νενευκότα τὰ κέρατα φαίνονται ὡς ὑπτιούμενα. ἐὰν δὲ βορέας πνεύσῃ, τὸ ἓν κέρας τὸ βόρειον ἐπικαμπὲς γίνεται, πάλιν ἐὰν νότος, τὸ πρὸς νότον κέρας καμπτόμενον. εἴπομεν δέ* (l. 15)*, ὅτι τοῦ ἀέρος ἐστὶν ἡ συνήθεια. ἐὰν δέ, φησί, τρίτην ἡμέραν ἀπὸ συνόδου ἔχουσα ἀμφοτέροις τοῖς κέρασι μήτε νευστάζῃ, ὡς ἐπὶ ἀνατολῆς, μήτε ὑπτία φαίνηται, ἀλλ᾽ αἱ κεραῖαι αὐτῆς ὀρθαὶ οὖσαι κυκλοτερεῖς φαίνωνται, τότε μὲν οὐκ ἔστιν ἄνεμος δη-*

---

1 *τηρήσεις* A | *ὑπογυίου* Bekker: *ὑπογύου* Ald, *-είου* AM | *σημαντικὸν σημαίνει* A, *σημαντικὴ ἐστιν* Ald ‖ 4 *τέταρτον* A ‖ 5 *αὐτῆς* om M ‖ 5, 6 *ἐξ αὐτῆς ἢ δηλονότι ὀφ.* post *ἀπ.* Ald ‖ 6 *δηλονότι* AAld ‖ 9 *μὲν* (pro *δὲ*) A ‖ 11 *διὰ ὁρατοῦ* libri | *δὲ* post *σ.* Ald ‖ 12 *ἐπιλείμματα* AAld, *ἐπιλήμματα* M: corr Thiele ‖ 13 *διαυγὴς τοίνυν καὶ αὐτὴ φαινομένη σημαίνει εὐδίαν* A Ald | *φερομένη* A, *φαινομένη* Ald | supplevi ‖ 14 *κίνησιν* om M ‖ 16 *ῥῶσις* A, *ῥεῦσις* Ald ‖ 17 *κεν ἀπ᾽* M | *ἐπ᾽* AAld ‖ 18 *ἡμῶν* Ald ‖ 19 *ὠθοῦνται* AAld | *ἐὰν* scripsi: *εἰ* AMAld | *πνεύσει* AM | *τῆς* om M ‖ 20 *αὐτοῦ* AM Ald ‖ 21 *ἀνατολὰς* M ‖ 22 *ἄνω* om AAld ‖ 23 *φαίνεται* AAld ‖ 25 *ὁ νότ.* M ‖ 25, 6 *ὡς οὖν εἴπομεν, ὁ ἀὴρ ἐστιν αἴτιος. ἐὰν οὖν φ.* Ald ‖ 28 *ἀνατολὰς* M | *ὕπτιος* Ald | *αὐτῆς* AAld: *αὐταὶ* M ‖ 29 *φαίνονται* A

λονότι, τῇι δὲ ἐπιούσηι ἡμέραι πρὸς τὴν ἑσπέραν μετ' ἐκείνην τὴν νύκτα, ἐν ᾗι τοιάδε ἐφάνη ἡ σελήνη, γενήσεται. καὶ πολλοὶ δέ, φησί, πνεύσονται.

789—795. μήτ' ἔτι νευστάζηι: ἐάν, φησί, τριταίαν ἄγουσα ἡμέραν μήτε ὑπτιάζηι μήτε ἐπινεύηι τοῖς κέρασι, τότε προσδέχου τοὺς ἑσπερίους ἀνέμους, τουτέστι τοὺς ἀπὸ δύσεως, οἷον ζεφύρους καὶ ἀργέστας· ξηρὸς γὰρ ὢν ὁ ἀὴρ εἰς τὰ τοιαῦτα πνεύματα τὴν μεταβολὴν λαμβάνει διὰ τὴν ἑσπερινὴν ψῦξιν. ἐὰν μέντοι γε ἐπιμένηι καὶ τῇι τετάρτηι ἡμέραι ταύτας τὰς κεραίας ἔχουσα, λέγω δὴ ὀρθάς, χειμῶνός ἐστι σημαντική· πλεῖον γὰρ ἡ ξηρασία ἐπιμένουσα κατὰ τὴν ἐπιπλέον ἐκπύρωσιν ἐφ' αὑτῇι ἕλκει τὸ ὑγρόν. ἡ δὲ μεταβολὴ τῶν τῆς σελήνης κεράτων κατὰ διαφόρους καιρούς. ἐν μὲν τοῖς βορείοις καταστήμασι λεπτότερος ὁ ἀὴρ ὑπάρχων ἀκριβῆ τὴν θέαν παρέχει ἡμῖν τότε. διὸ καὶ ἐπινεύειν τὸ τηνικαῦτα δοκεῖ τὰ κέρατα αὐτῆς (794). ὅταν δὲ ᾖι νότιος καὶ ἰκμάδος πλήρης ὁ ἀήρ, τότε φαίνονται ἀνανεύουσαι αἱ κεραῖαι, ἐπειδὴ καὶ πάντα τὰ κάθυγρα πλατύτερα φαίνονται.

792. εἰ δ' αὕτως ὀρθή: τὴν δὲ ὁμοίαν φαντασίαν καὶ τεταρταία οὖσα εἰ παρέχοιτο, ἀρχὴν χειμῶνος ἀθροιζομένου μαντεύεται, ἐμοὶ δοκεῖν πυκνουμένου τοῦ ἀέρος διὰ τὴν τῶν ἀπὸ τῆς ἑσπέρας πνευμάτων ῥύσιν. αἴτιον δὲ τῆς πυκνώσεως τὸ διὰ πολλοῦ τοῦ διαστήματος ἀπὸ τοῦ ἑσπερίου ὠκεανοῦ φερόμενον τὸ πνεῦμα ἀδυνατεῖν τὴν παχύτητα τοῦ ἀέρος ὠθεῖν, ὅθεν ἱσταμένου καὶ ἀντισχομένου ἁπαντᾶι ἡ πύκνωσις.

ἀπορία. διὰ τί δὲ ἐν μὲν τῇι τρίτηι ἡμέραι ἄνεμος, ἐν δὲ τῇι τετάρτηι χειμών; ἐν μὲν τῇι τρίτηι, ὅτι τὸ συνιστάμενον μήπω πεπιεσμένον εὐκίνητόν ἐστιν, ἐν δὲ τῇι δ' ἀδιάλυτον γενόμενον πύκνωσιν δηλοῖ.

794. εἰ δέ κέν οἱ κεράων —: κέρας φησὶν ὑψηλὸν τὸ

---

4 μήτε τι ν. Ald ‖ 4,5 ἡμέραν ἄγουσα AAld ‖ 5 μήτι ὑ. M | ἐπινεύει A ‖ 9 γε om Ald ‖ 10 πλείων AAld ‖ 11 ἐπὶ πλείω A, ἐπιπλείω M ‖ 11,2 ἐν αὐτῇ libri ‖ 14 ἡμῖν παρέχει AAld ‖ 16 ᾖι post ἀήρ AAld | νότιος om A | τινὸς post ἰκμ. add AAld | φαίνεται AAld ‖ 17 ἐπεὶ AAld ‖ 18 φαίνεται Ald ‖ 19 εἰ δὲ τὴν AAld ‖ 20,1 μαντεύοιτο A, μαντεύει Ald ‖ 21 πυκνωμένου M ‖ 23 τοῦ ante δ. om M ‖ 23,4 τὸ φερ. Ald, τὸ om A ‖ 25 ἀνισχομένου M ‖ 26 ἀπορία om Ald ‖ 27 λύσις ante ἐν add A ‖ 28 εὐκίμητον A ‖ 28,9 γινόμενον M ‖ 30 κε A

βορειότερον. ὁ δὲ λόγος· τὸ ὑψηλότερον αὐτῆς τῶν κεράτων ἐὰν ἐπινεύῃ ὡς ἐπὶ τὸ ἔμπροσθεν ὀξυνόμενον, προσδόκα τὸν βορέαν πνευσόμενον, ὅτε δὲ ὕπτιόν ἐστι τὸ προειρημένον κέρας, τὸν νότον· ἀντιπνεῖ γὰρ ὁ νότος τῶι βορρᾶι, καὶ ὃ μὲν ὕπτιον ποιεῖ τὸ κέρας, ὁ δὲ βορρᾶς πρηνές.

ἄλλως. τὸ μετέωρον δὲ κέρας τῆς σελήνης (τουτέστι τὸ βόρειον) ἐὰν μὲν ἐπινεύῃ, προσδέχου τὸ πνεῦσαι βορρᾶν, ἐὰν δὲ ὕπτιον ⟨ᾖ⟩, νότον. μετέωρον δὲ κέρας τὸ βόρειον κέκληκεν ὡς πρὸς τὴν ἡμετέραν φαντασίαν.

796—8. *αὐτὰρ ἐπὴν τριτόωσαν —*: *ἑτοίμης οὔσης διχοτόμου τῆς σελήνης τὸ πρὸς εὐδίαν καθαρὸν περιλαμπές ἐστι, τὸ δὲ ἐρευθόμενον ἐνεμώδες, τὸ δὲ διασπάσματα ἔχον καὶ μελανίας λαμβάνον ἐπομβρίας δηλοῖ. ἐπὰν δὲ τριταίαν οὖσαν ἀπὸ συνόδου ὅλην τὴν μηνοειδῆ κύκλος περιλάβῃ πανταχόθεν φοινισσόμενος, σφόδρα ἂν τότε χειμερινὸς εἴη καιρός. καὶ ἐν τοῖς πρώτοις (784, 5) εἶπε λεπτὴ δὲ καὶ οὐ μάλ' ἐρευθὴς πνευματίῃ. ἐκ δὲ τῶν πνευμάτων τεκμαίρεται τοῦ καὶ χειμῶνα γενέσθαι.*

796, 7. *περὶ κύκλος ἕλισσηι*: *ἐάν, φησίν, αὐτὴν τριταίαν οὖσαν κύκλος περιίσχηι ἐρευθόμενος πανταχόθεν, χειμῶνα γενησόμενον ἴσθι. σαφὴς δὲ ἡ τούτου αἰτία· συγκαταδυόμεναι γὰρ αἱ ἀκτῖνες τῆς σελήνης ὑγροῖς τοῖς νέφεσι κωλύονται μὲν ἐξικνεῖσθαι μέχρις ἡμῶν διὰ τὴν παχύτητα τῶν νεφῶν, αὐτὸν δὲ τὸν κύκλον τὰ νέφη διαυγοῦσι καὶ ἀνθύνουσιν.*

ἄλλως. περὶ δὲ κύκλος ἕλισσηι: *ὅταν ἴδῃς, φησί, περὶ τρίτην ἡμέραν κύκλον τινὰ ἐρυθρὸν περὶ αὐτὴν ἔχουσαν, σημεῖόν ἐστι χειμῶνος. καὶ ὅσωι μᾶλλον πυρρότερος ὁ κύκλος θεωρεῖται, σφοδρότερον χειμῶνα σημαίνει.*

799 sq. *σκέπτεο δ' ἐς πληθύντε —*: *περισκόπει δὲ εἰς τὴν πανσέληνον καὶ εἰς ἀμφότερα αὐτῆς τὰ διχάσματα, αὐξομένης τε καὶ πάλιν εἰς μηνοειδῆ δευτέραν ἐρχομένης.*

---

1 *βόρειον* AAld ‖ 2 *συν(ν A)εύῃ* AMAld ‖ 3 *ὅτι* M | *προκείμενον* AAld ‖ 6 *ᾖ* (pro *ἄλλως*) Ald | *δὲ* om Ald ‖ 7 *τὸ* A: *τοῦ* M, om Ald | *βορέαν* Ald ‖ 10 *διχοτόμου μὲν οὔσης τ.* Ald ‖ 13 *ἐπομβρίαν* AAld ‖ 14 *περιλάβοι* A ‖ 15 *καὶ* AM: *ὡς* Ald ‖ 16 cf ad p. 459, 3 | *εὖ* Ald, om A | *μάλα* AAld ‖ 17 *τὸ* Ald ‖ 18 *δὲ* post *περὶ* A, cf ad l. 24 | *ἕλισσει* M | sequitur post lemma schol l. 24 (lemmate *ἄλλως* in M instructum) AAld | *ἢ ἐὰν* Ald | *φησὶν* om Ald ‖ 19 *περιέχῃ* A, *περίσχῃ* Ald ‖ 20 *ἐγκαταδ.* M ‖ 22 *μέχρι* Ald ‖ 23 *ἀλδαίνουσιν* AAld ‖ 24 *περὶ — ἑλ.* om M, *ἄλλως* om Ald ‖ 25 *αὐτὴν* libri ‖ 26 *πυρώτερος* M ‖ 27 *χειμ. σημ. σφ.* Ald ‖ 28 *ἐς* bis Ald ‖ 29 *αὐξομένης* Ald: *ἀρξαμένης* AM ‖ 30 *ἐς* Ald

ἐς πληθύν τε: πληθὺν δὲ λέγει τὴν πανσέληνον, τὴν διχόμηνον· πεπλήρωται γὰρ τὸ τηνικαῦτα φωτός.

καὶ ἀμφότερον διχόωσαν: τὴν διχότομον ἐξ ἀμφοτέρων, ἵνα λέγηι τὴν ἀπὸ συνόδου ὀγδοαίαν οὖσαν διχότομον καὶ τὴν ἐν τῆι ἀποφθίσει δευτέραν διχότομον (ἣ δὲ τριτάτη ἀπιόντος 810). *'διχότομον' τὴν σελήνην σημαίνει ἐς δὶς τοῦ μηνὸς γίνεσθαι. ὁ δὲ λόγος· τὴν χρόαν αὐτῆς ἐν ταῖς φάσεσι ταύταις ⟨σκόπει⟩· ὅταν μὲν γὰρ καθαρὰ ἦι δι' ὅλου τοῦ κύκλου, σημαίνει εὐδίαν, ⟨ὅταν⟩ δὲ ἄλλοτε ἄλλο μέρος τοῦ κύκλου μελαίνηται, ὄμβρους δεῖ προσδέχεσθαι. τὰ μέντοι σημεῖα ταῦτα.*

805—10. *σήματα δ' οὔτ' ἂρ πᾶσιν: οὐ πάσαις ἡμέραις, φησίν, ἐφαρμόζεται τὰ σημεῖα ταῦτα, ἀλλὰ τὰ μὲν περὶ τὴν τρίτην ἢ τετάρτην ἡμέραν τοῦ μηνὸς γινόμενα σημεῖα μέχρις ὀγδόης δεῖ παρατηρεῖν, τουτέστιν αὐξανομένης διχοτόμου, ἀπὸ δὲ τῆς διχοτόμου μέχρι τῆς πανσελήνου, καὶ ἀπὸ πανσελήνου μέχρι διχοτόμου φθίνοντος μηνός, εἶτα ἀπὸ ταύτης μέχρις ἡμερῶν πρὸ τῆς συνόδου τριῶν ἢ τεσσάρων.*

ἄλλως. τουτέστι 'τὸ σημεῖον τὸ γιγνόμενον ἀπὸ τρίτης ἢ τετάρτης ἡμέρας τῆς σελήνης μὴ ἔλπιζε τοῦτο ἕως τοῦ τέλους ἐκβῆναι, ἀλλὰ τὰ ἀπὸ τρίτης ἢ τετάρτης ἕως ὀγδόης, τὰ δὲ ἀπὸ ὀγδόης ἕως πεντεκαιδεκάτης', τουτέστι διχομήνου οὔσης.

806. *ἀλλ' ὅσα μέν: συνάπτει αὐτὰ ταῦτα μέχρι τῆς δευτέρας διχοτόμου, ἀφ' ἧς μέχρι τρίτης ἢ τετάρτης φαινούσης. τούτων δὲ αἴτιον οἱ Πυθαγορικοὶ τὸν ἕβδομον ἀριθμὸν ὑποτί-*

---

1 *πληθὺν δὲ λέγει* M, *πληθὺν μὲν οὖν τὴν π. λέγει* Ald ‖ 1, 2 *τὴν διχ.* om M ‖ 3 *ἀμφότερον δὲ διχόωσαν* post *φωτός* (2) Ald | *διχότομον* Ald: *διχόμηνον* AM ‖ 5 *ἀποφθίσει* Ald: *ἀποκρίσει* AM | *ἑτέραν* Ald | *ἡ δὲ* om A | 5—8 post *διχ.* Ald *ἣν φασιν ἀπιόντος τρίτην. ὁ δὲ λόγος· ὅταν τὴν σελήνην διχότομον ἴδῃς ἀμφότερον· δὶς γὰρ τοῦ μηνὸς γίνεται τοιαύτη τὴν χρόαν αὐτῆς ἐν ταῖς φάσεσιν· ὅταν μὲν γ.* ‖ 6, 7 *ὁ δὲ λόγος* ante *διχότομον* libri: traieci ‖ 6 *ἐς* A: *εἰ* M ‖ 7 *γίνεται* A | *φάσεσι* A, cf Ald ‖ 8 supplevi ‖ 9 *εὐδίαν σημαίνει* AAld | post *σημ.* Ald *ἐρυθρὰ δὲ ἀνέμους ὅταν δὲ ἄλλο μ.* | *εὐδ. ἀλλ' ὅτε δὲ* AM, cf Ald ‖ 10 *ὄμβρον* Ald | *τὰ — ταῦτα* om Ald ‖ 11, 2 lemma ante *ἀλλὰ* M | *οὐ — ταῦτα* om M ‖ 12 *φησίν* om M | *μὲν* om Ald | *τὴν* om MAld ‖ 13 *ἢ δευτέραν* Ald | *γινόμενα τοῦ μηνὸς* Ald | *μέχρι* MAld ‖ 15 *τῆς* prius A: om MAld | *τῆς* alt AM: om Ald ‖ 18—21 schol om M ‖ 18 *ἢ τὸ σημεῖον* incipit Ald ‖ 18, 9 *ἀπὸ γ' ἢ δ' ἡμέρας* Ald ‖ 19 *τοῦ* om A ‖ 20 *η'* Ald ‖ 21 *ιε'* AAld ‖ 22, 3 post lemma Ald *ἤγουν τὰ μὲν ἀπὸ τρίτης ἢ δ' μέχρι ὀγδόης, τὰ δὲ ἀπ' αὐτῆς μέχρι ιε', ἀπὸ δὲ ταύτης μέχρι τῆς* ‖ 22 *συμπίπτει* A, cf ad l. 23 ‖ 23 *τετάρτης ἢ τρίτης* M | *συμπίπτει γὰρ οὕτω κατὰ τάξιν αὐτά* post *φαιν.* Ald ‖ 24 *αἴτιοι* A, *αἰτίαν* Ald | *ζ'* AAld

θενται, φυσικώτατόν τε καὶ θαυμαστὸν εἶναι λέγοντες. καὶ τὸ μὲν πλησίον τοῦ ἄστρου φαίνεται λευκὸν διὰ τὴν τοῦ φωτὸς ἐπικράτειαν, τὸ δὲ ἐξῆς τούτου μέλαν διὰ τὴν πρὸς τὰ νέφη παράθεσιν.

811—8. *εἰ δέ κέ μιν περὶ πᾶσαν —: ἐὰν δὲ κύκλωι περὶ πᾶσαν τὴν σελήνην ἁλωαὶ κείμεναι περιφέρωνται, ἢ γ' ἢ β' ἢ καὶ δ', ἐπεὶ πολλάκις καὶ δ', ἢ α', ἀπὸ τῆς μιᾶς, ἐὰν μὲν ῥηγνύ⟨η⟩ται, ἄνεμον ἀπὸ τῆς χύσεως (ῥηγνυμένην γὰρ τὴν διαχεομένην), ἐὰν δὲ κατ' ὀλίγον μαραίνηται, γαλήνην δεῖ προσδοκᾶν. ἐὰν δὲ δύο γένωνται περὶ αὐτὴν κύκλοι, χειμῶνα σημαίνει. ἐὰν δὲ καὶ τρεῖς ἢ καὶ τέσσαρες, μείζονα τὸν χειμῶνα. καὶ ταῦτα μὲν τὰ περὶ τὴν σελήνην λαμβανόμενα σημεῖα περὶ τοῦ καταστήματος τοῦ ἀέρος ταύτην ἔχει τὴν κατάληψιν.*

ἁλωαὶ κυκλώσονται: τῶν γινομένων καὶ ἐν τῶι μετεώρωι συνισταμένων μεταξὺ γῆς ⟨καὶ οὐρανοῦ⟩ τὰ μέν ἐστι κατ' ἔμφασιν, τὰ δὲ μικτά, τὰ δὲ καθ' ὑπόστασιν, κατ' ἔμφασιν μὲν οἷον ἶρις ἅλως, μικτὰ δέ, παρήλιοι, καθ' ὑπόστασιν δὲ κομῆται δοκίδες λαμπάδες ἄιττοντες. ἅλω⟨ε⟩ς δὲ εἴρη⟨ν⟩ται, ὅτι τὰς ἅλωνας τῶι σχήματι κυκλοτερῶς διαγράφουσιν. καὶ ἔστιν ἡ ἅλως περὶ τὴν σελήνην κύκλος, ⟨οὗ⟩ καὶ αὐτὴ ἐν μέσωι ἀμυδροτέρα φαίνεται. ἡ τοίνυν ὄψις κατὰ τὴν ἔνστασιν τοῦ ἀέρος τραχέσι μὲν προσπεσοῦσα αὐτοῦ που καταπαύεται μηκέτι λαμβάνουσα ἑτέρας φορᾶς ἀρχήν, λείοις δὲ καὶ ὁμαλοῖς προσφερομένη (οἷά ἐστι τὰ ἔσοπτρα καὶ τὰ ὕδατα) ἤτοι ἐνδοτέρω διαδύεται οἱονεὶ ἐγκατακλωμένη, ἢ, εἴπερ τοῦτο ἀδυνατεῖ ποιεῖν

1, 2 post *λέγ.* Ald *τοῦ δὲ ἐν διαφόροις μέρεσι μελαίνεσθαι τὴν σελήνην αἴτιον τὸ μὲν* ‖ 2 *λευκὸν φαίνεσθαι* Ald ‖ 4 adscripsit in margine interiore post schol ad v. 806 prima fortasse manus *ζ*$^{\tau}_{\eta}$ *ὄπιθεν γυρίσαι ἡ φύλλον καὶ εὑρήσ⟨εις⟩ τὸ λεῖπον, οὗ ἡ ἀρχὴ 'εἰ δέ κέ μιν περὶ πᾶσαν'* ‖ 5 *περὶ πᾶσαν* om AAld ‖ 6 *ἢ β'* (*δευτέραν* A) *ἢ γ'* AAld | *τρεῖς* M ‖ 7, 8 *ἐπεὶ πολλάκις καὶ δύο καὶ γ' ἀπὸ τῆς* M, *ἐπεὶ καὶ δευτέραν καὶ τρίτην ἀπὸ τῆς* A, *ἐπεὶ γίνονται πολλάκις καὶ τέσσαρες ἀπὸ μὲν τῆς* Ald ‖ 8 *δὲ* (pro *γὰρ*) A Ald ‖ 8, 9 *λέγει* post *διαχ.* Ald ‖ 11 *καὶ* post *δὲ* om M ‖ 11, 2 *καὶ τὰ μὲν* Ald omisso *τὰ* altero ‖ 12 *ἐπὶ τοῦ* Ald ‖ 14 omisso lemmate scholia coniunxit Ald inserto *δὲ* post *τῶν* ‖ 15 suppl Bekker; *τοῦ οὐρανοῦ καὶ τῆς γῆς* Ald ‖ 15, 6 *ἐστι* post *ἔμφασιν* Ald ‖ 17 *ἅλως* om AAld | *παρήλιος* Ald ‖ 17, 8 *καθ' — κομῆται* om M ‖ 18 *κομῖται* A, *κομεῖται* Ald | *πωγωνίαι* post *κ.* add Ald | *ἄττοντες* libri ‖ 19 post *ἅ.* finem scholii (: —) M ‖ 20 *ἡ* om AAld | *ἅλλως* A, *ἄλλος* Ald ‖ 22 *προπεσοῦσα* M ‖ 24 *ἢ τὰ ἐνδ.* A

δι᾽ ἀντιτυπίαν τῶν σωμάτων, ἀνακλᾶται ἐμφανίζουσα κατ᾽ ἐκεῖνον τὸν τόπον τὰ ὁρώμενα, ἀφ᾽ οὗ καὶ τὴν ἀρχὴν τῆς ἀνακλάσεως ποιεῖται. ὅταν τοίνυν περί τι ἄστρον νέφη συστῆι συνεχῆ καὶ κοῖλα, ἐνταθῆι δὲ ὁ ἀὴρ ἐπὶ ταῦτα, εἶτα ἀνάκλασιν σχῆι εἰς αὐτὸ τὸ ἄστρον, ἐμφαίνεται τοῦτο καθ᾽ ἑκάστην ἀνάκλασιν· καὶ οὕτως ἡ ἅλως ἀποτελεῖται. καὶ τὸ μὲν πλησίον τοῦ ἄστρου φαίνεται λευκὸν διὰ τὴν τοῦ φωτὸς ἐπικράτειαν, τὸ δὲ ἔξω τούτου μέλαν διὰ τὴν πρὸς τὰ νέφη παράθεσιν γίνεται. περὶ δὲ τὴν σελήνην ἐὰν μία γένηται, εὐδίαν προσδόκα (διαλύεται γὰρ ἐκ τοῦ κατ᾽ ὀλίγον ἡ πύκνωσις), εἰ δὲ ῥήγνυται, ἄνεμον ἐξ ἐκείνου τοῦ τόπου, καθ᾽ ὃν τὴν ῥῆξιν λαμβάνει, εἰ δὲ δύο, χειμῶνα προσδόκα. καὶ ἔτι μείζονα, ἐὰν τρεῖς. οὐ μόνον δὲ περὶ σελήνην ἀλλὰ καὶ ἥλιον γίνεται καὶ ἀστέρας.

τί ἐστιν ἅλως; ἡ ὑγροῦ τοῦ ἀέρος ἐπικειμένου καὶ παχέος ὄντος φαντασία φωτὸς κυκλοειδοῦς περὶ τὸν ἥλιον καὶ τὴν σελήνην συνισταμένη.

817. *καὶ εἰ ῥηγνύατο μᾶλλον*: *καὶ εἰ μειζόνως ἀπολύεται. προείπομεν δέ* (p. 485, 20), *ὅτι διαρρήγνυται καὶ διακρουομένη μᾶλλον ἁπλοῦται* ⟨*καὶ*⟩ *μὴ δυναμένη διικνεῖσθαι πλείονα τὴν ὑποκειμένην παχύτητα τοῦ ἀέρος δεικνύει.*

819. *ἠέλιοιο δέ τοι μελέτω —*: *πληρώσας τὸν περὶ τῶν τῆς σελήνης τεκμηρίων λόγον ἐπὶ τὰ τοῦ ἡλίου σημεῖα ἔρχεται, ἅπερ καὶ αὐτὰ ἀκολούθως καὶ ἀκριβῶς διδάσκει. τὸ δὲ ἑξῆς· περὶ δὲ τοῦ ἡλίου, φησί, μελέτω σοι ἑκατέρωθεν πορευομένου· τῶι γὰρ ἡλίωι μᾶλλον τῆς σελήνης ἐπίκειται τεκμήρια ἐοικότα καὶ ἁρμόζοντα τοῖς σκοποῦσι τἀληθῆ, καὶ δύνοντι οὖν καὶ ἀνατέλλοντι· τοῦτο γάρ ἐστι τὸ ἑκάτερθεν λόντος· καὶ γὰρ ἀνατέλλοντος αὐτοῦ ἔστιν ἰδεῖν τεκμήρια καὶ δυομένου ὁμοίως.*

---

1 *τὰ* ante *κατ᾽* Ald ‖ 2, 3 *κατακλάσεως* A ‖ 4 *περὶ* post *ἀὴρ* AAld ‖ 5 *εἰς ταὐτὸ* M ‖ 8 *δὲ περὶ* libri ‖ 9 *καὶ* ante *ἐὰν* add Ald ‖ 11 *τοῦ μέρους* Ald | *ὃ* Ald ‖ 12 post *τρεῖς* Ald *καὶ ἔτι μᾶλλον μελαινομένη καὶ ἔτι μᾶλλον εἰ ῥήγνυται. ἡ δὲ αἰτία, διότι διακρουομένη μᾶλλον ἁπλοῦται μὴ δυναμένη διικνεῖσθαι. διὸ καὶ πλείονα τὴν ὑποκειμένην παχύτητα τοῦ ἀέρος δεικνύει*, cf schol l. 17—20 ‖ 13 post *ἀστέρας* Ald *ὁρίζεται δὲ οὕτως· ἄλλως ἐστὶν* ‖ 14 *ἡ* om Ald ‖ 16 *συνισταμένην* Ald, quae pergit *ταῦτα μὲν δὴ περὶ τῶν ἀπὸ σελήνης σημείων* ‖ 17—20 schol v. 817 M: om AAld (cf ad l. 12) ‖ 17, 8 *ἀπολείπεται* primitus, dein *ἀπολύεται* A ‖ 21 sqq. *περὶ ἡλίου* in margine A ‖ 21 *ἠέλιω* A, *ἠέλιοι* M | *τὸν* om M | *τῶν* et 22 *λόγον* om A ‖ 24 *δὲ* om AAld | *πορευομένου* Ald: *-ω* AM ‖ 25 *τὰ* ante *τεκμ.* M: om AAld ‖ 26, 7 *δύνοντος — ἀνατέλλοντος* Ald ‖ 27 *τὸ* om M | *ἑκατέρωθεν* M

ἄλλως. παρατήρει, φησί, μάλιστα τὰ περὶ τὸν ἥλιον γινόμενα σημεῖα· καὶ γὰρ ἀνατέλλων ⟨καὶ δύνων⟩ ἀληθῆ τεκμήρια παρέχει.

820. *ἀπορία. μᾶλλον ἐοικότα [σημεῖα]: διὰ τί τὰ τοῦ ἡλίου σημεῖα βεβαιότερα τῆς σελήνης ἔφη; ἐπειδὴ πολλὴν ἔχων ἰσχὺν πρὸς τὸ διαλύειν ταῖς ἀκτῖσι τὰ ὑποπίπτοντα παχέα νικώμενος ὑπ᾽ αὐτῶν μείζονα τὸν χειμῶνα προαπαγγέλλει.*

καὶ ἄλλως. αἱ τοῦ ἡλίου πρὸς τὸν ἀέρα διαφοραὶ κυριώτεραι τῶν τῆς σελήνης εἰσίν· δυναστεύων γὰρ ἡμέρας σαφέστερα δείκνυσι τὰ τεκμήρια. δεύτερον δέ, ὅτι λαμπρότερός ἐστι, καὶ εἰ μὴ μεγάλη καὶ ἰσχυρὰ τοῦ ἀέρος εἴη μεταβολή, οὐκ ἂν κρατηθείη· τὰς γὰρ μικρὰς καὶ ἐλαφρὰς ἀναστέλλει. οὕτω ΠΛΟΥΤΑΡΧΟΣ (fr 1 W.).

821. *ἀπορία. ἀμφότερον δύνοντι: διὰ τί τότε μόνον, καὶ μὴ ὅτε μεσουρανεῖ; τότε γὰρ φαίνεται ⟨διὰ⟩ τοῦ ἀέρος τοῦ ὑπεργείου τοῦ δεχομένου πάχη καὶ μεταβολὰς διὰ τὰς ἀναθυμιάσεις, ἃς ἡ γῆ ἀναδίδωσι, τοῦ ἡλίου ταῦτα κινοῦντος· ἐξαρθεὶς γὰρ καὶ ὑψωθεὶς τὸ οἰκεῖον ἑαυτοῦ χρῶμα εἰλικρινὲς ἐμφαίνει.*

822. *μή οἱ ποικίλλοιτο: ἐὰν οὖν μέλλοντος ἀνατέλλειν αὐτοῦ ἴδῃς τὸν κύκλον μὴ ἔχοντα λαμπρὸν καὶ εἰλικρινὲς τὸ φῶς, γίνωσκε χειμῶνα ἐπιγενησόμενον. ἐὰν δὲ δύνειν μέλλων καθαρὸς καὶ ἀνεπιθόλωτος ἐπὶ τὴν δύσιν χωρῇι, τῇι ἑξῆς ἡμέραι εὐδίαν προσδόκα. ὅταν μὲν οὖν μέλλοντος ἀνατέλλειν κοιλότητος φαντασίαν ὁ κύκλος ἐμφαίνηι, καὶ τῶν ἀκτίνων τινὲς μὲν πρὸς νότον, τινὲς δὲ πρὸς βορρᾶν τρέπωνται, τινὲς δὲ καὶ κατὰ μέσον τὸν κύκλον, ἄνεμον ἢ ὄμβρον δεῖ προσδοκᾶν.*

1—3 om M | lemma om et scholia coniunxit Ald ‖ 1 *οὖν* post *παρ.* Ald ‖ 2 supplevi ex Ald ‖ 3 *μᾶλλον* ante *παρέχει* Ald ‖ 4 *ἀπορία* om A Ald | lemma om Ald, *δὲ* post *τί* Ald | *σημεῖα* om M ‖ 4,5 *τοῦ ἡλίου τὰ σημεῖα* A ‖ 5 *φησι* ante *τῆς* add M: delevi | *ἔφη* M: *καὶ λέγει* A, om Ald ‖ 7 *προαγγέλλει* AAld, *προσαπαγγέλλει* M ‖ 8 *ἢ ὅτι* Ald omisso lemmate | *καὶ* om A ‖ 10 *δεύτερον δὲ* AM: *καὶ αὖθις δὲ* A, *ἢ* Ald ‖ 12 *ἀνατέλλει* AAld ‖ 14—19 schol Plutarcheum esse color Wyttenbachio prodere videbatur ‖ 13—16 post *Πλ.* omisso lemmate Ald *διὰ τί δὲ ἀνατέλλοντος μόνον καὶ δύνοντος καὶ οὐ καὶ μεσουρανοῦντος; ἢ ὅτι τότε φαίνεται διὰ τοῦ ὑπεργείου ἀέρος τοῦ δεχομένου πάχη* ‖ 14 *ἀπορία* om A ‖ 18 *δὲ* (pro *γὰρ*) Ald | *αὐτοῦ* AAld | *εἰλικρινῶς* M ‖ 20 *οὖν* om AAld ‖ 20, 1 *αὐτοῦ ἀνατ.* AAld ‖ 21 *ἴδοις* A ‖ 23,4 *τῆς ἑ. ἡμέρας* Ald ‖ 24 *ὅτε μὲν* (omisso *οὖν*) A, *ὅταν δὲ* Ald ‖ 25 *ἐμφαίνει* A ‖ 26 *βορᾶν* MAld | *τρέπονται* AAld | *καὶ* om M

ἄλλως. μή οἱ ποικίλλοιτο: τῶι ἀπαγορευτικῶι καὶ ἐξ ἀρχῆς χρησάμενος ἐμφαίνει τὸ ἀπευκτὸν καί φησι, μηδαμῶς ποικίλος καὶ κατάστικτος φανείη σοι ὁ τοῦ ἡλίου κύκλος νεωστὶ ἀνατέλλοντος, ὁπόταν εὐδινῆς ἡμέρας εἰς χρείαν ἔλθῃς· διὰ γὰρ τὴν τοῦ ἀέρος παχυμέρειαν καὶ ὑγρότητα ἐμπίπτουσα ἡ ἀκτὶς τοιοῦτον ὁρᾶσθαι ποιεῖ, ποικίλον καὶ κατάστικτον, τὸν κύκλον, ὥστε καὶ ἐρυθρὸν εἶναι φαίνεσθαι. τὸ δὲ ὅμοιον συμβαίνει καὶ ἐπὶ τῆς ἴριδος. εἰς ὑγρότητα ἀέρος καὶ παχυμέρειαν ἐμπίπτων ὁ ἥλιος ἀποτελεῖ τὴν ἶριν ταύτην ποικίλην τινὰ καὶ κατάστικτον, περὶ ἧς καὶ ἑξῆς διαλαμβάνει.

ἄλλως. εἰ, φησί, περὶ τὴν ἀνατολὴν ποικίλος φαίνοιτο ὁ περὶ τὸν ἥλιον κύκλος, χειμῶνα γενησόμενον ἴσθι εἰκότως· συμβαίνει γὰρ τοῦτο διὰ τὴν τῶν ἀνέμων ἐπιπρόσθησιν, ὅπερ οὐκ ἐᾶι καθαρὸν ἡμῖν φαίνεσθαι αὐτόν. καθαρὸς μέντοι, φησίν, ἀνατέλλων καὶ μηδὲν ἔχων σημεῖον εὐδίας ἐστὶ σημαντικός. ὁμοίως δὲ κἂν δύνηι καθαρὸς καὶ ἀνέφελος, τὴν ἐπιοῦσαν ἀγγέλλει ἡμέραν εὐδινήν· 'βουλύσιον' μὲν γὰρ 'ὥραν' (825) τὴν δύσιν κέκληκε, μαλακὴν δὲ αἴγλην (826), ἐπεὶ τὸ πολὺ τοῦ πυρώδους αὐτοῦ πρὸς ἑσπέραν πέπανται· τοῦ γὰρ περὶ αὐτὸν ἀέρος μηδεμίαν ἔχοντος πύκνωσιν, ἀλλ' ὄντος ἀτρέπτου, καθαρὰ καὶ ἡ ἀνατολὴ καὶ ἡ δύσις γίνεται αὐτοῦ.

824. φαίνοιτο δὲ λιτὸς ἁπάντη: ὁ γὰρ λιτὸς καὶ ἁπλοῦς διὰ ἀκεραίου ἀέρος στίλβων ἥλιος εὐδίας δηλωτικός ἐστιν.

825. εἰ δ' αὕτως καθαρόν μιν: ἀπόκλισιν λαμβάνων

---

1 *μή οἱ ποικ.* om M; lemma om et scholia δὲ inserto coniunxit Ald | *μ̄* pro *καὶ* Ald (hinc *μὴ* Bekker) ‖ 2 *ἀπευκταῖον* Ald ‖ 3 *φανείη* AM: *φανῆι* Ald ‖ 4 *εὐδιεινῆς* AAld ‖ 5 sqq. post *παχυμέρειαν* AAld *ἐμπίπτων ὁ ἥλιος* (*ἀποτελεῖ* add Ald) *τὴν ἶριν ταύτην ποικίλην τινὰ καὶ κατάστικτον φανείη σοι ὁ τοῦ ἡλίου κύκλος νεωστὶ ἀνατέλλοντος, ὁπόταν εὐδιεινῆς ἡμέρας εἰς χρείαν ἔλθῃς· διὰ γὰρ τὴν τοῦ ἀέρος παχυμέρειαν ἐμπίπτων ὁ ἥλιος ἀποτελειῶν τὴν ἶριν ταύτην ποικίλην τινὰ καὶ κατάστικτον. περὶ ἧς καὶ ἑξῆς διαλαμβάνει* (*τινα — ποικίλην* om Ald) AAld ‖ 7 *ὥσπερ* AM ‖ 10—13 post *διαλαμβάνει* Ald *τοῦτο δὲ συμβαίνει διὰ τὴν τῶν* ‖ 11 *ἐὰν* libri ‖ 13 *ἐπιπρόσθεσιν* A | *ἅπερ* A, *ἥτις* Ald ‖ 15 *ἀντέλλων* A ‖ 16 *δὲ* om AAld ‖ 17 *εὐδιεινήν* AAld ‖ 17—21 (*βουλύσιον — αὐτοῦ*) post p. 492,5 (*σημεῖον*) Ald | post *εὐδ.* Ald *εἴθε δέ, φησί, φαίνοιτο λιτὸς ἁπάντη· ὁ γὰρ* ut l. 22 ‖ 17 *βουλ. δὲ ὥρην* Ald ‖ 18 *ἐπειδὴ* AAld ‖ 19 *πυρρώδους* A ‖ 25 post lemma Ald *ὁ νοῦς οὕτως· εἰ κατὰ τὸ δειλινὸν καθαρὸς φαίνοιτο καὶ ἀνέφελος δύνοι καὶ ἡ οὖς ἐπερχομένης ἥγουν ἐπὶ τὴν αὔριον εὐδία ἔσται. δείελον δέ φησιν αὐτόν, ἐπειδὴ ἀπ.* ‖ 25 *ἀπολαμβάνων* Ald

ἀμβλεῖαν ποιεῖται τὴν τῆς ἀκτῖνος ἐπαφὴν καὶ μαραίνεται τὰ τῆς θερμότητος. διὸ καὶ δείλη ἐκλήθη ἐνδεῶς τῆς ἕλης ἔχουσα. ὅτε οὖν μάλιστα τὸ θερμὸν ἐξασθενεῖ, καθαρὸς καὶ διαφανὴς ὁ ἀήρ· ἔοικε ⟨γὰρ⟩ κεκρατῆσθαι βεβαίως ἡ ἄγουσα τὰ νέφη περίψυξις. διὸ καὶ εὐδίας τὸ σημεῖον.

828. ἀλλ' οὐχ, ὁ⟨π⟩πότε κοῖλος: αἱ ἐν τῶι ἡλίωι κοιλότητες οὔκ εἰσιν αὐτοῦ, φαντασίαι δέ εἰσι τῆς ὄψεως κατ' ἐπιπρόσθησιν ζοφεροῦ ἀέρος· οὐ γὰρ τὸ μέσον ὁρᾶται, ἀλλ' ἡ κύκλωι ἁψίς. λαμπρὰ δὲ οὖσα δοκεῖ περιφείγειν εἰς τὸ ἐκλιπὲς ⟨καὶ⟩ ἔμφασιν κοιλότητος παρέχειν· ὃν γὰρ τρόπον οἱ ζωγράφοι ἀντρώδεις τόπους γράφοντες φωτὶ τραχύνουσι τὴν ὄψιν, ἅτε τῆι φύσει τοῦ μὲν λαμπροῦ προβάλλοντος ἔξω καὶ διωθοῦντος τὴν φαντασίαν, τοῦ δὲ μέλανος ὑποσκιάζειν καὶ βαθύνεσθαι δοκοῦντος, οὕτω καὶ περὶ τὸν ἥλιον τὸ φαινόμενον τῆι ὄψει κατ' ἀντίφραξιν τοῦ ἀέρος ἐκκοπὴ⟨ν⟩ τοῦ μέσου λαμπροῦ διὰ τὴν σκιὰν ⟨ποιεῖ⟩ ὑποφαίνεσθαι.

ἄλλως. κατά τινας καιροὺς ὁ ἥλιος ὁρᾶται κοῖλος. τούτου δὲ αἴτια τὰ ἔμπροσθεν αὐτοῦ ἱστάμενα νέφη, μελαινόμενα διὰ τὴν πολλὴν πύκνωσιν. πέφυκε δὲ πάντα τὰ διὰ τῶν μελάνων ὁρώμενα κοιλότητος φαντασίαν παρέχειν· οὕτω γὰρ καὶ οἱ ζωγράφοι, ὅσα μὲν βούλονται προσεχῆ δεικνύναι, τῶι λευκῶι ἀπογράφονται, ὅσα δὲ κοῖλα καὶ ἐν βάθει, τῶι μέλανι. ἐὰν οὖν, φησί, τοιοῦτον γένηται τάς τε ἀκτῖνας μὴ κατ' εὐθεῖαν φερομένας ἔχηι, ἀλλ' ἐσχισμένας, καὶ τὰς μὲν τῆιδε τετραμμένας τὰς δὲ τῆιδε (ὅπερ συμβαίνει ὑπὸ τῆς τοῦ ἀέρος παχύτητος οὐκ ἐωμένων αὐτῶν κατ' εὐθὺ φέρεσθαι), ἢ ἄνεμον ἴσθι γινόμενον ἢ ὑετόν.

---

1 *ἀμβλίαν* A | *τὴν* om AAld | post *ἀκτ.* A *ἢ ὁμιλίαν ἐπαφὴν καὶ μ.*, Ald *καὶ λείαν τὴν ἐπαφήν· μ. γὰρ* ‖ 2 *δείελος* Ald | *ἐκλ. ὡς ἑ. ἔχων τ. ἕ. ἤγουν τῆς θερμασίας* Ald ‖ 3 *ἐξασθενοῦν* A, cf Ald ‖ 3, 4 *ὅταν οὖν μάλιστα τοῦ θερμοῦ ἐξασθενοῦντος διαφανὴς ὁ ἀὴρ ἡ* Ald ‖ 4 *ἡ* post *ἀὴρ* AM, cf Ald | *βιαίως* AAld ‖ 5 *ἐστὶ* post *εὐδ.* Ald ‖ 8 *ἐπιπρόσθεσιν* M ‖ 9 *δὲ* om A M | *περιφέγγειν* coni Wyttenbach | *ἐκλειπὲς* MAld, *ἐκλειπῶς* A ‖ 10 suppl Bekker | *ὡς ἔμφ.* Ald | *τρόπον γὰρ* AMAld ‖ 11 *τῆι* om Ald ‖ 12 *προσβάλλοντος* MAld ‖ 13 pro *ὑποσκιάζειν* Wyttenbach aliud requirit velut 'se removere' (an *ὑποποδίζειν*? cf indicem) ‖ 14 *μὲν* post *τὸ* A, *μὴ* M: om Ald | *τῆς ὄψεως* Ald ‖ 15 *κατὰ* Ald | *ἡ* post *ἀέρος* AM ‖ 16 supplevi ex Ald | post *ὑποφ.* lemmate omisso Ald *ἢ ὅτι τὰ ἔμπροσθεν αὐτοῦ ἱστάμενα νέφη μελαινόμενα διὰ τὴν πολλὴν πύκνωσιν τὴν κοιλότητα ἀποτελεῖ· πέφυκε γὰρ* ‖ 18 *αἴτιον τὸ ἕ.* M ‖ 20 *ποιεῖ* (sic) Ald | *καὶ οὕτω καὶ* A, *καὶ γὰρ καὶ* Ald ‖ 22 *ἀπογράφουσιν* Ald | *ἐμ* M ‖ 23 *τι* post *τοιοῦτον* Ald | *γ. ἢ τὰς ἀ.* Ald ‖ 26 *εὐθεῖαν* Ald ‖ 26, 7 *γενόμενον* A, *γενησόμενον* Ald

829. *οὐδ', ὁπότ' ἀκτίνων*: *ἀπὸ κοινοῦ τὸ εὔδιος* (827) *'ἀλλ' οὐκ ἔσται εὔδιος, ὅταν ἀνατέλλων κεκοιλωμένον ἔχῃ τὸ μέσον τοῦ κύκλου', δηλονότι ὥσπερ κακωθέντος τοῦ φωτός. τοῦτο ⟨δὲ⟩ συμβαίνει πάλιν ἐκ τῆς τοῦ ἀέρος δυσκρασίας· ὥσπερ γὰρ καὶ ἐπὶ τῶν ὀφθαλμικῶν, ὅταν συμβαίνῃ κοιλαίνεσθαι τοὺς ὀφθαλμούς, δηλονότι ἐξασθενήσαντος τοῦ σώματος, ἢ ὥσπερ ὅταν βλέφαρον κατ⟨αγ⟩αγόντες ἢ περιθλίψαντες τῶι λύχνωι τὴν ὄψιν προσβάλλωμεν, οὐ φαίνεται συνεχῶς τὸ φῶς, ἀλλὰ πλάγιαι καὶ σποράδες αἱ αὐγαί, οὕτως, ὅταν ἀχλὺς ἢ νέφωσις ἀνώμαλος πρὸ τοῦ ἡλίου στᾶσα περιθλίψῃ καὶ σείσῃ τὸν τῆς ὄψεως κῶνον εἰς λεπτὰς ἀκτῖνας καὶ ῥαβδοειδεῖς, ὃ πάσχομεν αὐτοὶ τῇι αἰσθήσει, τοῦτο περὶ τὸν ἥλιον εἶναι δοκοῦμεν.* οὕτω ΠΛΟΥΤΑΡΧΟΣ (fr 2 W.).

830, 1. *σχιζόμεναι βάλλωσι —*: *ἀντιφέρονται, πάλιν ἐκ τῆς τοῦ ἀέρος παχύτητος δι' ὅλου τοῦ κύκλου ἀποφέρονται αἱ ἀκτῖνες, ἀλλ' αἳ μὲν πρὸς νότον, αἳ δὲ πρὸς βορρᾶν βάλλουσι, τὰ δὲ μέσα τοῦ δίσκου φαίνονται ἄνευ τινῶν ἀκτίνων. τότε, φησί, δι' ὕδατος ἔρχεται ὁ ἥλιος ἢ ἀνέμου.*

τὰ δ' αὖ περὶ μέσσα φαείνηι: *εἰ δὲ τὸ μέσον αὐτοῦ φαίνοιτο μόνον, τὸ δὲ ἑκατέρωθεν διὰ νέφους πυκνότητα μὴ ὁρῶιτο σχιζομένων τῶν ἀκτίνων πρός τε βορρᾶν καὶ νότον πεμπομένων, καὶ τοῦτο σύνθημα πνεύματος ἢ ὑετοῦ.*

832. *σκέπτεο δ', εἴ καί τοι αὐγαί*: *κατανοεῖν, φησί, δεῖ τὰ περὶ τὸν ἥλιον σημεῖα ἐνατενίζοντας αὐτῶι τῶι κύκλωι· οὕτω γὰρ γενήσεται σαφῆ τὰ τεκμήρια. ἐὰν οὖν, φησίν, ἐρευθὴς γένηται (οἷαν χροιὰν συμβαίνει γίνεσθαι πολλάκις περὶ τοῖς νέφεσι δύνοντος αὐτοῦ) ἢ μελανίζων, ὅταν μὲν ἀχλυωδέστερος φαίνηται, ὕδωρ σημαίνει, ὅταν δὲ ἐρευθής, ἀνέμους. ὅταν δὲ ἀμφότερα τὰ σημεῖα περὶ τὸν ἥλιον φαίνηται, ὥστε μέρη μὲν αὐτοῦ τοῦ κύκλου μελαίνεσθαι μέρη δὲ φοινίσσεσθαι, τότε δεῖ καὶ ἄνεμον καὶ ὄμβρον προσδοκᾶν.*

---

1 οὖν post *κοινοῦ* Ald ‖ 2 *ἵν' ἦι* ante *ἀλλ'* Ald ‖ 4 *ὃ δὴ* (pro *τοῦτο*) Ald | *πάλιν* om Ald ‖ 5 *γὰρ* om M | *ὀφθαλμῶν* Ald | *ὅτι συμβαίνει* M ‖ 5, 6 *τοὺς ὀφθ.* AM: *αὐτοὺς* Ald ‖ 6 *πώματος* M ‖ 7, 8 *τὴν ὄψιν τῶ λύχνω* AAld ‖ 8 *συνεχὲς* M ‖ 11 *λοξὰς* AAld | *ῥομβοειδεῖς* AAld ‖ 12 *αὐτῆι* AAld ‖ 14 post lemma Ald *εἰ οὖν ἐκ τῆς* Ald ‖ 15, 6 *αἱ ἀκτ. ἀποφ. καὶ αἳ* Ald ‖ 17 *φαίνεται* Ald ‖ 17, 8 *φησὶ τὸ* ante *δι'* AM, om Ald ‖ 18 *ὁ ἥλιος ἔρχεται* Ald ‖ 19 *φαείνηι* om AAld ‖ 20 *ἑκάτερθεν* A Ald | *πυκνότητος* A ‖ 23, 4 *δεῖ φησὶν* AAld ‖ 27 *οὖν* post *μὲν* A ‖ 28 *θεωρῆται* A, *-εῖται* Ald, *φανῆται* M

ἄλλως. τὸ τοῦ ἡλίου φῶς, ὅτε καθαρόν ἐστιν, οὐ συγχωρεῖ ἀντωπεῖν τινι πρὸς τὰς ἀκτῖνας, ὅτε δὲ ἐξ ἀκρασίας ἀέρος ἐξασθενεῖ, τότε δυνατὸν αὐτῶι προσβλέπειν. φησὶν οὖν· περισκέπτου εἰς αὐτόν, εἰ αἰγαὶ αὐτοῦ ὑπείκουσί σου τοῖς ὀφθαλμοῖς, καὶ ἐκ τούτου γνώσηι, ὅτι ἀκρασίας οὔσης χειμῶνός ἐστι σύμβολον.

833. *αὐτὸν ἐς ἠέλιον: ὁ πεπυκνωμένος ἀὴρ τῆι πρὸς τὸ φῶς μίξει ἐρυθαίνεται καὶ διὰ λεπτότητα πρὸς γένεσιν ἀνέμων ὀξίρροπός ἐστιν, ὁ δὲ συνηγμένος μᾶλλον ὡς ἐπιμελαίνων οὐ μακράν ἐστι τῆι διαθέσει τῆς εἰς τὸ ὕδωρ μεταβολῆς.*

833. *τοῦ γὰρ σκοπιαὶ καὶ ἄρισται: τοῦ ἡλίου ἔξοχοί εἰσι καὶ εὐσύμβολοι αἱ σκοπιαί. οἷον τὸ σκοπεῖν εἰς ἥλιον καὶ ἐξ αὐτοῦ δέχεσθαι τεκμήρια ἄριστόν ἐστιν. προεῖπε δὲ καὶ ἐν τοῖς ἀνωτέρω ἠελίωι καὶ μᾶλλον ἐοικότα σήματα κεῖται* (820).

834. *εἴ τί οἵ που ἢ ἔρευθος: εἰ δέ τι αὐτῶι καὶ ἔρευθος ἐπίκειται τοιοῦτον, οἷον ἔχουσαι καὶ αἱ νεφέλαι, ὅτε αὐτὸν τὸν ἥλιον περιτρέχουσι, βαλλόμεναι ἐξ αὐτοῦ ὑπέρυθρον σχῆμα ποιοῦσι, σκόπει τοίνυν τὸ τοιοῦτον.*

836. *ἦ εἴ που μελανεῖ: ἀπὸ κοινοῦ τὸ 'φράζεο'* (832). *'εἰ μελάντερον αὐτοῦ καὶ ζοφωδέστερον εἶναι δοκεῖ τὸ φῶς'. καὶ δῆλον ἐκ τῆς πολλῆς τοῦ ἀέρος ὑποκειμένης ὑγρότητος. καὶ τὰ τεκμήρια τοῦ εἶναι αὐτὸν ζοφώδη ἑτοῦ ἐστι σημεῖον, τὰ δὲ ἐρυθρὰ ἀνέμου.*

838. *εἴ γε μὲν ἀμφοτέροις: ἐὰν δέ, φησίν, ἀμφοτέροις τοῖς καταστήμασι, τῶι τε μέλανι καὶ τῶι πυ⟨ρ⟩ρῶι, ἅμα καὶ κατὰ τὸ αὐτὸ ἐμπεριέχηται ὁ ἥλιος, καὶ τὸ μὲν αὐτοῦ μέλαν φαίνηται, τὶ δὲ ξανθόν, ἐκ ποικιλίας τότε ἀμφότερα προσδόκα, καὶ ὑετὸν ἐσόμενον καὶ ἄνεμον.*

---

1 ἄλλως M: ἢ ὅτι AAld | ὅταν AAld | ἠι Ald ‖ 2 ὅτι A, ὅταν Ald | δὲ om A ‖ 3 ἐξασθενῆι Ald ‖ 4 εἴκουσι AAld | σοι A | σου post ὀφθ. Ald | 5 γνώσεις omisso ὅτι A ‖ 7 lemma om et scholia coniunxit Ald | οὖν post ὁ Ald ‖ 8 ἐρυθραίνεται Ald | λεπτότητος AM ‖ 9 ἐπιμελαίνειν libri ‖ 10 ταῖς — μεταβολαῖς Ald ‖ 11 καὶ om AAld | ἄρισται om Ald ‖ 13 καὶ om A ‖ 14 ἠλίω AAld ‖ 16 εἴ τί που ἢ καὶ ἔρευθος AAld | ἢ (pro καὶ) ante ἔρ. Ald ‖ 17 ἔχουσαι AM: -ι Ald ‖ 17, 8 ὅταν — περιτρέχωσι·Ald ‖ 18 βουλόμεναι A, λαμπόμεναι γὰρ Ald | αὐτοῦ τοιοῦτο(ν add A) ὐ. AAld ‖ 19 ἀποτελοῦσι. σκόπει δὴ τὸ τοιοῦτο Ald ‖ 20 μελαίνει AM ‖ 21 ζωφοδέστερον MAld ‖ 23 ἔστω A ‖ 23, 4 τοῦ δὲ ἐρυθρὸν Ald ‖ 24 ἀνέμων AAld ‖ 26 τε om AAld ‖ 27 ἐμπεριέχεται AM ‖ 28 φαίνεται AM | ποικίλου A, τοῦ ποικίλου Ald | δὴ τούτου pro τότε Ald

840sqq. *εἰ δέ οἱ ἢ ἀνιόντος —*: *εἰ δέ, φησίν, ἀνίσχοντος ἡλίου ἢ καὶ δύνοντος εἰς τὸν αὐτὸν τόπον συνίοιεν αἱ ἀκτῖνες ἢ νέφεσιν αὐτὸς εἴη πεπιεσμένος, τὸ τοιοῦτον ποιοῦ ὕδατος σημεῖον, κατανικωμένου δηλονότι τοῦ ἡλίου ὑπὸ τῆς περὶ τὰ νέφη παχύτητος.*

841. *καὶ ἀμφ' ἑνὶ πεπλήθωσιν*: *ἀντὶ τοῦ εἰς ἕνα τόπον συστρέφωνται, ὅταν πεπλησμένος ὑπὸ νεφῶν ἧττον ἐκφαίνηι τῆς θερμότητος τὴν ἀκτῖνα.*

844. *ὕδατί κεν κατιόντι*: *ἐὰν δέ, φησίν, ἀνατέλλοντος ἢ δύνοντος τοῦ ἡλίου αἱ ἀκτῖνες ἀπὸ τῆς περιφερείας εἰς τὸ μέσον ἕλκωνται ἢ καὶ εἰς ἕνα τόπον συστρέφωνται κωνοειδὲς τὸ σχῆμα ποιοῦσαι ἢ ὁ κύκλος ὑπὸ τοῦ νέφους ἐπιπροσθῆται ἀνατέλλοντος καὶ δύνοντος, ἄνεμον δεῖ προσδοκᾶν.*

845. *μηδ', ὅτε οἱ ὀλίγη νεφέλη*: *ἀλλὰ κἂν προανατείληι τοῦ ἡλίου ὀλίγη νεφέλη, εἶτα αὐτὸς ἐπιφέρηται, ἴσθι, ὡς οὐκ ἂν οὕτω ταῖς ὄψεσιν ἡμῶν προσέπιπτεν, εἰ μὴ ἐπεπάχυ⟨ν⟩το ὁ ἀήρ.*

ἄλλως. ἐὰν ἀνατέλλειν μέλλοντος τοῦ ἡλίου νεφέλη προανατείληι μέλαινα ἐπισκιάζουσα σχίζωνταί τε περὶ αὐτὴν αἱ ἀκτῖνες οἱονεὶ μεσολαβοῦσαι τὴν νεφέλην, σκέπης χρείαν ἔχειν, καὶ τὸ συντρέχειν εἰς ταύτην τὰς ἀκτῖνας ὑγρότητα κατηγορεῖ τοῦ ἀέρος· λεῖος γὰρ ὢν ἐπιταράττει τὴν ὄψιν, ὡς ἐν τῶι δακρύειν φαίνεται τὸ φῶς οὐ καθεστηκός, ἀλλ' ἀφαλλόμενον καὶ τρομῶδες, εἴτε τοῦ λαμπροῦ ἐκ τοῦ ὑγραίνεσθαι σβεννυμένου περὶ αὐτόν, εἴτε κλωμένης πρὸς τὸ ὑγρὸν αὐτῆς διὰ τὸ ἀνώμαλον.

ἄλλως. ἐάν, φησίν, ἀνατέλλοντος τοῦ ἡλίου προανατείληι

---

1 *τοι* AAld | *ἢ* om Ald | *εἰ* scripsi: *ἐὰν* libri ‖ 1,2 *ἀνιόντος τοῦ ἡ.* Ald ‖ 3 *ἦι* M ‖ 5,6 *τὸ οὖν ἀμφ'* post *παχ.* Ald ‖ 6 *ἀντὶ τοῦ* A: *αὐτοῦ* MAld ‖ 7 *συστρέφονται* M, *περιστρέφονται* AAld | *ἐκφαίνει* M ‖ 8 *τὰς ἀκτῖνας* Ald ‖ 9 *τὸ δὲ ὕδατι* Ald | *κεν* om A | *δέ* om Ald | *φησιν* post *ἀν.* Ald ‖ 10 *ἐκ* AAld ‖ 11 *ἕλκονται* Ald | *συστρέφονται* A ‖ 12 *ἐπὶ* A ‖ 13 *ἑτὸν* Ald ‖ 14 *ἀλλ' ὅταν* A, *καὶ ὅταν* Ald ‖ 15 *τὸν ἥλιον* M | *ὀλίγον* A | *νεφέλη τοῦ ἡλίου* A | *αὐτὸν* A ‖ 15, 6 post *ἐπιφ.* Ald *κεχρωσμένος ἑτὸν προσδόκα· οὐ γὰρ ἂν οὕτω* Ald ‖ 18 *ἢ οὕτως* pro lemmate Ald | *ἀνατελλειν* M ‖ 18, 9 *προανατέλλειν* A, *-έλλη* Ald ‖ 19 *καὶ σχ.* Ald | *σχίζονται* A ‖ 20 *οἱονεὶ* om AAld | *μεσοσυλλαβοῦσαι* AAld | post *νεφέλην* Ald *καὶ χρώζουσαι τὸ συντρέχειν* | *σκέπης* scripsi: *σκόπης* M ‖ 21 *ὑγρότητος* A | *κατηγόρει* M ‖ 23 *φαίνεσθαι* A Ald | *ἐφαλλόμενον* AAld ‖ 25, 6 *τὴν ἀνωμαλίαν* AAld ‖ 27 *φησίν* om Ald | *τοῦ* om M ‖ 27—p. 496, 1 *νέφος προανατεῖλαν* Ald

νέφος περιαγόμενον κύκλωι, [ὅπερ] εἰ ἐπὶ πλέον εὑρύνεται, εὐδίαν προσδόκα· διαχεῖται γὰρ ὁ κύκλος οὗτος νικώμενος ὑπὸ
Avien 1612—5 τῶν ἡλιακῶν ἀκτίνων. τὸ δὲ ὅμοιόν φησι γίνεσθαι, καὶ ἐὰν χειμῶνος ὠχρὸς δύηται, τῶν νεφῶν ὥσπερ διακαιομένων ὑπ' αὐτοῦ καὶ διαλυομένων. ἐὰν μέντοι γε δύνοντος αὐτοῦ ἐπισυνιστῆται νέφη, τῆι ἑξῆς ὕδωρ προσδέχου· πιλουμένου γὰρ ἱκανῶς τοῦ ἀέρος ἡ μεταβολὴ αὐτοῦ γενήσεται εἰς τὴν συγγενεστάτην αὐτοῦ φύσιν τοῦ ὕδατος· καὶ γὰρ ἡ τῶν νεφῶν πύκνωσις οὐδέν ἐστιν ἄλλο ἢ πάχος ἀέρος ὑπὸ ὑγροῦ πεπαχυμμένου. ἐντεῦθεν τὰ σημεῖα ἢ ὄμβρων γίνεται διὰ τὴν συγγένειαν ἢ ἀνέμων· καὶ γὰρ ὁ ἄνεμος οὐδὲν ἄλλο ἢ ἀὴρ ῥέων καὶ ποιὰν λαμβάνων κίνησιν, ἅπερ ἐκ τῆς αὐτοῦ τροπῆς συμβαίνει γίνεσθαι.

ἄλλως. ὅταν δὲ αὐτοῦ βραχεῖα προαναφέρηται νεφέλη, εἶτα αὐτὸς ἐπιὼν φέρηται ὥσπερ ἐνδεὴς ἀκτίνων, καὶ τοῦτο σύνθημα ὑετοῦ. εἰ δὲ μέγας ὀφθεὶς ὁ ἥλιος καὶ ὀλίγον μειούμενος ἐπὶ τὸ κατὰ φύσιν ὁρατὸν μέγεθος αὐτοῦ ἀφικνοῖτο, καὶ τοῦτο σημεῖον εὐδίας, ἥκιστα τῆς παχύτητος καὶ ὑγρότητος περὶ τὸν ἀέρα μενούσης, δι' ἣν μείζων ἐφαίνετο.

846. ἀκτίνων κεχρωσμένος: πάλιν ἐκ τῆς τοῦ ἀέρος παχυμεροῦς συστάσεως ἀνατρεπόμεναι αἱ ἀκτῖνες εἰς ἓν μέρος τοῦ δίσκου φέρονται καὶ ἀφ' ἑνὸς μέρους φαίνουσιν. ὁ δὲ λόγος· σκόπει πάλιν χειμῶνος σημεῖα· ὅταν ἢ ἀνατέλλοντος ἢ δυομένου ἡλίου αἱ ἀκτῖνες συνέρχωνται καὶ ἐν ἑνὶ μέρει τοῦ δίσκου πᾶσαι πληρῶνται καὶ φαίνωνται, ἢ καὶ ὅταν ὑπὸ νεφῶν πιεσθεὶς ἔρχηται ἀπὸ τῆς νυκτὸς ἐπὶ τὰς ἀνατολάς, ἢ ὅταν ἐξ ἀνατολῆς ἐπὶ δύσιν, τεκμήριον [ὡς] ἐκεῖναι αἱ ἡμέραι ὑετοῦ εἰσιν.

847. πολὺς δ' ὅτε οἱ περὶ κύκλος: περὶ τὰς ἀνατολὰς καὶ τὰς δύσεις δοκεῖ ὁ τοῦ ἡλίου κύκλος μείζων φαίνεσθαι.
Avien 1603—9 ἔστι δὲ ἡ αἰτία τοιαύτη. αἱ τῆς γῆς περὶ ἀνατολὰς καὶ δύσεις

---

1 *κύκλωι περιαγ.* AAld | *ὅπερ εἰ* om Ald | *εὐρύνηται* AAld ‖ 5, 6 *ἐπισυνίστανται* A, *-αται* M, *-ῶνται* Ald ‖ 8 *φύσιν* post *ὕδ.* AAld ‖ 9 *-ον* AM, *πεπαχυμένου* Ald ‖ 11 *λαμβάνων* AAld: *-ειν* M ‖ 13—18 om AAld ‖ 19 cf ad l. 24 | 21 *φαίνονται* A ‖ 22 *ἄνωθεν οὕτως* post *λόγος* add Ald | *πάλιν* om Ald | *σημεῖον* AAld ‖ 24 *πληροῦνται* A | post *φαίν.* Ald *ἐκ γὰρ τῆς τοῦ ἀέρος παχυμεροῦς συστάσεως ἀνατρεπόμεναι αἱ ἀκτῖνες εἰς ἓν μέρος τοῦ δίσκου φαίνονται καὶ ἀφ' ἑνὸς μέρους φαίνουσιν*, cf l. 19—24 ‖ 25 *ἔρχεται* A | *ἀπὸ τῆς νυκτὸς* post *ἀνατ.* AAld ‖ 26 *γὰρ* post *τεκμ.* Ald | post *εἰσιν* Ald *καὶ ἔτι ὑετοῦ σημεῖον, ἐὰν πρὸ μὲν ἀνατολῆς ἡλίου νεφέλη ἀνέλθηι, εὐθὺς δὲ μετ' αὐτὴν ἐκεῖνος ἀνατείληι* ‖ 27 *οἱ* om A | *περίκυκλος* M ‖ 29 *καὶ ἔστιν ἡ* Ald

ἀναθυμιάσεις ἀερώδεις οὖσαι καὶ παχεῖαι, αὐτὸ τὸ τοῦ ἡλίου φῶς δεχόμεναι, εἰ μὴ συγχωροῦσι διικνεῖσθαι τῶι φωτί, πλατύτερον αὐτὸ ὥσπερ τῶι δοκεῖν ὁρᾶσθαι ποιοῦσιν. ἀνιὼν δὲ ὁ ἥλιος, ἀπὸ τῶν ἀναθυμιάσεων χωριζόμενος καὶ εἰς τὸ ὕψος χωρῶν, ὅτε εὑρίσκει καθαρὸν τὸν ἀέρα, δοκεῖ πάλιν τὸν κύκλον ἐλάττονα φαίνεσθαι τοῦ φωτὸς ⟨δι⟩ικνουμένου. τουτέστιν, ὅταν ὁ κύκλος πολὺς εὐρύνηται καὶ πλατύνηται τηκομένωι καὶ λυομένωι ὅμοιος, ἀνατέλλοντος δηλονότι καὶ καθαροῦ ὄντος τοῦ ἀέρος, εὐδινὸς ἂν δοκιμάζοιτο.

851—3. *ὠχρήσηι κατιὼν —*: *δυομένου ἡλίου σκόπει, εἰ ἔστι περὶ αὐτὸν νέφη συνεχῆ καὶ ὕδατος ἡμερινοῦ γε μετὰ ταῦτα σύμβολα, μετὰ τὴν νύκτα ἐκείνην καὶ τὴν ἑσπέραν, ὅτε συνίστανται περὶ τὸν ἥλιον τὰ νέφη.* § *ἡμερινοῖο δὲ τῆι ἑξῆς ἡμέραι φαινομένου.*

ἄλλως. ἀπὸ κοινοῦ τὸ εὔδιός κε φέροιτο (850). *πάλιν ἑτέραν κατάληψιν δίδωσιν εὐδίας· ὅτε γὰρ διαλύεται ἡ ὑγρότης ἐκείνη καὶ παχύτης τοῦ ἀέρος, πρὸς δυσμὰς ὁ ἥλιος ὠχρὸν ἔχων τὸ φῶς εὔδιός ἐστιν ὡς πρὸς τὴν τοῦ ἀέρος λοιπὸν διάλυσιν.*

853—7. *καὶ δὴ δυομένου τετραμμένος*: *ἐὰν δὲ δύνοντα τὸν ἥλιον ὑποσκιάζηι μέλαινα νεφέλη, τὰ δὲ ἑκατέρωθεν αὐτοῦ περιλαμβάνωσιν ἀκτῖνες, ἴσθι κατὰ τὴν ὑστεραίαν ἐσόμενον ὑετόν.*

ἄλλως. καὶ εἰ δύνοντα, φησί, τὸν ἥλιον ἐπίπροσθεν ἱσταμένη νεφέλη σκιάζει, αἱ δὲ ἀκτῖνες αὐτοῦ ἑκατέρωθεν τοῦ νέφους σχίζονται, χειμῶνα προσδέχου· ἀδύνατος γὰρ γέγονεν ὁ

---

1 *οὖσαι* scripsi: *εἰσὶ* AMAld | post *παχ.* Ald *διὰ μέσων οὖν αὐτῶν αἱ ὄψεις προσβάλλουσαι τῶι ἡλίωι παχύτερον* ‖ 4 *καὶ* ante *ἀπὸ* Ald ‖ 5 *ὅτε* om Ald | *καὶ ταύτηι* post *ἀέρα* Ald ‖ 5, 6 *π. ὁ κύκλος ἐλάττων τοῦ φωτὸς φαίνεσθαι ἱκν.* A | *ὁ κ. αὐτοῦ ἐλάττων φαίνεσθαι. ὅταν οὖν φησιν ὁ κ.* Ald ‖ 7 *διαλυομένωι* AAld ‖ 8 *καὶ* om A ‖ 8, 9 post *ὅμοιος* Ald *ἀνερχομένου τοῦ ἡλίου, ἔπειτα μειῶται οὐ δεινῶς ἂν δοκιμάζοιτο καθαροῦ ὄντος τοῦ ἀέρος. ὁ δὲ νοῦς· ἐὰν ἀνατέλλοντος κτλ.*, cf p. 495, 27 sqq. ‖ 9 *οὐ δεινῶς* AAld, *οὐ δεινὸς* M ‖ 10 *αὐτὰρ ὕδατος ὀνομένου δὲ τοῦ* Ald ‖ 11 *ἃ δὴ* (pro *καὶ*) Ald | *γε* om Ald ‖ 12 *σύμβολα* A: *σύμβαλλε* M, *ἐστι σύμβολα ἦγουν* Ald ‖ 12, 3 *συνίστατο* AM ‖ 13 *οὖν* pro *δὲ* Ald ‖ 15 *ὠχρήση κατιών* pro lemmate Ald | *εὔδ. καταφέροιτο* AM, *εὔδ. φέροιτο* Ald ‖ 15, 6 *παραδίδωσι δὲ ἑτ.* post lemma Ald ‖ 16, 7 *ὅταν γὰρ διαλυομένης τῆς ὑγρότητος ἐκείνης καὶ παχύτητος τοῦ* Ald ‖ 18 *ἔχη* Ald ‖ 24 *ἢ οὕτως* pro lemmate Ald | *καὶ* et *φησί* om Ald ‖ 25 *ἐπισκιάζει* Ald

ἥλιος διαχέαι τὴν πίκνωσιν. ἐντεῦθεν καὶ σχίζονται περὶ τὴν νεφέλην αἱ ἀκτῖνες τοῦ ἡλίου, τῆς κατ' εὐθεῖαν φορᾶς ὑπὸ τῆς περὶ τὸν ἀέρα πυκνώσεως διακοπτομένης.

ἄλλως. καὶ δὴ πρὸς δυόμενον τὸν ἥλιον ἀφορῶν, ἐὰν αὐτὸν σκιάζῃ νεφέλη μέλαινα τὴν χροιάν, αἱ δὲ ἀκτῖνες ἅπασαι κατὰ μέσον τὸν δίσκον ἐλισσόμεναι εἰς δύο μέρη τοῦ δίσκου διασχισθῶσι καὶ αἳ μὲν ἐπὶ τοῦδε τοῦ μέρους αἳ δὲ ἐπὶ τοῦδε χωρήσωσιν, εἰς τὴν ἐπιοῦσαν ἡμέραν σκέπτης ἂν χρήιζοις· χειμὼν γὰρ ἔσται.

854. *ἢν μὲν ὑποσκιάῃσι: ὁποῖον μάλιστα ἀμαλδύνονται καὶ ἀμαυροῦνται, [καὶ] ὅτε σκιάζει κατ' ἰθὺ τῆς γῆς καὶ τοῦ ἡλίου ἡ σελήνη ἐν τῆι ἐκλείψει* (864). *κατ' ἰθὺ τοῦ ἡλιακοῦ κώνου καὶ τοῦ γηΐνου ὅταν ταῦτα ἴδῃις τὰ σημεῖα, χειμῶνα προσδόκα.* Cf p. 500, 7 sqq.

858. *εἰ δ' ὃ μὲν ἀνέφελος —: ἐὰν δέ, φησίν, ὁ ἥλιος αὐτὸς δίχα νεφελῶν δύηται, ἀνωτέρω δὲ αὐτοῦ νεφέλαι ὑπάρχωσι καταδύνοντος [δὲ αὐτοῦ] καὶ ἤδη δεδυκότος ἐρυθραί, εὐδίαν ἴσθι κἀκείνηι τῆι νυκτὶ καὶ τῆι ἐπιούσηι ἡμέραι γενησομένην. αἴτιον δὲ τούτου τὸ μὴ σφόδρα πυκνὰ εἶναι τὰ νέφη ἀλλ' ἀραιὰ καὶ οὕτως ἐνδιαυγεῖσθαι. ἐξ αὐτοῦ δὲ τοῦ ἡλίου αἱ νεφέλαι φαίνονται καθάπερ χρυσίζουσαι, ὅτε σφόδρα αὗται καθαρὸν δέχονται τὸ φῶς. ὅτε δὲ πυροῦνται, οὐ πάνυ τι καθαρόν, ἀλλ' ἔστι μὲν εὐδία τῆι ἐπιούσηι νυκτί τε καὶ ἡμέραι, οὐχ ἑξῆς δὲ ⟨δι'⟩ ἄλλων ἡμερῶν. ὅτε δὲ χρυσίζουσι, καθαρὸν ἐδέξαντο τὸ φῶς, καὶ ἑξῆς εὐδινὸς καιρός. § 'ῥόον' δὲ 'ἑσπέριόν' φησι τὸν ὁρίζοντα. ἐὰν οὖν καθαρὰν καὶ ἀνεπιθόλωτον νέφους ὁ ἥλιος ποιήσηι τὴν δύσιν, αἱ δὲ πλησίον τοῦ ὁρίζοντος νεφέλαι ⟨ὦσιν⟩ ἐρυθραί, εὐδίαν δεῖ προσδοκᾶν.*

---

3 *περὶ* om A | *διακοπτομένης* Ald: *διακοπτόμεναι* A, *ἀνακοπτόμεναι* M ‖ 4 *ἢ οὕτως* (pro *ἄλλως*) Ald ‖ 7 *τοῦδε* Ald, *τοῦ αὐτοῦ* AM ‖ 8 *χωρήσουσιν* A ‖ 10 *ἢ τὸ* pro *ἢν μὲν* Ald ‖ 10, 1 *ὥστε δύνειν ποιεῖν αὐτὸν καὶ ἀμαυροῦσθαι μάλιστα ὡς ὅταν σκιάζῃ κατ' εὐθὺ* post lemma Ald ‖ 12 *ὅταν οὖν κατ' εὐθὺ* Ald ‖ 13 *ὅταν* om Ald | *ἴδοις* A ‖ 15 *ἀννέφελος* M | *δὲ* om Ald ‖ 16 *δύνηται* Ald | *ἐρυθραὶ* post *ὑπ.* AAld | *ὑπάρχουσι* M ‖ 17 *δὲ* om Ald ‖ 18 *ἐκείνῃ* Ald ‖ 20 *αἱ* om Ald ‖ 21 *ὅτε* A: *ὅτι δὲ* M, *ὅταν* Ald | *αὗται* AAld ‖ 21, 2 *δέχωνται* Ald ‖ 22 *ὅταν* Ald | *πυρῶνται* Ald | *δέχονται τὸ φῶς* post *τι καθ.* Ald ‖ 23 *τε* om M ‖ 24 *ὅταν — χρυσίζωσι* Ald | *τὸ* om M ‖ 25 *εὐδιεινὸς* AAld | *ὁ καιρὸς ἔσται* Ald ‖ 27 *τὴν δύσιν ποιήσῃ* Ald ‖ 28 *προσδόκα εὐδίαν* AAld

862. *ἀλλ', ὁπότ' ἠελίοιο μαραινομένῃσιν: σκοτεινοτέραις· ὅταν γὰρ ἐπὶ μιᾶς καθέτου τὰ τρία ἄστρα γενηθῇ, γῇ ἥλιος σελήνη (κεῖσθω γὰρ καὶ ἡ γῆ ἄστρον), ἀνάγκη τότε, εἰ μὲν μέση ἡ γῆ εὑρίσκοιτο, σελήνης ἔκλειψιν γίνεσθαι, ἐμπιπτούσης αὐτῆς εἰς τὸν σκιερὸν κῶνον, ὃν ἀποτείνει ἡ γῆ, μέσης δ' αὖ τῆς σελήνης εὑρισκομένης, ἡλίου μέρει τινὶ ἐπιπροσθούσης, τὸ τηνικαῦτα ἡλίω⟨ι⟩ ἐπισκότωσιν γίνεσθαι, ἣν δι' ἀγνωσίαν ἔκλειψιν οἱ παλαιοὶ κεκλήκασιν. κυρίως δὲ καὶ τῇ λέξει κέχρηται εἰπὼν (864) ὅτε σκιάῃσι κατ' ἰθύ· οὐ γὰρ ἐκλείπει κατὰ ἀλήθειαν, σκιάζεται δέ, ὅπερ ἐστὶν ἐπιπροσθουμένωι αὐτῶι ὑποθεούσης τῆς σελήνης. καὶ δεῖ μὴ ἐπισκοτεῖσθαι πάντα ὑπ' αὐτῆς.*

ἄλλως. τότε δή, φησί, προσδόκα ὄμβρον, ὅταν αἱ τοῦ ἡλίου ἀκτῖνες ἐξαπίνης ἀσθενεῖς καὶ ἀμαυραὶ φανῶσιν ὅμοιαι γινόμεναι τῇ ἐκλειπτικῇ περιστάσει, ὅτε συμβαίνει τὸν ἥλιον ἐπιπροσθούμενον ὑπὸ τῆς σελήνης τὸ φέγγος ἀμαυρὸν καὶ σκιῶδες ἐπιδείκνυσθαι. εἰ δὲ μέλλοντος αὐτοῦ ἀνατέλλειν νεφέλαι ἐρυθραὶ ἄλλοθεν ἄλλαι βλέπονται, οὐ δεῖ προσδοκᾶν ἐκείνης τῆς ἡμέρας ὄμβρον (862—8).

ἄλλως. ὅτε κατὰ κάθετον ἰσομοιρίαν ἡ σελήνη πρὸς τὸν ἥλιον ἔρχεται, τότε αὐτὸν ἀποφράττει καὶ ἀφανῆ ποιεῖ, καὶ γίνεται τὸ τηνικαῦτα ἡλίου ἔκλειψις ἐπὶ δευτέρας ἢ καὶ τρίτης ὥρας, ἕως οὗ ⟨ἂν⟩ ἡ σελήνη τὴν ἰσομοιρίαν παραδράμηι. γίνεται δὲ τοῦτο πολλάκις καὶ δεύτερον τοῦ ἐνιαυτοῦ, πολλάκις δὲ καὶ διὰ πολλοῦ χρόνου πρὸς τὴν τῆς σελήνης κίνησιν. καὶ κατὰ μῆνα γίνεται μὲν αὐτῶι ὑπὸ τὴν ἰσομοιρίαν, ἀλλ' οὐ κατὰ κάθετον τῆς μέσης γραμμῆς τοῦ ζωιδιακοῦ. ἀλλὰ καὶ κατὰ πλάτος κινεῖται ἢ τὰ πρὸς βορρᾶν ἡλίου ἢ τὰ πρὸς νότον. ὅτε

---

1 sqq. in margine *περὶ ἐκλείψεως ἡλίου* M ‖ 1 *μαραινομένοισιν* A | *ἤγουν σκοτ.* Ald ‖ 2 *γεννηθῇ* A, *γένηται* Ald ‖ 3 *καλείσθω* Ald ‖ 4 *γενέσθαι* AAld ‖ 6 *αὐτῆς* AAld ‖ 7 *ἡλίου* AAld | *σκότωσιν ἐπιγενέσθαι* AAld ‖ 9 *ὅτι* M ‖ 9, 10 *οὐ γὰρ — δέ* om Ald ‖ 10 *ὅπερ* om M | 10, 1 *ἐπιπροθουμένω* A ‖ 11 post *σελ.* Ald *ὅλος δὲ οὐδέποτε ἐκλείπει. διὰ δὲ τὸ πολλῶν μείζονα εἶναι τὴν σελήνην τῆς ὄψεως ἡμῶν ἐπισκοτεῖται πάντα ὑπ' αὐτῆς.* ὡς *ἢ οὕτως· ὅτε κατὰ,* A *ὅλος οὐδ' οὔποτε* ceteris omissis | *δὴ* A, om M | 17 *ἀποδείκνυσθαι* AAld ‖ 20 *ἰσομοιρία* AAld ‖ 21 *ἀποφράττει αὐτὸν* AAld ‖ 22 *δύο ἢ* (*καὶ* add Ald) *τρεῖς* AAld ‖ 24 *δὲ* alt om AAld ‖ 25 *τοῦ* ante *χρ.* Ald ‖ 25, 6 *γ. μὲν αὐτῶι κατὰ μῆνα* Ald ‖ 26 *ἡ σελ.* post *ἰσ.* Ald ‖ 27 *καὶ* Ald: om AM | *κατὰ* om M

μέντοι ἰσομοιρεῖ κατὰ κάθετον, αὐτὴ μὲν ἐν τῇι ζ' ζώνηι ουσα ἐκεῖνον ἐν τῇι τετάρτηι ὄντα κατὰ κάθετον ἀφανῆ [αὐτὸν] ποιεῖ, καὶ ἀκούει ἡλιακὴ ἔκλειψις, παρ' οἷς τελεία, παρ' οἷς μερική, παρ' οἷς οὐδὲ ὅλως περικνουμένη ἡ ἀκτὶς πάσχει τι τοιοῦτον, οἷον καὶ ὑπὸ τῆς σελήνης, ὅτε ἐκλείπει· σφόδρα γὰρ ὡς μαρανθεῖσα καὶ ἀποσβεσθεῖσα ὁρᾶται.

864. *ὅτε σκιάηισι κατ' ἰθύ: οἷον κατὰ κάθετον γῆς καὶ ἡλίου· καὶ γὰρ τῆς γῆς πολὺ μείζων ἐστὶν ἡ σελήνη, ὥστε ἀποφράττει⟨ν⟩ ἡμῶν τὰς ὄψεις μὴ ὁρᾶν αὐτὸν ἐν τῇι ἰσομοιρίαι καθέτωι. γίνονται δὲ αἱ ἡλιακαὶ ἐκλείψεις 'τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἰσταμένου'* (Od XIX 307) *κατὰ τὸν τῆς σελήνης δρόμον, ὅτε ἐν μήκει γίνεται, ὅτε ἐν σκιᾶι ἐπισκιάζεται ὁ ἥλιος ἰσταμένης τῆς σελήνης κατ' ἰθὺ τῆς γῆς τε καὶ τοῦ ἡλίου.* Cf p. 498, 10—14.

866,7. *οὐδ', ὅτε οἱ ἐπέχοντι: ὁ λόγος· οὐδέ, ὅτε φανῆναι αὐτῶι ἐπέχοντι καὶ μέλλοντι ἀνατεῖλαι πρὸ τοῦ ὄρθρου φανῶσι νεφέλαι ὑπέρυθροι πανταχοῦ ἐν τῇι ἀνατολῆι, ἐν ἐκείνηι τῇι ἡμέραι ἄρραντοι μένουσιν αἱ γαῖαι, ἀλλ' ὑετῶι περιρραίνονται ὄμβρου κατ' ἐκείνην τὴν ἡμέραν γενομένου.*

869. *μηδ' αὕτως, ἔτ' ἐόντι πέρην: ἐν τῇι ἀνατολῆι.* § *προταθεῖσαι προπεμφθεῖσαι.* § *ἐπίσκιοι δὲ* (870) *ἀμυδρότεραι μαλακαί, αἱ μὴ σφόδρα πεπιλημέναι μηδὲ πάνυ ζοφώδεις.* § *περιδνοφέοιντο* (876) *μελαίνοιεν καὶ ταύτην ἔχοιεν τὴν κατάστασιν.*

869—76. *μηδ' αὕτως, ἔτ' ἐόντι —: οὐδ', ὅταν τοῦ ἡλίου μέλλοντος ἀνατέλλειν, ἀκμὴν δὲ ὄντος ὑπὸ τῶι ὁρίζοντι, αἱ ἀκτῖνες αὐτοῦ περὶ τὸν ὄρθρον προαναφερόμεναι θεωρῶνται ὑπονέφελοι καὶ ζοφώδεις, εὐδίαν δεῖ προσδοκᾶν, ἀλλ' ὄμβρον καὶ ἀνέμους,*

1, 2 ἑβδόμηι ζ. οὖσα, αὐτῶι δὲ ἐν τῇι β' ὄντι Ald ‖ 2 αὐτὸν δὲ ἐν τῇι δ' A | ποιεῖ αὐτόν AAld ‖ 3 τελία Ald ‖ 4 παρέχει AAld ‖ 4—6 post τοιοῦτον Ald τὸ δὲ οἷον ἀμαλδύνονται (864) ἀντὶ τοῦ ὥσπερ ἀμαυροῦνται ὅτε ὑπὸ τ. ‖ 5, 6 ὥσπερ μαρανθεῖσαι καὶ -αι ὁρῶνται Ald ‖ 8 γῆς om A Ald | ὄψεως ἡμῶν ante πολὺ Ald ‖ 9 τῇι om Ald ‖ 10 κατὰ κάθετον γινομένη. αἱ Ald | ἥλια καὶ M | τοῦ μὲν om Ald ‖ 11 γίνονται post μηνὸς Ald | τὸ δ' ἰσταμένη Ald | ἤγουν ὅταν ante κατὰ Ald ‖ 11, 2 τὸν οἰκεῖον δρ. ἡ σελήνη ἐν μήκει γενομένη ἐπισκιάζη Ald ‖ 12 γένηται A | ἐν alt om A ‖ 12, 3 τὸν ἥλιον ἰσταμένη κατ' εὐθὺ τῆς γῆς καὶ Ald ‖ 13 τῆς alt om A | τοῦ om A ‖ 15 ὁ λόγος om AAld | οὐδ' AAld | φανήμεναι A ‖ 17 αἱ ν. Ald ‖ 18 οὐκ ante ἄρρ. AM ‖ 20—24 om AAld ‖ 21 προπεμφθεῖσαι scripsi, cf p. 501, 4: -ῆναι M ‖ 22, 3 ζοφώδης M ‖ 25 lemma om M ‖ 26 ἀκμὴν AAld: ἂν μὴ M ‖ 27 θεωροῦνται AMAld ‖ 28 ἄνεμον AAld

μελαινομένων μὲν ἄγαν ὄμβρον, ἐπ' ὀλίγον δὲ σκιαζομένων καὶ ὁμοίων τυγχανουσῶν ταῖς διαγέσι νεφέλαις ἄνεμον.

ἄλλως. ὁ νοῦς· μηδέ, τοῦ ἡλίου ἔτι ἐν τῶι ἀνατέλλειν ὄντος, ὁπόταν ἀπὸ τοῦ δίσκου προπεμφθεῖσαι αἱ ἀκτῖνες πρὶν τελέως ἡμέραν φανῆναι ὥσπερ ἐσκιασμένον καὶ οὐ πάνυ φαιδρὸν φαίνωσιν, ὕδατος ἐσομένου ἢ ἀνέμου ἐπιλανθάνου. ἀλλ', εἰ μὲν αἱ ἀκτῖνες ἐκεῖναι πάνυ ζοφώδεις φαίνονται (τοῦτο γάρ ἐστι τὸ κνέφαος μᾶλλον 872), *ἐπὶ πλείονι ὕδατι τὴν σημασίαν ἔχουσιν, εἰ δὲ ὀλίγος γνόφος καὶ ὀλίγη ἀμαύρωσις περὶ τὰς ἀκτῖνας κεῖται, ὁποία περὶ τὰς πεπιλημένας νεφέλας φαίνεται ἀμαύρωσις, ἐπερχομένου ἀνέμου σημεῖον. § τὸ δὲ ἐπισκιοι* (870) *οὐ καθαραί, ἀλλὰ διεσκεδασμέναι, οἷον σωματοειδεῖς καὶ παχεῖαι.*

872—6. *μᾶλλον κνέφαος φορέοιντο: μᾶλλον γὰρ μελαινόμεναι ὕδωρ σημαίνουσιν. εἰ δὲ βραχίς τις περὶ αὐτὰς σκιασμὸς εἴη, οἷος ἐκ μαλακοῦ νέφους ἐπιγίνεται, ἄνεμος ἔσται.*

877—9. *οὐδὲ μὲν ἠελίοιο: καὶ περὶ τὸν ἥλιον ἅλωες συνίστανται, ὥσπερ καὶ ἐπὶ τῆς σελήνης ἔφαμεν* (p. 488). *ὁ δὲ λόγος· οὐδὲ μὴν πλησίον τοῦ ἡλίου μελαινόμεναι ἅλωες εὐδίας εἰσὶ σημαντικαί, πλησίαι δὲ μᾶλλον τυγχάνουσαι καὶ διηνεκῶς μέλαιναι ἐπίτασιν ἔχουσι χειμῶνος, πολλῶι δὲ μᾶλλον, ἐὰν δύο τυγχάνωσιν. τὸ δὲ ἀστεμφές* (878) *ἀντὶ τοῦ σκληρῶς καὶ ἀμετακινήτως. ταύτας δὲ λέγουσι χειμῶνα ποιεῖν· εἰ γάρ, ὡς προείπομεν* (p. 489), *ὁ χειμερινὸς ἀὴρ ἀπὸ τοῦ πλήθους ἀναδίδωσιν αὐτὰς εἰς τὸν οὐρανόν, αὗται δὲ ἐλθοῦσαι ἐγγὺς ἡλίου μὴ καταφλεχθῶσιν, ἀλλ' ἐκ τῆς στερεότητος μείνωσιν οὕτω, πάντως μέγαν πάνυ χειμῶνα σημαίνουσι, καὶ μᾶλλον, ἐὰν δύο γένωνται.*

880. *σκέπτεο δ' ἢ ἀνιόντος: διὰ τούτων παραινεῖ*

---

1 *ὄμβροι* M | *σκιαζουσῶν* M ‖ 3 *ὁ δὲ νοῦς* lemmate omisso A (novi scholii initio indicato), Ald scholiis coniunctis ‖ 6 *φαίνουσιν* A | *μὴ ἐπιλ.* M ‖ 7 *αἱ* om AAld ‖ 10, 1 *ἀμαύρωσις φαίνεται* Ald ‖ 12 *διεσκεδασμέναι* om A Ald ‖ 14 *η'* lemmati praescripsit, ut esset scholii numerus, AM, *τὸ δὲ* Ald ‖ 14, 5 *ἀντὶ τοῦ μ. μελ. τότε δὲ ὕδ.* Ald | *μελαινόμενος* A ‖ 15 *σημαίνει* A ‖ 15, 6 *σκιασμὸς περὶ αὐτὰς εἴη* AAld ‖ 16 *οἷον* M ‖ 17, 9 *ἅλωνες* AAld ‖ 18 *ἔφημεν* AAld ‖ 19 *πλησίον* AAld ‖ 20 *μέλαινε* M ‖ 21 *πολλῶ* AAld: *πολὺν* M ‖ 22 *ἀστεμφέως* M ‖ 22, 3 *ἀστ. ἀμετακινήτως καὶ σκληρῶς* AAld | *τοιαῦται γὰρ οὖσαι μᾶλλον ποιοῦσι χειμῶνα· εἰ γὰρ* post *σκληρῶς* add Ald ‖ 25 *τὸν* om AAld ‖ 26 *στερότητος* Ald; *στερρότητος* Bekker | 29 *σκέπταιο* M

ἐπιμελέστερον ἀεὶ σκέπτεσθαι περὶ τὸν ἥλιον ἀνατέλλοντα ἢ μέλλοντα δύνειν, εἰ θεωρεῖται τὰ παρήλια λεγόμενα νέφη, καὶ παρατηρεῖν, πότερον τὸ πρὸς βορέαν νέφος ἐρυθαίνεται ἢ τὸ πρὸς νότον, ὡς τῆς ἀπὸ τούτων σημειώσεως βεβαίου οὔσης· ὅταν γὰρ ἐξ ἑκατέρων μερῶν, βορέου καὶ νότου, τὰ παρήλια φοινισσόμενα φαίνηται, ἐπίγειον χειμῶνα βαρὺν σημαίνει. ἐὰν δὲ μόνον τὸ βόρειον τοιοῦτον ᾖ, βορέαν ἄνεμον μηνύει. τὸ δὲ ἀπὸ τοῦ νότου νότον. ἐὰν δέ ποτε σταλαγμοὶ μεγάλοι ῥαγδαῖοι περὶ τὴν ἑσπέραν γένωνται, χειμῶνα σημαίνουσιν. εἶναι μέντοι ἀκριβέστερα τὰ περὶ τὴν δύσιν τοῦ ἡλίου συνιστάμενα σημεῖα.

Posidonius

881. τὰ παρήλια κυκλήσκονται: ὁ μὲν Ποσειδώνιος παρήλιόν φησι (p. 77 Bake) νέφος στρογγύλον περὶ τὴν τοῦ ἡλίου ἔκλαμψιν ἐκ τοῦ ἡλίου λάμπον· οὐ γὰρ ἰδίωι φωτὶ κέχρηται, ἀλλὰ τῶι τοῦ ἡλίου, ὥσπερ καὶ ἡ σελήνη. ἡλιοειδὲς δὲ εἶπε τῶι τε στρογγύλον εἶναι καὶ τῶι ἐλλάμπεσθαι ὑπὸ τοῦ ἡλίου. ὅμοιον οὖν αὐτὸ γίνεται παρεπόμενον τῶι ἡλίωι, παρ' ὅσον ἐκ πλαγίου αὐτοῦ ὁρᾶται. διὸ καὶ λευκὸν φαίνεται· περὶ γὰρ τὴν ἔκλαμψιν τοῦ ἡλίου τὸ τοιοῦτον αὐτῶι συμπίπτει· ἐκπέφυκε γὰρ ἐκ πλαγίων τοῦ ἡλίου ταῦτα γίνεσθαι, ἐπεὶ τὰ μὲν ὑπὸ τὸν ἥλιον νέφη ταχεῖαν λαμβάνει τὴν διάλυσιν, τὰ δὲ πολὺ ἀπηρτημένα οὐ δύναται τὴν ἀνάκλασιν τῶν ἀκτίνων ποιεῖσθαι. ἐκ δὲ τῶν πλαγίων ῥαιδίως τὴν ἔκλαμψιν συμβαίνει γίνεσθαι. ὅθεν καὶ δυομένου καὶ ἀνίσχοντος τοῦ ἡλίου ταῦτα συνίστανται τῶι λοξὰς ἐμπίπτειν εἰς αὐτὰ τὰς ἀκτῖνας μὴ οὔσας καθετικάς. συνίστανται δὲ ταῦτα καὶ ἑκατέρωθεν τοῦ ἡλίου πολλάκις. Ἀριστοτέλης (Meteor III 6 p. 377 B.) δὲ τὰ παρήλιά φησιν ἔμφασιν εἶναι μὴ ἔχοντα ὑπόστασιν.

ἄλλως. παρήλια καλοῦνται νεφέλαι αἱ τῶι ἡλίωι παρεοικυῖαι οὐ μόνον κατὰ τὴν χροιάν, ἀλλὰ καὶ κατὰ τὸ κυκλοτερὲς

---

3 *βορρᾶν* AAld | *ἐρυθραίνεται* Ald ‖ 4 *ὡς — οὔσης* om M | *βεβαιούσης* A ‖ 6 *φαίνοιτο* AAld ‖ 8 *καὶ* post *ποτε* Ald ‖ 11 *ὁ μὲν* om M ‖ 11, 2 *παρ. δὲ ὁ Π. φησι νέφη εἶναι στρογγύλα* Ald ‖ 13 *ἔκλειψιν* Λ, *ἔλλαμψιν* Ald | *λάμποντος* A, *λαμπόμενα* Ald ‖ 14 *ἡλιῶδες* A ‖ 14, 5 *διὸ καὶ παρήλια εἴρηται τῶι τε* Ald ‖ 15 *στρογγύλα* Ald ‖ 16 *ὅμοια — αὐτὰ γ. παρεπόμενα* Ald | *αὐτὸ* A, *αὐτῶ* M ‖ 17 *λευκὰ* Ald | *περὶ* Ald: *παρὰ* AM | *τὴν* om Ald ‖ 18 *τὰ τοιαῦτα* Ald | *πέφυκε* Ald ‖ 20, 1 *ἀπηρτισμένα* AAld | *δύνανται* M ‖ 21 *ἀνάκλισιν* M ‖ 22 *ῥαιδίαν* Ald | *ἔλλαμψιν* AAld ‖ 23 *δ. ἢ ἀν.* libri | *τοῦ* om M | *συνίσταται* AAld ‖ 25 *συνίστανται* ς: *-αται* AMAld | *καὶ* om AAld ‖ 28 *ἢ* (pro *ἄλλως*) Ald ‖ 29 *κατὰ* alt om A

αὐτοῦ τοῦ δίσκου. πλησίον δὲ αὐτοῦ τοῦ ἡλίου εἰσὶν αἱ νεφέλαι αὗται καὶ ἐξ αὐτοῦ φωτιζόμεναι τὴν χροιὰν αὐτοῦ ἀπομιμοῦνται. εἰσὶ δὲ καὶ κυκλοτερεῖς τὸ σχῆμα. διὸ παρήλια ἐκλήθησαν φερωνύμως· παρεοίκασι γὰρ τῶι ἡλίωι.

ἄλλως. παρήλιόν ἐστιν ἔμφασις ἡλίωι παρεμφερής, ὁμοία καὶ ἴση αὐτῶι, πεπιλημένου νέφους τὰς ἀκτῖνας ὑποδεχομένου καὶ διὰ τῆς ἐκλάμψεως ἡλιοειδῆ παρέχοντος τὴν φαντασίαν καὶ οἷον ἂν φλογοειδῆ καὶ εἰς ἓν συνηγμένην καὶ μεταξὺ μηδὲν καταλείπουσαν διάστημα, παρεπομένην τῆι τοῦ ἡλίου περιφορᾶι. οὕτω Σπόρος (fr 4).

ἄλλως. τὰ παρήλια ἀνθήλια μὲν καλεῖται, νέφη δέ εἰσι στρογγύλα ἀντιλάμποντα τῶι ἡλίωι, ὥστε δοκεῖν ἡλιοειδῆ ὄντα ἥλιον εἶναι. γίνονται δὲ τὰ παρήλια ἀπὸ τοῦ περὶ τὴν θάλασσαν ὑγροῦ ἀέρος, ὃς ἀναδιδόμενος εἰς νέφη διαφορεῖται. ψυχρὸς δὲ ἄνεμος ἐμπεσὼν πήγνυσιν αὐτά, κἀκεῖνα ἅτε δὴ στερρὰ καὶ τὰς ἀκτῖνας δυνάμενα δέχεσθαι ἐρυθαίνονται. διὸ καὶ ἀνέμου φησὶν αὐτὰ σημεῖα. ὕλης δὲ πυκνῆς δεῖται ἡ τούτων σύστασις καὶ πολλῆς. διά τοι τοῦτο καὶ ἀμφὶ τὸν Εὔξεινον πόντον τὰ πολλὰ φαίνεται συνιστάμενα, σπανίως δὲ κατὰ τὴν Ἑλλάδα. σημεῖον δέ ἐστιν ἐναργὲς χειμῶνος. ὁ δὲ νοῦς (880—8)· *περισκόπει δὲ ἢ ἀνατέλλοντος ἢ εὐθέως δυομένου τοῦ ἡλίου, εἴ που πλησίον αὐτοῦ εἰσι νεφέλαι, ἅπερ καλεῖται παρήλια, ἢ ἐκ τῶν νοτίων μερῶν τοῦ ἡλίου ἢ ἐκ τῶν βορείων ἢ καὶ ἐξ ἑκατέρου μέρους, καὶ ἐκ νότου καὶ ἐκ βορέου. μηδαμῶς δὲ τὴν ὄψιν ταύτην τῶν παρηλίων νεφῶν ἀμεληνῶς καὶ ὡς ἔτυχε φυλάσσου, ἀλλ' ἐπιμελῶς· ἔστι γὰρ χρειώδες καὶ κάλλιστον τὸ τεκμήριον· οὐδὲ γάρ, ἐκεῖναι αἱ παρήλιοι νεφέλαι ὅτε ἐξ ἑκατέρου μέρους ἔχουσι τὸν ἥλιον πλησίον τοῦ ὠκεανοῦ ἢ τοῦ ἀνατολικοῦ ἢ τοῦ δυτικοῦ, γίνεται παρὰ Διὸς ἀναβολὴ χειμῶνος, ἀλλ' εὐθέως ἐπιπεσεῖται μέγας χειμών.*

885. *ὠκεανοῖο: τοῦ ὁρίζοντος, τοῦ τε ἀνατολικοῦ καὶ*

---

1 *τοῦ δίσκου αὐτοῦ* Ald ‖ 3 *εἰσὶν οὖν κ.* Ald | *παρήλιοι* Ald ‖ 4 *τῶι* om AAld ‖ 5, 11 *ἤ* (pro *ἄλλως*) Ald ‖ 5 *παρήλια* AAld | *ἡλίου περιφερὴς* AAld ‖ 8 *ἂν* Ald: *ἄνω* AM ‖ 9 *καταλείπουσα* M, *παραλείπουσαν* Ald ‖ 11 *μὲν* om AAld | *καλ. ἀνθ.* Ald ‖ 13 *γίνεται* Ald ‖ 15 *στερρὰ* om AAld ‖ 16 *ἐρυθραίνονται* AAld | *ἀνέμων* AAld ‖ 21, 2 *πλησίον* post *νεφ.* AAld ‖ 22 *αἵπερ καλοῦνται παρήλιοι ἐκ* AAld ‖ 23 *καὶ* om AAld ‖ 24 *νοτίου* et *βορείου* A Ald ‖ 26 *τὸ* om AAld ‖ 27 *ὅτε* post *γὰρ* Ald | *παρήλιαι* A ‖ 31 schol 885 A: om M; Ald sic *ὁρίζονται οὖν τὸν ὠκεανὸν λέγει, τόν τε ἀνατολικὸν καὶ τὸν δυτικόν· καὶ γὰρ ἐν κτλ.*

τοῦ δυτικοῦ· καὶ γὰρ ἐν τῇι ἀνατολῇι καὶ ἐν τῇι δύσει φαίνονται ἅλωνες ἡλίου ἑκατέρωθεν.

887—9. *εἴ γε μὲν ἐκ βορέαο* —: *ὁ νοῦς· ἐὰν μία νεφέλη ἐκ τοῦ βορέου φοινίσσοιτο, βορέαν δηλοῖ. ἐὰν δὲ νοτία, νότον. ἔσθ' ὅτε δὲ καὶ ῥαθάμιγγες ὑετοῦ συνεχεῖς καταφέρονται.*

ἄλλως. ἐάν που καὶ ῥαθάμιγγες καὶ σταγόνες ὑετοῦ ἐπιτρέχωσι μετ' αὐτῶν τῶν παρηλίων κατὰ κοινοῦ, οὐ γίνεται ἀναβολὴ τοῦ σχεδὸν ὄντος καὶ ἐκ τοῦ Διὸς ἐπερχομένου χειμῶνος.

889. *ἦ καί που ῥαθάμιγγες* —: *ἐὰν δέ ποτε σταλαγμοὶ μεγάλοι καὶ ῥαγδαῖοι περὶ τὴν ἑσπέραν γένωνται, χειμῶνα σημαίνουσιν. εἶναι μέντοι ἀκριβέστατα τέρατά ⟨φησι τὰ⟩ περὶ τὴν δύσιν τοῦ ἡλίου συνιστάμενα σημεῖα* (890).

890. *ἑσπερίοις καὶ μᾶλλον* —: *ἐκθέμενος πάντα τὰ ἐκ τοῦ ἡλίου τεκμήρια παραγγελίαν τινὰ εἰσάγει καὶ παραινεῖ μᾶλλον τοῖς πρὸς τῇι δύσει τεκμηρίοις προσέχειν τὸν νόον, ἐπειδὴ τὰ ἐν τῇι ἀνατολῇι συνιστάμενα τεκμήρια ἢ ἀπὸ νεφῶν ἢ ἀπὸ ἄλλων τινῶν ἀνιόντος τοῦ ἡλίου εὐθέως διαλύεται καὶ πολλάκις τις οὐδὲ πάνυ τὴν κατάληψιν δέχεται. τὰ δὲ ἐν τῇι δύσει ἀληθῆ, ἐπεί φαμεν ἐνταῦθα τὸν ἀέρα ἐπὶ πλεῖον συνῆχθαι κατακρατηθέντα τῇι ἀναθυμιάσει. διὸ καὶ παχύτερον εἶναι λέγομεν τὸν νότιον ἀέρα, ὅτι πορρωτέρω ἐστὶ τῆς ἡλιακῆς περιόδου.*

ἐπίτρεπε: τὴν τῶν σημείων κρίσιν. τοῦτο γὰρ τὸ ἐπιτρέπειν Ἀττικῶς ἐστιν αἱρεῖσθαί τινα διαιτητὴν διακρίνοντα τὸ ἀμφισβητήσιμον. τὸ δὲ ἑσπέρας σημεῖον μένον ἀεὶ ἰσχυρὸν καὶ βέβαιον μᾶλλον ἢ τὸ ἑωθινόν.

1, 2 *φαίνεται τὰ παρήλια ἑκατ. τοῦ ἡλίου* Ald ‖ 3 *μὴν* A | lemmate omisso post *ἡλίου* (cf ad l. 1) Ald sic *καὶ εἰ μὲν ἐκ τοῦ βορέου ἡ νεφέλη φοινίσσοιτο, βορέαν δηλοῖ, εἰ δὲ ἐκ νότου, νότον* ceteris omissis, deinde pergit *ἔσθ' ὅτε καὶ ῥαθάμιγγες: γράφεται εἰ καί που ῥαθάμιγγες. ὃ καὶ ἄμεινον* ‖ 4 *νότου νότον* Ald ‖ 5 *δὲ* om A | *ὑετοὺς* A ‖ 6 *καί που* A ‖ 8 *τοῦ* om A ‖ 10 *ἦ* (pro lemmate) Ald ‖ 12, 3 *εἶναι — σημεῖα* om Ald ‖ 12 *ἀκριβὲς τὰ* AM ‖ 16 *νοῦν* Ald ‖ 19 *τις* post *πάνυ* AAld ‖ 19, 20 *τά γε μὲν περὶ τὴν δύσιν τοῦ ἡ. συνιστάμενα σημεῖα ἀληθῆ* Ald ‖ 21 *κρατηθέντα* AAld | *τῇ* om M | *εἶναι* om AAld ‖ 23, 4 *ἐπίτρεπε* et *ἐπιτρέπειν* scripsi e scholii explicatione: *ἐπίτρεχε* et *ἐπιτρέχειν* libri ‖ 23 *ἐπίτρεχε οὖν* scholiis coniunctis Ald | post *κρίσιν* Ald *τὸ δὲ ἔχειν ταῦτα ἀκριβῶς* ‖ 24 *ἀττικῶς* M: *ἀκριβῶς* AAld | *ἐστιν* scripsi: *τὸ* AM, om Ald ‖ 25, 6 post *σημ.* Ald *τοιοῦτόν ἐστι μ. ἀ. καὶ ἰ.* ‖ 26 *ὄν* post *βέβ.* add Ald | *ἢ μᾶλλον* AM

892. *σκέπτεο καὶ Φάτνην*: *θεωρεῖταί τις ὑπὸ τῶι Καρκίνωι Φάτνη, νεφελοειδὴς τῆι συστροφῆι μικρὰ καὶ μᾶλλον ἀμυδροτέρα ὑπὸ τὸ νωτιαῖον ὄστρακον τοῦ Καρκίνου, ἥτις ὑπὸ τῶν προτέρων φιλοσόφων οὕτω Φάτνη προσηγόρευται. εἰσὶ δὲ καὶ παρ' ἑκατέρωι τῆς Φάτνης δύο ἀστέρες, ὁ μὲν βόρειος, ὁ δὲ νότιος, οὓς Ὄνους ἐκάλεσαν διὰ τὸ παρακεῖσθαι τῆι Φάτνηι. δίδωσι γοῦν ἡμῖν καὶ ἐκ ταύτης τῆς Φάτνης τεκμήριον χειμῶνος ὁ ποιητής.*

ἣ μέν τ' ὀλίγηι εἰκυῖα: *ἥτις, ἡ Φάτνη, ὀλίγηι εἰκυῖα ἀορασίαι, οἱονεὶ μᾶλλόν τις ἀμυδροτέρα οὖσα, ὑπὸ τῶι Καρκίνωι συνῆκται καὶ συνέστραπται.* § *τὸ δὲ βορραίη* (893) *ἀντὶ τοῦ βορεινή, εἰκότως· εἰ γὰρ ὑπὸ τὸ νωτιαῖον ὄστρακόν ἐστι τοῦ Καρκίνου, ὃς ἐστι παντὸς τοῦ ζωιδιακοῦ βορειότερος, εἰκότως ἂν εἴη βορεινὴ ὑπὸ Καρκίνωι.*

893. *ὑπὸ Καρκίνωι ἠγηλάζει*: *ἀντὶ τοῦ ὑπὸ τοῦ Καρκίνου· αὐτὸς γὰρ ὁ Καρκίνος ἐπὶ πρόσωπόν ἐστιν ἐμπεπηγὼς τῶι οὐρανῶι. ὑποκάτω οὖν αὐτοῦ, ἐν τῶι νωτιαίωι ὀστράκωι δηλονότι, ἠγηλάζει ἀντὶ τοῦ συνέστραπται συνέσταλται ἢ ὑπόκειται· ἐν ὀλίγωι γάρ ἐστιν ἡ [κίνησις] συστροφὴ καὶ πίλησις νεφελώδης.*

ἄλλως. περὶ Φάτνης. ἐν τῶι δωδεκατημορίωι τοῦ Καρκίνου νεφέλιόν τί ἐστι προσεοικὸς τῶι γαλαξίαι μεταξὺ ἀστερίσκων κείμενον, οἳ δοκοῦσιν ὀφθαλμοὶ εἶναι Καρκίνου. καλεῖται δὲ τὸ μὲν νεφέλιον Φάτνη, οἱ δὲ ἀστέρες Ὄνοι. καὶ ἔστιν ὁ μὲν βόρειος ὁ δὲ νότιος. μεταξὺ δὲ αὐτῶν διάστημα ὅσον πυγῶνός ἐστιν.

894. *ἀμφὶ δέ μιν δύο λεπτὰ —*: *τὸ λεπτά ἀντὶ τοῦ λεπτῶς καὶ ἀμυδρῶς· εἰσὶ γὰρ οὗτοι οἱ ἀστέρες οὐ πάνυ λαμπροί.*

---

2 *νεφελώδης* AAld | *μάλα* libri ‖ 3 *ἀμυδρὰ* Ald | *νοτιαῖον* libri ‖ 4 de *φιλοσόφων* cf *Gött Gel Anz* 1893 p. 635[1] | *προσαγόρευται* A ‖ 5 *ἑκάτερα* AAld ‖ 7 *οὖν* Ald | *καὶ* om Ald ‖ 7, 8 *τεκμήρια χ. ὁ θαυμάσιος* AAld ‖ 8 *ἡμῖν* ante *ὁ* iterum M ‖ 9 *ἡ* alt om M | *ἐοικυῖα* bis Ald | *ὀλίγη* libri ‖ 9, 10 *ἀορασία εἰκυῖα* (*ἐοικυῖα* Ald) AAld ‖ 11 *συνῆκται* Ald: *συνῆπται* AM | *καὶ συνέστραπται* om M ‖ 12, 14 *βορινὴ* M ‖ 12, 17 *νοτιαῖον* et *νοτιαίω* AM ‖ 14 *καρκίνου* AAld ‖ 15, 6 *ὑπὸ — Καρκίνου* om M ‖ 15 *ἀγηλάζει* pro lemmate Ald ‖ 15, 6 *ἀντὶ — γὰρ* om Ald ‖ 16 *ἐμπ. ἐστιν* A ‖ 17 *δὲ* pro *οὖν* Ald ‖ 18 *δ. ἡ φάτνη ἀγηλάζει ἤγουν* Ald ‖ 18, 9 *συνέστ. ἢ ὑπ.* om M ‖ 19 *καὶ* post *κ.* suppl Ald ‖ 19, 20 *συστροφὴ αὐτῆς καὶ ἡ νεφ. ἐπίλυσις* Ald | *ἐπίλυσις νεφελώδης* A ‖ 21 *περὶ Φ.* om M ‖ 24 *ἔστιν* om Ald ‖ 28 *οὗτοι* om M ‖ 28, 9 *μάλα λ.* AAld

894—6. *φαεινόμενοι ⟨φορέονται⟩: φαίνονται. ὁ δὲ νοῦς· περὶ δὲ τὴν Φάτνην δύο ἀστέρες λεπτῶς φαίνονται οὔτε σφόδρα ἀλλήλων ἀπηρτημένοι οὔτε μὴν συνηνωμένοι, ἀλλ' ἐν τῶι ὁρᾶσθαι τοσοῦτον φαίνονται ἀφεστηκότες, ὅσον ἐστὶ πυγούσιον ὑπονοῆσαί τινα.*

896. *πυγούσιον οἰήσεσθαι: πυγὼν δέ ἐστι τὸ ἀπὸ τοῦ ὠλεκράνου μέχρι τοῦ μετακονδυλίου ἐπὶ τὸν μικρὸν δάκτυλον τῆς χειρὸς κεκαμμένον μέτρον.*

897, 8. *εἷς μὲν πὰρ βορέαο —: καὶ ὁ μὲν εἷς αὐτῶν βορειότερός ἐστιν, ὁ δὲ ἄλλος νοτιώτερος. οὗτοι δὲ καλοῦνται Ὄνοι, ἀνὰ μέσον δὲ αὐτῶν ἡ Φάτνη ἐστίν.*

899—902. *ἥ τε καὶ ἐξαπίνης —: ἥτις, ἡ Φάτνη, καὶ παντελῶς οὔσης εὐδίας αἰφνιδίως ἀφανὴς γίνεται. οἱ δὲ ἑκάτεροι περὶ αὐτὴν ἀστέρες ὥσπερ συνεχόμενοι πλησίον ἀλλήλων φαντασίαν παρέχουσιν. ὅτε δὲ τοῦτο τὸ σημεῖον γίνεται, τότε ἡ Φάτνη αἰφνιδίως ἄφαντος οὕτως εὐδίας οὔσης καὶ μέλλοντος χειμῶνος ἔσεσθαι γίνεται. τὸ δὲ αἴτιον τοιοῦτον· ὑγρότης ἀέρος γίνεται ἡμῖν ἀνεπαίσθητος, καὶ ἐκ τῆς παχύτητος καὶ ὑγρότητος ἐκείνης ἡ Φάτνη οὖσα καὶ κατὰ φύσιν ἀμυδρὰ ἀφανὴς γίνεται. διείργουσα δὲ τοὺς Ὄνους, ὅτε ἀφαντοῦται, ὑπόνοιαν ἡμῖν παρέχει τοῦ πλησιάζειν ἀλλήλοις.*

ὁ νοῦς (899—908)· *ἐάν, φησίν, οἱ μὲν ἀστέρες ἐγγὺς ἀλλήλων φαίνωνται, ἀφανὴς δὲ ἡ Φάτνη, τηνικαῦτα βαρὺν χειμῶνα προσδέχου. αἴτιον δὲ τοῦ μὴ τὴν Φάτνην ὁρᾶσθαι καὶ τοὺς ἀστέρας ἐγγὺς ἀλλήλων ⟨φαίνεσθαι⟩ τὸ διὰ νεφώδους αὐτοὺς τοῦ ἀέρος ὁρᾶσθαι καὶ ὅσον οὐδέπω μεταβαλόντος εἰς ὕδωρ· συγκλέπτεσθαι γὰρ φιλεῖ τὸ μεταξὺ διάστημα τῶν δι' ὕδατος ὁρωμένων. ὁμοίως δέ, κἂν μελαίνηται μὲν ἡ Φάτνη, οἱ δὲ ἀστέρες καταφαίνωνται*

---

1 *φαεινόμενοι φαίν.* om M; *τὸ δὲ φαεινόμενοι φορέονται ἀντὶ τοῦ φαίνονται* Ald ‖ 3 *ἐν τῶι* Ald omisso *ἀλλ'* ‖ 3, 4 *συνορᾶσθαι δὲ* Ald ‖ 4 *φαίνονται* om M ‖ 6 schol bis lemmate omisso M | *πυγούσιον δὲ ἤγουν πυγῶνα* ante *πυγὼν* add Ald | *λέγεται* pro *ἐστι* A, *καλεῖται* M altero loco | *ὁ* AM ‖ 7 *μέχρι τ. μετ.* om AAld ‖ 8 *κεκραμμένον* Ald ‖ 9 lemma om M | *καὶ* om M ‖ 10 *ἕτερος* AAld | *οὗτοι* Ald: *αὐτὶ* A, *αὐτοὶ* M ‖ 12 *καὶ* om AAld | *ἡ* om M ‖ 15 *ὅταν* Ald | *γένηται* libri | *τὸ σημεῖον* post *γ.* A, om Ald ‖ 15, 6 *γ. καὶ τὸ τὴν Φάτνην ἄφαντον γενέσθαι αἰφνιδίως εὐδίας οὔσης μέλλ.* Ald ‖ 16 *ἄφ. αἰφν. γίνεται εὐδίας* A ‖ 17 *τοιοῦτο* Ald ‖ 19 *καὶ* om AAld ‖ 22 *δὲ* post *ὁ* AAld ‖ 23 *βραχὺν* AAld, cf Ar ‖ 23, 4 *προσδόκα* AAld ‖ 24 *τὴν* om A | *ὁρ. τοὺς δὲ* Ald ‖ 25 *εἶναι* suppl Ald | *τοῦ* om Ald ‖ 26 *μεταβάλλοντας* A ‖ 27 *ὑδάτων* Ald ‖ 28 *καταφαίνονται* A

τὴν αὐτὴν θέσιν ἔχοντες πρὸς ἀλλήλους, ὑετὸν προδηλοῖ· πάλιν γὰρ ἡ Φάτνη μελαίνεται, τοῦ ἀέρος εἰς αὐτὴν στελλομένου. ἐὰν δὲ τῶν ἀστέρων τούτων ὁ μὲν βόρειος ἀμαυρὸς φαίνηται, λαμπρὸς δὲ ὁ νότιος, νότον ἴσθι πνευσόμενον. καὶ ἔμπαλιν, ἐὰν μὲν ἀμαυρὸς ὁ νότιος, λαμπρὸς δὲ ὁ βόρειος, βορέαν προσδέχου πνευσόμενον.

ἄλλως. ἐὰν εὐδίας οὔσης ἴδῃς τὴν Φάτνην αἰφνιδίως γενομένην ἀφανῆ, τοὺς δὲ Ὄνους ἐξ ἑκατέρων τῶν μερῶν φαινομένους λαμπρούς, μέγαν χειμῶνα προσδόκα. ἐὰν δὲ μὴ μόνον ἀφανὴς γένηται ἡ Φάτνη, ἀλλὰ μελαίνηται ὁ τόπος, ἐφ' ᾧι κατεστήρικται, οἱ Ὄνοι δὲ τότε καὶ αὐτοὶ ἀμαυροὶ φαίνωνται, ὄμβρον προσδοκᾶν. ἂν τοίνυν ἐξαίφνης ἀφανὴς μὲν ἡ Φάτνη γενηθῆι, οἱ δ' ἀστέρες ἐγγυτέρω ἀλλήλων φανῶσι, χειμῶνα ἔπομβρον δηλοῖ. εἰ δὲ μέλαινα [ἡ]ι τῆι φαντασίαι, οἱ δὲ ἀστέρες τὴν αὐτὴν σχέσιν πρὸς ἀλλήλους ἔχουσιν, ὑετὸν προσημαίνει.

903, 4. εἰ δὲ μελαίνηται —: ἐὰν δὲ μέλαιναν καὶ ζοφώδη ἔχηι τὴν χροιὰν ἡ Φάτνη πάλιν ἐκ τῆς τοῦ ἀέρος παχύτητος, οἱ δὲ ἀστέρες ὦσιν ἐοικότες αὐτοῖς μηδέν τι περὶ τὸ φῶς ἀμαυρούμενοι, τότε σημεῖόν ἐστιν ὄμβρου ἐσομένου· τὰ γὰρ ζοφώδη τῶν διαστημάτων πολλάκις προεῖπεν ὅτι δηλωτικά ἐστιν ὕδατος.

905. εἰ δ' ὃ μὲν ἐκ βορέω: προείπομεν καὶ ἐν Φαινομένοις (p. 422 sq.), ὡς ἐπὶ τοῦ Θυτηρίου καὶ τοῦ Κενταύρου, ὁτε μέλλουσι πνεῖν, ἄνεμοι τοῖς πλησίον αὐτῶν παχυμερεῖς συστάσεις προανα⟨σ⟩τέλλουσι καὶ λαμπρὰ ἀποδεικνύουσιν. οὕτω καὶ νῦν, ἐάν, φησίν, ὁ ἐκ βορείου μέρους τῆς Φάτνης ἀμαυρὸς φανῆι

---

1 προσδηλοῖ AAld ‖ 2 αὐτὸν M ‖ 3, 4 ὁ δὲ νότιος λαμπρός AAld ‖ 5 νότος A | φαίνηται post ὁ ν. Ald | ὁ πρὸς βορέαν βορέαν AAld ‖ 7 ἢ pro ἄλλως Ald ‖ 8 γινομένην AAld ‖ 9, 10 εἰ δὲ μὴ μόνον ἀφ. γίνεται A | μόνον om et μὲν post ἀφ. add Ald ‖ 10 ᾧ AAld: οὗ M ‖ 11 δὲ Ὄ. οὐκ ἀμ. Ald | τότε scripsi: ὅτε AM, om Ald | αὐτοὶ om A | φαίνονται AAld ‖ 12 προσδόκα AAld | ὥστε εἰ μὲν ἐξ. Ald | μὲν hic om Ald ‖ 13 γεννηθῆ A | ἐγγύτερον A Ald ‖ 14 ἐπ' ὄμβρον A | ἦν A | μὲν ἐκείνη post μέλ. add Ald ‖ 15 ἔχωσιν Ald ‖ 15, 6 προσδόκα AAld ‖ 18 Φ. καὶ τοῦτο δὲ ἐκ τῆς Ald | γίνεται post παχ. Ald ‖ 19 αὐτοῖς libri | μηδέ M | περὶ AAld: παρὰ M ‖ 21 ὡς προείπομεν δ. AAld ‖ 23 βορέω AAld: βορέαο M | ἐμ M ‖ 24, 5 ὅταν μέλλωσι Ald ‖ 25 ἄνεμοι om A | τὰς M | ἄστροις ante παχ. add Ald ‖ 26 λαμπρους ἐπιδεικνύουσιν A, πρ. αὐτὰ δὲ λαμπρὰ ἐπιδείκνυται. οὕτως οὖν καὶ Ald ‖ 27 ὡς ἐκ Ald | ὁ om AAld | ἀστὴρ post Φ. add Ald

ἠρέμα πως ἀχλυώδης ὤν, ὁ δὲ νότιος Ὄνος φαίνηται, τότε ἐπισκόπει καὶ ζήτει πνευσόμενον τὸν νότον· τὰ γὰρ πρὸ ἑαυτοῦ ὁ ἄνεμος ἀναστείλας καὶ τὸν νότιον Ὄνον φανερώτερον πεποίηκεν.

907, 8. *βορέω δὲ μάλα χρή: χρὴ δὲ ἐπιτηρεῖν τὸν βορέαν πνέοντα, ὅταν ᾖι τὸ ἔμπαλιν τοῦ προειρημένου, ἵν' ᾖι ἀχλυόεντι μὲν τῶι νοτίωι, φαεινομένωι δὲ τῶι βορείωι'.*

909—12. *σῆμα δέ τοι ἀνέμοιο: ἀπὸ τῶν οὐρανίων σημείων μεταβέβηκεν εἰς τὰ ὑπέργεια, καὶ ἀπὸ πρώτης ἄρχεται θαλάσσης· ὅταν γάρ, φησίν, εὐδίας οὔσης ἡ θάλασσα μετεωρίζηται καὶ μακροὺς ἀπὸ τῶν αἰγιαλῶν ἤχους ἀποτελῆι, ἄνεμον δεῖ προσδοκᾶν. ὁμοίως δὲ καὶ οἱ πλησίον τῆς θαλάσσης ἀκταὶ πλεῖον τοῦ κατὰ φύσιν ἐπηχοῦσαι μέλλοντας ἀνέμους σημαίνουσιν. ὡσαύτως δὲ καί, ὅταν αἱ ἀκρώρειαι τῶν ὀρῶν βοὴν ἀποτελῶσιν. ἄρχεται δὲ ἀπὸ τοῦ κρατίστου τῶν ἐπὶ γῆς στοιχείων, λέγω δὴ τῆς θαλάσσης. ὁ δὲ νοῦς· καὶ ἐπαιρομένη τοῖς ὕδασιν ἡ θάλασσα σημεῖόν σοι ἔστω ἀνέμου καὶ οἱ αἰγιαλοὶ μέγα κράζοντες, ἐκ τῶν κυμάτων δηλονότι. καὶ Ὅμηρος 'αἰγιαλῶι μεγάλωι βρέμεται, σμαραγεῖ δέ τε πόντος'* (Il II 210) *'ὀχθεῖ δὲ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο'* (Od V 402).

ἄλλως. πολλάκις εἰρήκαμεν, ὅτι σφόδρα πεφρόντικε τοῦ ἐπιδεῖξαι τεκμήρια πολλὰ χειμῶνος ὁ Ἄρατος προνοούμενος τῶν ἀνθρώπων· δεδωκὼς γὰρ ἐξ ἄστρων καὶ ἡλίου καὶ σελήνης καὶ τῆς Φάτνης τεκμήρια θεῖά τε καὶ ἀληθῆ γινώσκων, ὡς οὐχὶ πάντες εἰσὶν ἐπιστήμονες τῶν οὐρανίων οὐδὲ ἀκριβεῖς καὶ πεπαιδευμένοι εἰς τὸ καταλαμβάνεσθαι τὰ ἐν οὐρανῶι τεκμήρια, καὶ ἐκ τῶν ἐν τῆι γῆι γινομένων τεκμηρίων διδασκαλίαν ποιεῖ-

---

1 *φαίνεται* A ‖ 3 *ἀνατείλας* A | *καὶ* om Ald ‖ 4 post *πεπ.* A *ἕως ὧδε περὶ τοῦ ἡλίου*: om MAld ‖ 5 *δὲ* om A ‖ 5, 6 *τὸν βορρᾶν δὲ ἐπιτηρεῖν χρὴ πν.* Ald ‖ 6 *εἰρημένου γένηται* omisso *ἵν' ᾖι* Ald ‖ 6, 7 *ἀχλυώδους μὲν δηλαδὴ τοῦ νοτίου, λάμποντος δὲ τοῦ βορείου* Ald ‖ 8 *σήματα δ' ἀνέμοιο* M ‖ 10 *ὁπόταν* Ald ‖ 13 *ἠχοῦσαι* AAld ‖ 15 *ἀρξάμενος οὖν ἀπὸ — στοιχ. πρὸς τὸ σημᾶναι φυσήσοντας ἀνέμους τ. θ. δηλαδή φησιν ἐπαιρομένη* Ald ‖ 16 post *θ.* A *ἀνέμου σημαινούσης τοῦ φυσῆσαι* ‖ 17 *ἀνέμων* AAld ‖ 18 *κράζονται* Ald | *καὶ* om M ‖ 19 *βρέμοντι* libri ‖ 20 *γὰρ* Od codd, at *δὲ* etiam alii testes, cf Nauckii ed | *ξηρῆς* libri | post *ἠπείροιο* AAld habent p. 509, 7—14 (*συμβ. — συμπ.*) ‖ 21 *εἰρ. πολλ.* Ald ‖ 23 *οὖν* (pro *γὰρ*) Ald | *καὶ σελ. καὶ ἡλ.* Ald ‖ 25 *οὐχ* M | *οὔτε* libri ‖ 26 *καταλαμβάνειν* Ald ‖ 27 *καὶ ἐκ τῶν παρ' ἡμᾶς καὶ μᾶλλον ἡμῖν γνωστῶν τὴν διδ.* Ald

ται, οἷον ἐκ θαλάσσης ἐκ πτηνῶν ἐκ πυρὸς ἐκ ζώιων, καὶ ἐξ ἄλλων πολλῶν κατάληψιν ἡμῖν παρέχει χρησιμωτάτην.

ἄλλως. ἀνέμου δὲ σημεῖον, καὶ ὅταν ἐξαίφνης νηνεμίας ἔτι οὔσης ἀνοιδαίνηι ἡ θάλασσα, καὶ ὅταν ἐπὶ πολὺ ἠχῶσιν οἱ αἰγιαλοί, καὶ ὅταν εὐδίας οὔσης αἱ προτενεῖς ἐπὶ πέλαγος ἀκταὶ ἀποτελῶσιν ἦχον, καὶ ὅταν περὶ τὰς κορυφὰς τῶν ὀρῶν ἀκούηται ἦχος. συμβαίνει δὲ ταῦτα, διότι ἀκροσφαλὴς ἡ γειτνίασις τοῦ ἀέρος καὶ τῶι ὕδατι καὶ τῆι γῆι πρὸς ἠρεμίαν τε καὶ στάσιν. ἀρχομένου οὖν τοῦ ἀέρος ἠσυχῆι ῥεῖν σημεῖον ὁ ψόφος· καὶ γὰρ μεταβολὴ μὲν γίνεται ἀέρος, οὐδέπω μέντοι γε ἡμῖν αἰσθητή· καὶ γὰρ ἡ θάλασσα διοιδαίνουσα τοῦτο πάσχει κατ' ἔμπτωσιν ἀνέμων αἵ τε ἀκταὶ ἠχοῦσαι· ἡ γὰρ λαλιὰ τῶν ἀνθρώπων οὐκ ἐᾶι τῆς τοῦ ἀέρος κινήσεως αἴσθησιν λαμβάνειν μὴ σφοδρᾶς ὑπαρχούσης, ἐν δὲ τοῖς ἐρήμοις τοῦτο συμπίπτει.

913—5. καὶ δ' ἂν ἐπὶ ξηρὴν ὅ τ' ἐρωδιός: καὶ ὅταν ὁ ἐρωδιὸς ἐκ θαλάσσης ἐπὶ τὴν ξηρὰν σφόδρα βοῶν ἔρχηται, γίνωσκε, ὅτι ἀνέμου κινουμένου σημεῖόν ἐστιν. ὁ δὲ ἐρωδιὸς τὸ ὄρνεον τῶν ἀμφιβίων ἐστὶ καί ποτε μὲν ἐν ξηροῖς, ποτὲ δὲ ἐν ὑγροῖς διάγει. πολλάκις οὖν ἐν θαλάσσηι διατρίβων αἴσθεται μέλλοντος πνεύματος κατιέναι, καὶ δεδοικώς, μήποτε αὐτὸν ἡ ἐκ τῆς θαλάσσης ζάλη καὶ τοῦ ἀνέμου τρικυμία περίσχηι, τεθορυβημένος ἔξεισιν ἐπὶ τὴν γῆν, καὶ κραυγάζων τῆι φωνῆι καὶ τῆι ἀτάκτωι πτήσει τὸν φόβον ὑποσημαίνει. αἱ δὲ τῶν ζώιων προσημασίαι γίνονται ἤτοι νοῦ ὀξύτητι ἢ αἰσθήσεως ταχύτητι. ἑκάτερον δὲ τούτων ἐνδεχόμενον, αἰσθήσει δέ, ἤτοι ψυχρότητος περιστολῆι ἢ ἀπὸ ἀναθυμιάσεως ὀσφρήσει. ὁ μὲν οὖν ἄνθρωπος διὰ τὰ σκεπάσματα τοῦ ψύχους παραλλαγεὶς οὐκ αἰσθάνεται οὐδὲ τῆι ὀσφρήσει διὰ μῖξιν τῶν χυμῶν ἀντιλαμβάνεται, τὰ δὲ θηρία δι' εὐαισθησίαν προφητεύοντα σημαίνει τὰ ἐσόμενα. φεύγει τοίνυν ὁ ἐρωδιὸς τὸν χειμῶνα καὶ τὴν θάλασσαν προαισθανόμενος.

---

2 ἄλλων καὶ ἐκ πάντων τὴν κατ. Ald | παρέχει τοῦ χειμῶνος: — Ald ‖ 3—7 om AAld, cf p. 508, 20 ‖ 12 ἠχοῦσιν Ald ‖ 14 σφοδρᾶς Ald: σφόδρα AM ‖ 15 ὅ τ' ἐρωδιός om M ‖ 16 τῆς θ. Ald | κράζων Ald ‖ 18 καὶ om Ald ‖ 19 διάγων AAld | ἐπὶ θαλάσσης Ald ‖ 19, 20 αἰσθάνεται ς ‖ 20 πν. μέλλ. AAld ‖ 21 ἡ om M | ζάλη — ἀνέμου evanida A, om M ‖ 22 τὴν om Ald ‖ 23 καὶ om A | δηλοῖ γίνονται δὲ αἱ Ald, evanida A ‖ 25 ἑκάτ. — ἐνό. om Ald quae sic pergit ἡ δὲ ἀπὸ τῆς αἰσθήσεως διαιρεῖται· ἢ γὰρ ἀφῆι ἀπὸ ψυχρότητος | αἰσθήσεως δὲ ἤτοι evanida A ‖ 26 περιστολῆς AAld ‖ 29 scripsi: προφητοῦντα AM, προφοιτοῦντα Ald ‖ 30 τὴν θάλ. omisso καὶ ante τον Ald ‖ 31 προαισθόμενος AAld

915. *κινυμένου κε θάλασσαν*: *κινουμένου καὶ πνεῖν μέλλοντος ἀνέμου ὑπὲρ τὴν θάλασσαν φορέοιτο καὶ κομίζοιτο ἐπὶ τὴν ξηρὰν ὁ ἐρωδιός.*

916, 7. *καί ποτε καὶ κέπφοι —*: *ἀπὸ κοινοῦ τὸ κινυμένου ἀνέμοιο* (915)· *κινουμένου ἀνέμου καὶ τόδε ἐστὶ* [*τὸ*] *σημεῖον. ὁ δὲ κέπφος τὸ ὄρνεον τῶν λειποσάρκων ἐστίν· σφόδρα γὰρ αὐτὸν ἐπιλείπει ἡ σὰρξ καί ἐστιν ὀστέον μόνον σχεδὸν καὶ πτερά. ἔστι δὲ ὅλον τὸ ὄρνεον ἰσχνόν, ἀεὶ δὲ φιλῆδοῦν τῶι ἀφρῶι· τοῦτον γὰρ καὶ σιτεῖται περὶ τὰ ὕδατα ἀναστρεφόμενος, ὡς καὶ Νίκανδρός φησι* (Alex 170) *Ἠηρείων ἀφροῖο νέην κλύδα λευκαίνουσαν*. *ἐπειδὰν οὖν προαίσθηται ὀλίγον πνεύματος πνεῖν μέλλοντος, ἵπταται* ⟨*ἐναντίον*⟩ *τοῦ ἀνέμου, ἐπειδή, ὡς εἴπομεν* (l. 6 sqq.), *τὸ σῶμα σφόδρα ἰσχνὸν ἔχει καὶ ψίχους ὅλως οὐ δύναται ἀντέχεσθαι, ἀλλὰ τῆι αἰσθήσει τοῦ πνεύματος ἵπταται οὐ φεύγων τὸν ἄνεμον, ἀλλ' αὐτοῦ τοῦ ἀνέμου ἀντιπρόσωπος, ἵνα πνέων ἐκεῖνος, τούτου ὡς ἐπ' αὐτὸν φερομένου, σκέπηι αὐτὸν τοῖς πτεροῖς. τέχνηι δὲ αὐτὸ ποιεῖ ὁ κέπφος· εἰ γὰρ ἐπίπροσθεν ἔφειγεν ὄπισθεν ἔχων τὸν ἄνεμον, ἀναστελλομένων τῶν περὶ τὸ σῶμα αὐτοῦ πτερῶν ἐκ τοῦ ἀνέμου κακῶς* ⟨*ἂν*⟩ *διετίθετο. νῦν δὲ ἀντιπρόσωπος ἵπταται, ἵνα πνέων ὁ ἄνεμος σκέπηι αὐτοῦ τὰ πτερὰ καὶ οὕτως ἐνέγκηι τὸ πνεῦμα. ὅταν οὖν ἐναντίον τῶν μελλόντων* ⟨*ἀνέμων*⟩ *πνεῖν οἱ κέπφοι εἰλῆδὰ πέτωνται (οἷον κατὰ συστροφήν, κατὰ ἀγέλην κινῶνται), τότε πνεύσεται ὁ ἄνεμος.*

εὔδιοι ποτέονται: *εὐδινοὶ φερόμενοι, ὅταν προαίσθωνται τῶν ἀνέμων, ὅτι πνεύματα ἔσται, ἀντιπρόσωποι τῶν ἀνέμων ἵπτανται. φέρονται δὲ ἀντιπρόσωποι, ὥσπερ καὶ οἱ ἰχθύες πρὸς ἄνεμον νηχόμενοι· καταστέλλει γὰρ τὸ κῦμα τὴν ῥῖκην τῆς λεπίδος ἐκ κεφαλῆς ἐπερχόμενον.*

---

1 lemma A (qui *κινουμένου*), om M | *κινυμένου κ.* M | schol Ald sic *τὸ δὲ κινουμένου κε θάλασσαν ἤγουν κινουμένου κτλ.* ‖ 4 *καὶ* alt om A | *κέπφοιο* M ‖ 4, 5 *κινυμένου ἀνέμοιο κινουμένου ἀνέμου* scripsi: *κινουμένου ἀνέμοιο* A, *κινουμένου ἀνέμου* MAld ‖ 5 *τὸ* om Ald ‖ 7 *ἡ* om M ‖ 8, 9 *δὲ* alt et *καὶ* om M ‖ 9 *ἀναστρεφόμενον* AAld ‖ 11 *αἴσθηται* Ald | *ὀλίγου* M ‖ 12 *ἵπαται* M | supplevi ‖ 12—15 post *ἵπτ. οὐ φείγων τὸν ἄνεμον* Ald ‖ 12 *ὡς εἴπομεν* om M ‖ 19, 22 suppl Ald ‖ 20 *ἵσταται* M ‖ 21 *ἐναντίος* A, *-οι* Ald ‖ 22 *τουτέστι* (pro *οἷον*) AAld ‖ 23 *κινῶνται* Ald: *κινοῦνται* A, om M | *ὁ* om Ald ‖ 25 *εὐδιεινῶς* AAld | *φέρονται* Ald ‖ 26 *τότε γὰρ* post *ἔσται* add Ald ‖ 27—29 *φέρονται — ἐπερχ.* om M ‖ 29 *ἐλπίδος* A

Avien 1682, 3

ἄλλως. ὁ *κέπφος ἐνάλιον ζῳόν ἐστιν, ἀφρῷ τε χαίρων καὶ τούτῳ τρεφόμενος. ὅθεν φαίνονταί τε τῷ ἀφρῷ καὶ οὐχ ὑποχωροῦσι τοῖς φαίνοντας. εἰκότως ἄρα ἀντικρὺς τῶν πνευμάτων ἵπτανται. ἢ καί, ὅπως μὴ παραφέρωνται δι' ἐλαφρότητα κατ' οὐρὰν ἁλισκόμενοι, ὥσπερ καὶ οἱ ἰχθύες πρὸς ἄνεμον νηχόμενοι· καταστέλλει γὰρ τὸ κῦμα τὴν φρίκην τῆς λεπίδος ἐκ κεφαλῆς ἐπερχόμενον.*

918. *πολλάκι δ' ἀγριάδες νῆσσαι: νήσσας νῦν ἀγριάδας τὰς ἐν ταῖς νήσοις διατριβούσας ὄρνιθας, τὰς ἀνημέρους καὶ ἀγρίας, τὰς δὲ αἰθυίας εἰναλιδίνας φησίν, ἐπειδὴ δυνουσῶν αὐτῶν τῇι θαλάσσηι ἐπιγίνεταί τις δῖνος, τουτέστι κυκλοτερὴς τοῦ ὕδατος φορά. ταῦτα οὖν ἐπὶ τῆς χέρσου, φησίν, ὅταν τινάσσηται τὰ πτερά, ἄνεμον σημαίνει· φεύγοντα γὰρ τὸν θαλάττιον χειμῶνα τὴν ἐκ τῆς θαλάττης ὑγρότητα ἀποβαλόντα ἐπὶ τὴν χέρσον παραγίνονται.*

920. *ἦ νεφέλη ὄρεος —: καὶ τὰς ἐπὶ τῶν ὀρῶν δὲ μηκυνομένας νεφέλας πνεύματός φησιν εἶναι σημαντικάς· καὶ γὰρ αὗται εἰς μῆκος ἐπιδιδόασι κατὰ πύκνωσιν τοῦ ἀέρος. ἴσμεν δέ, ὅτι συνιστάμεναι αἱ νεφέλαι ἐπὶ ταῖς τῶν ὀρῶν ἀκρωρείαις ἀναπαύονται, ἕως ἂν ἄνεμος πνεύσας ὠθήσηι αὐτάς. ὅταν οὖν ἄνεμος ἄρξηται διώκειν τὴν νεφέλην, ἐπεκτείνει ἑαυτὴν καὶ τοῦτο τεκμήριον τίθησιν ἀνέμου [μηκυνομένην τὴν νεφέλην].*

921. *ἤδη καὶ πάπποι λευκῆς —: ἡ ἄκανθα, ἡ καλουμένη κινάρα, ἐπειδὰν ἐξανθήσηι, ἀλλοιοῦται. γήραμα δὲ αὐτῆς ἐστιν ὁ καλούμενος πάππος. ἐν δὲ τοῖς παραθαλαττίοις χωρίοις, ἐπειδὰν πνεύσηι ἄνεμος, οἱ πάπποι κοῦφοι ὄντες καὶ [εὔριπτοι ἢ] εὔθρυπτοι καὶ ὑπὸ ὀλίγου ἀνέμου ἀνατρεπόμενοι ἐμπίπτουσι τῷ ὕδατι καὶ ἐπιπλέοντες δῆλοί εἰσιν ὅτι ἀνέμου κατιόντος σημεῖόν εἰσιν. ὁ δὲ λόγος· καὶ οἱ πάπποι, οἵτινές εἰσι γηράματα τῆς ἀκάνθης, σημεῖον ἐγένοντο ἀνέμου κωφῆς καὶ ἀναισθήτου οὔσης τῆς θαλάσσης.*

1—7 schol om AAld, cf ad p. 510,27 ‖ 4, 5 *διελλαφρότητα* M ‖ 8 *νῆσσαι* om M | *νήσας ν.* M ‖ 9 *νήσσοις δ.* M | *λέγει* ante *τὰς* alt add Ald ‖ 10 *εἰναλιδύνας* M | *ἐπεὶ* AAld ‖ 12 *οὖν* om AAld ‖ 14 *θαλάσσης* A | *ἀποβάλλουσαι* AM, *-ιν* Ald ‖ 15 *παραγινόμενα* Ald ‖ 17 *φησι* post *εἶναι* AAld ‖ 19 *αἱ* om AAld ‖ 20 *ὅτε* M ‖ 21 *ὁ ἄν.* M | *ἄρξεται* M | *διώκων* Bekker | *-ειν* Ald | *αὐτὴν* AAld ‖ 22 *μηκύνοντος* Ald | seclusi ‖ 23 *λευκῆς* om M ‖ 24 *αὐριοῦται* Ald | *γήραμα* M, cf l. 30: *-ος* AAld ‖ 27 *εὔριπτοι ἢ εὔθρυπτοι καὶ* A, *εὔριπτοι ἢ θρυπτοὶ* Ald, *εὔθρεπτοι* solum M | *ἀπὸ* M ‖ 30 *τῆς* om Ald

ἄλλως. τῇ πραοτάτῃ τοῦ ἀνέμου κινήσει σημαίνειν μὲν ταραχὴν φησιν, ἀνεπαίσθητον δέ, τοὺς δὲ πάππους διὰ τὴν κουφότητα εὐχερῶς κινεῖν.

922. *κωφῆς ἁλός: τῆς ἔτι ἀνεπαισθήτου. καὶ Ὅμηρος* (Il XIV 16)· *‘⟨ὅτε πορφύρῃ πέλαγος —⟩ κύματι κωφῷ’ τὸ κωφὰ καὶ προηρεμοῦντα ἔχον τὰ κύματα.*

923. *τὰ μὲν πάρος ἄλλα δ’ ὀπίσσω: ὅταν πολλὰ γηράματα τῆς ἀκάνθης εἰς τὸ ἄκρον ὕδωρ πλέῃ, τότε ἄνεμον δηλοῖ, τὰ μὲν καταπεσόντα εἰς τὸ ὕδωρ, ἄλλα δὲ ὕστερον καταφερόμενα, ὁπότε εἰσὶ πολλοὶ πάπποι. πάππος δέ ἐστιν ὑμὴν κελυφανώδης.*

924—9. *καὶ θέρεος βρονταί τε —: παρὰ τοῖς Αἰγυπτίοις κεκριμέναι εἰσὶν ⟨αἱ⟩ ὧραι τοῦ ἔτους, καὶ ὁ χειμὼν ἔχει τὰ προσήκοντα, οἷον ἀστραπὰς καὶ βροντάς, καὶ θέρος ὁμοίως, ἐν δὲ τοῖς ἄλλοις μέρεσιν ἄκριτά ἐστι καὶ ἀόριστα, καὶ πολλάκις ἐν καιρῷ θέρους βρονταὶ καὶ ἀστραπαὶ γίνονται καὶ ὑετός. τοῦτο οὖν φησιν· καὶ θέρους δέ, ὅθεν αἱ βρονταὶ καὶ ἀστραπαὶ γίνονται, καὶ ἢ ἐκ νοτίων ἢ ἐκ βορείων ἢ ὁθενδήποτε, ἐκ τούτου τοῦ μέρους σκόπει ἐσόμενον ἄνεμον.*

ἄλλως. ἐν θερινῷ, φησί, καταστήματι ἀέρος, ὅθεν βρονταί τε καὶ ἀστραπαὶ γίνονται κατὰ τὸ κλίμα τοῦ κόσμου, ἐκεῖθεν γενησόμενον προσδόκα ὑετόν.

πόθεν βρονταὶ καὶ ἀστραπαί. ἄλλως: τὴν βροντὴν φησι κατὰ ῥῆξιν γίνεσθαι τῶν νεφῶν, τὴν δὲ ἀστραπὴν κατὰ παράτριψιν τῶν ῥηγνυμένων νεφῶν. τούτων οὖν, φησί, θέρους γινομένων ἄνεμον ἴσθι πνευσόμενον ἐντεῦθεν, ὅθεν γίνονται· ἡ γὰρ τοῦ θέρους ἔκκαυσις ἐκκαίουσα τὸν παχὺν ἀέρα τὴν μὲν εἰς ὕδωρ οὐ ποιεῖ μεταβολήν, λεπτύνουσα δὲ αὐτὸν ἀραιοῖ καὶ εἰς ἄνεμον διαλύει.

926. *καὶ διὰ νύκτα μέλαιναν —: ὁ αἰθὴρ σφόδρα ἐστὶ διάπυρος, ὅθεν καὶ ὠνόμασται παρὰ τὸ αἴθω. ἔστι δὲ [ὑπὸ*

1—3 schol om AAld ‖ 4 *τὸ οὖν* ante lemma add Ald | *ἔτι* om Ald ‖ 5 post *κωφῶι* Ald *τῶι ἠρεμοῦντι δηλαδή*: — | *τὸ* scripsi: *τὰ* M, *τὰ δὲ* A ‖ 6 *ἔχον τὰ* scripsi: *ἔχοντα* AM; cf Ald ‖ 8 *πλέωσι* Ald | *τότε* om M ‖ 9 *καταπίπτοντα* Ald | *ὕστερα οὐ κατ.* A ‖ 10 *ὁπότε — πάπποι* om Ald ‖ 13 *αἱ ὧραι* Ald ‖ 15 *ἄκριταί εἰσι καὶ ἀόριστα* Ald | *εἰσι* etiam A ‖ 17 *καὶ θέρους* AAld: *ἐς* M | *φησίν* post *δέ* iterum M ‖ 20—22 schol M: om AAld ‖ 23 lemma om AAld ‖ 23, 4 *βρ. μὲν οὖν φασι* Ald ‖ 24 *κατὰ* om M ‖ 25 *περίτριψιν* AAld ‖ 26 *ἐκεῖθεν* AAld ‖ 31 *δὲ ὅτε καὶ ὑπὸ* Ald

τοῦ ἡλίου] καὶ ὅτε ξηρὰς ἀναθυμιάσεις δέχεται ἀπὸ τῆς γῆς. καὶ ξηρὸς ὢν καὶ αὐτὸς καὶ πυρώδης πυκνούμενος ἀποπέμπει τινὰς ὥσπερ σπινθῆρας, ἃς ὑπονοοῦμεν ἀστέρων εἶναι διαδρομάς. οὐκ εἰσὶ δέ· οὐ γὰρ ἀστέρες κινοῦνται, ἀλλὰ στιλβηδόνας πυρώδεις ἀποβάλλει ὁ αἰθήρ. διὸ καὶ ὀλίγον δραμοῦσαι παύονται, ὡς καὶ οἱ σπινθῆρες, ὥστε τοῦ αἰθέρος ἐστὶ πύκνωσις τὸ τοιοῦτον. § δεδέχθαι [ἐν] ἐκείνοις αὐτοῖς καὶ ἐν νυκτὶ [δέ], ὅτι οὐκ εἰσὶν ἀστέρες οἱ τὰς ἐκδρομὰς ποιοῦντες ἐν τῷι αἰθέρι (926—8). ὅταν τόπων μεταβάσεις ποιῶνται ἀστέρες (τοῦτο γάρ ἐστι τὸ ἀίσσωσι ταρφέα 926, 7), ὄπισθεν δὲ αὐτῶν οἱ ὁλκοὶ λαμπροὶ φαίνωνται, προσδοκᾶν δεῖ αὐτοῖς τοῖς ἀστράσι τὴν αὐτὴν ὁδὸν ἐρχομένου τοῦ πνεύματος, οἷον, ἐὰν ὡς ἐπὶ τὰ βόρεια τὰς ὁρμὰς ποιῶνται, βορέας πνεύσεται, ἐὰν δὲ ὡς ἐπὶ τὰ νότια, νότος κατὰ τὴν τῶν ἄστρων φοράν.

927. ῥυμοὶ ὑπολευκαίνονται: ὁλκοί, εἰς μῆκος τοῦ πυρὸς ἐκτάσεις. § ὑπολευκαίνονται λευκανθίζονται. ἀστέρας ⟨λέγει⟩ τοὺς συρμὸν ἐπισπωμένους.

ὁ διά⟨ι⟩ττων ἀστὴρ μὲν οὔκ ἐστι, παρατρίψεως δὲ ἀέρος γένεσις πυρὸς φερομένου. σημεῖον δέ ἐστι πνεύματος. καὶ ἡ ἀστραπὴ δὲ καὶ ἡ βροντὴ γίνεται ἐκ τῆς τῶν νεφῶν ἐκθλίψεως, ἡ δὲ ἔκθλιψις ἐκ τοῦ πλησίον πνεύματος γίνεται. καὶ οἱ διαίττοντες ἀστέρες ὅθεν οὖν ἐκπηδῶσιν, ἐκεῖθεν τὸ πνεῦμα δεῖ προσδοκᾶν (ὠθεῖ γὰρ αὐτοὺς ἐκεῖθεν). ὅθεν καὶ ἡ κατὰ τὴν ὁδὸν λευκότης φαίνεται· ἐξωθουμένων γὰρ ὑπὸ τῆς πνοῆς τῶν ἀστέρων καὶ πιπτόντων ὀλίγον ἐκ τοῦ αἰθέρος εἰς τὸν ἀέρα

---

2 καὶ primum om M | καὶ αὐτὸς om AAld ‖ 3 ταύτας ante ἃς add M | οὓς δὴ ὑ. Ald ‖ 3, 4 διαδρομάς Ald: δρομάς AM ‖ 4 οὐκ εἰσὶ δέ add Ald: om AM | οὐδὲ γὰρ M | οἱ ἀ. Ald ‖ 4, 5 στιλβηδόνες π. εἰσίν, ἃς ὡς ἔφην ἀποπέμπει ὁ αἰθήρ Ald ‖ 5 ἀποπέμπει AAld ‖ 6 ὡς καὶ οἱ evanidum A | ὥσπερ Ald ‖ 7 τοιοῦτο Ald | δεδ. — αὐτοῖς om Ald; seclusi | ἐν A: om M | τ. ἐν νυκτὶ οὖν φησίν, ὅταν Ald | ? ‖ 9 οἱ ἀ. Ald ‖ 11 φαίνονται M: φαίνονται AAld ‖ 12 τοῦ om Ald | ἐὰν ἀπὸ τῶν βορείων τὰς Ald | ὡς om A ‖ 13 δὲ ἀπὸ τῶν νοτίων Ald ‖ 14 κίνησιν Ald ‖ 15 ὑπολ. om Ald | δὲ ἤγουν ὁλκοί Ald ‖ 16 λευκανθίζονται AAld: -ας M ‖ 17 supplevi | συριγμὸν ἢ συρμὸν ἐπισπομένους A ‖ 16—9 ὑ. λ. τοντέστιν οἱ ἀστέρες ἐπισπῶνται συριγμὸν ἢ συρμὸν λευκόν. λέγει δὲ τοὺς διάττοντας, οἳ ἀστέρες μὲν οὔκ εἰσι, γένεσις δὲ πυρὸς φερομένου ἐκ παρατρίψεως ἀστέρων Ald ‖ 19 εἰσι Ald ‖ 19, 20 ὥσπερ καὶ ἡ ἀ. καὶ Ald ‖ 20 καὶ ἡ βρ. om M | παρατρίψεως Ald ‖ 21 καὶ ἡ ἔκθλιψις ἑκάστου σημεῖον τοῦ πλ. γίν. πν. Ald ‖ 22 οὖν post διάιττ. Ald, om M | δεῖ τὸ πν. AAld ‖ 23 αὐτοῖς M ‖ 24 τῆς om Ald | τῶν om AAld ‖ 25—p. 513, 1 ἀέρα, τὸ πνεῦμα, ὅθεν ἂν μέλλῃ πνεύσειν, κινεῖ ἐκεῖθεν αὐτά, καὶ ἡ πορεία, καθ' ἣν χωροῦσι, λευκαίνεται Ald

αὕτη ἡ πορεία λευκαίνεται κατὰ φύσιν ποιοῦντος τοῦτο τοῦ ἀέρος καὶ μένει ἐπ᾽ ὀλίγον, ἄχρις ἂν πάλιν εἰς τὸν αἰθέρα ἀνελθοῦσα ἡ ἔκλαμψις σβεσθῇ ὑπὸ τῆς θερμότητος τοῦ αἰθέρος.

929. ἤν δέ κεν ἄλλοι —: ἐὰν δὲ καὶ ἄλλοι ἀστέρες ἐναντίον τῶν προειρημένων ὁρμῶσι, καὶ ἄλλοι ἐξ ἄλλων μερῶν, τὸ τηνικαῦτα φυλάσσου περὶ παντοίων ἀνέμων πνευσομένων, οἵτινες ἅμα πνέοντες ἄτακτοι καὶ ἀδιόριστοί εἰσι καὶ πνέουσιν ἅμα ἐντεῦθεν κἀκεῖσε, ὥστε μὴ διακρίνεσθαι. τὸ δὲ ἄλλοι — ἐξ ἄλλων μερέων (929 sq.), τουτέστιν ἐκ παντὸς μέρους τοῦ κόσμου, ἀπὸ ἀνατολῆς δύσεως ἄρκτου μεσημβρίας.

932. ἐπ᾽ ἀνδράσι τεκμήρασθαι: καὶ ὅσον ἐπὶ τῇ τῶν ἀνθρώπων νοήσει καὶ σημειώσει, συγκεχυμένους ἀνέμους ἀεὶ προσδοκᾶν.

ἄλλως. τουτέστιν· οὐδ᾽ οἱ ἄνδρες τεκμήριον ⟨ἂν⟩ δυνηθεῖεν σχεῖν ἐπὶ τῇ τούτων συγχύσει καὶ ἀκρισίαι.

933—7. αὐτὰρ ὅτ᾽ ἐξ εὔροιο —: ἐπειδὰν δὲ ἐκ τοῦ εὔρου ἀστράπτῃ καὶ ἐκ τοῦ νότου, πῇ δὲ καὶ ἐκ ζεφύρου καὶ βορέου, τότε ἐν πελάγει ναύτης τις ὢν φοβεῖται, μή ποτε ὁ καιρὸς αὐτὸν ἐκβάλλῃ τῶι τε ἐκ τοῦ πελάγους ὕδατι καὶ τῶι ἐκ τοῦ Διός· αἱ γὰρ ἀστραπαὶ αὗται ἐπὶ ἐσομένου σφόδρα πολλοῦ ὑετοῦ φαίνονται.

ἄλλως. ἢ πανταχόθεν ἀστραπὴ διέξοδον οὐ δίδωσι τῇ πυκνότητι τοῦ ἀέρος. καὶ διὰ τοῦτο χειμέριον τὸ σημεῖον μενούσης τῆς συστάσεως.

936. μή μιν τῇ μὲν ἔχοι πέλαγος —: ἄπορον ἐνταῦθα φήσαντι τῶι ποιητῆι, μὴ αὐτὸν τότε ἔχοι τὸ πέλαγος, καὶ εἴασεν ἀτελῆ τὸν λόγον. τοῦτο οὖν ἐστι ‘μηδὲ τὸ πέλαγος μηδ᾽

1, 2 φύσιν τοῦτο ἀστέρων ποιούντων μένει τε ἐπ᾽ Ald ‖ 2 ἀστέρος A | 3 ἀνελθόντων Ald ‖ 5 εἰ AAld ‖ 5, 6 ἐναντίοι AAld ‖ 7 περὶ et πνευσομένων om Ald ‖ 8 ἀναπνέοντες Ald ‖ 9 ἔνθεν κἀκεῖθεν AAld ‖ 10 μερῶν AAld ‖ 11 ἀπ᾽ om M | καὶ μεσ. Ald ‖ 12 τὸ δὲ ante ἐπ᾽ Ald | ἤτοι pro καὶ Ald ‖ 14 προσδόκα Ald ‖ 15, 6 schol om M ‖ 17 ἤ (pro lemmate) Ald ‖ 18 ἐκ prius om A | νότου πάλιν δὲ Ald | καὶ om AAld | τοῦ ζ. καὶ τοῦ β. Ald ‖ 20 ἐκβάλῃ M | τοῦ prius om M | τοῦ pro τῶι A | ἐκ om M ‖ 21 πολὺ Ald | 22 φαίνονται M: γίνονται ἤ (om Ald) φαίνονται AAld ‖ 23 φ. γὰρ παντ. scholiis coniunctis Ald, omisso et γὰρ et lemmate A | ἀστραπαὶ et διδόντος Ald ‖ 24 χειμ. διὰ τ. Ald ‖ 26—p. 515, 4 om M ‖ 26 ἔχει Ald ‖ 27 φήσαντι τῶι ποιητῆι A: φησιν εἰπὼν Ald ‖ 27 ἔχῃ libri ‖ 27, 8 καὶ om et γὰρ post εἴασε add Ald ‖ 28 π. μηδὲ Ald

ὁ τοῦ Διὸς ὄμβρος', ἤγουν τοῦ οὐρανοῦ· εἰπὼν γὰρ τῇ δ' ἐκ Διός εἴασε τὸ λοιπόν. σὺ δὲ νόει μὴ πέλαγος, ἀλλ' ἐκ τοῦ παρακολουθοῦντος ὄμβρον· τῶι γὰρ οὐρανῶι οὐ πέλαγος, ἀλλ' ὄμβρος παρέπεται.

938, 9. *πολλάκι δ' ἐρχομένων ὑετῶν* —: *πολλάκις δὲ γινομένων ὑετῶν προπάροιθεν καὶ πρὶν ἐλθεῖν τὸν ὑετὸν φαίνεται νέφη ὁποῖα πόκοι ἐρίων, ἵνα λέγηι νέφη τὰ μὴ πάνυ ζοφώδη (ἐκεῖνα γὰρ ἤδη ἐλθόντος ὑετοῦ ἐστιν), ἀλλὰ μᾶλλον ὀλίγου λευκὰ καὶ μὴ πάνυ συνεστραμμένα, οἷά ἐστι καὶ τὰ ἔρια. καὶ δηλονότι προϊόντος τοῦ καιροῦ ὡς ἐπὶ ζοφωδέστερον χωροῦσι, κατ' ὀλίγον τοῦ ὠθοῦντος πνεύματος αὐξομένου.*

ἄλλως. τὰ ὑγρὰ νέφη σημεῖα ὑετοῦ πόκοις καλῶς ὅμοια· σχεδὸν γὰρ σπόγγοις ἔοικεν ἀβρόχοις.

940. *ἢ διδύμη ἔζωσε* —: *καὶ τὴν διδύμην Ἶριν ἀκριβέστατον ὄμβρου σημεῖον ἡμῖν δίδωσιν· ἀπὸ γὰρ ὀλίγης τοῦ ἀέρος συγχύσεως μίαν Ἶριν συμβαίνει γίνεσθαι. ὅταν δὲ πολὺ τὸ πύκνωμα ᾖι τῶν νεφῶν, ἀπὸ τῆς πρῶτον γενομένης ἴριδος ἄλλη γίνεται ὁμοία περιγραφῆι, ὄμβρον πολὺν σημαίνουσα.*

ἄλλως. διδύμη: ἡ διττή· οὕτω γὰρ αὐτῆς ἐστιν ἡ κατάστασις τῆς χροιᾶς.

μέγαν οὐρανὸν Ἶρις: οὐ γὰρ μονόχρως ἐστὶν ἡ Ἶρις. συνίσταται δὲ ἐξ ὑγρότητος καὶ παχύτητος τοῦ ἀέρος· ἐμπίπτουσα γὰρ ἡ τοῦ ἡλίου ἀκτὶς καὶ ἐκ τῆς παχύτητος οὐ διικνεῖσθαι δυναμένη ἐπὶ πολὺ ἁπλοῦται καὶ ἀποτελεῖ τὴν ζώνην ταύτην, ἥτις ἐκ τῆς τῶν νεφῶν ὑγρότητος καὶ παχύτητος τοῦ ἀέρος καὶ τὸ ποικίλον ἔχει.

ἄλλως. τὴν Ἶριν Ἀναξιμένης (Diels DG p. 231) *φησὶ γίνεσθαι, ἡνίκα ἂν ἐπιπέσωσιν αἱ τοῦ ἡλίου αὐγαὶ εἰς παχὺν καὶ πυκνὸν τὸν ἀέρα. ὅθεν τὸ μὲν πρότερον αὐτοῦ τοῦ ἡλίου φοι-*

e Posidonio cf Diels l c

5, 6 post lemma Ald *πολλάκις δὲ γινομένων ὑετῶν προπάροιθεν καὶ πρὶν* ‖ 8 *ἐλθόντος ἤδη* AAld | *εἰσὶν* AAld | *ὀλίγω* AM, *-ον* Ald ‖ 12 *ἢ ὅτι* pro *ἄλλως* Ald ‖ 12, 3 post *σημ.* Ald *ἐστιν ὑετοῦ ἃ δὴ πόκοις παρείκασε σχ.* ‖ 12 *ὅμοια* om A ‖ 14 *ἔζωσε* om Ald ‖ 15 *ὄμβρων* AAld | *τῆς* pro *τοῦ* Ald ‖ 17 *πρώτης* AAld | *ἴριδος* AAld: *ἴσως* M ‖ 18 *τῆι* suppl Ald ‖ 18, 9 post *σημ. διδύμη γὰρ ἡ διττή* scholiis coniunctis AAld ‖ 19, 20 *σύστασις* A Ald ‖ 21 lemma om et scholia coniunxit M | *μονόχροιος* A | *ἡ δὲ Ἶρις οὐ μονόχροός ἐστιν· συνίσταται γὰρ* Ald ‖ 23 *οὐ* om AAld ‖ 24 *μὴ δυν.* AAld ‖ 25, 6 *καὶ παχ. τοῦ ἀέρος* om M ‖ 26, 7 post *ἔχει* Ald scholiis coniunctis *Ἀν. δὲ τὴν Ἶριν* ‖ 27, 8 *φησιν γενέσθαι* Ald ‖ 29 *τὸν* om Ald | *αὐτῆς* M

νικοῦν φαίνεται διακαιόμενον ὑπὸ τῶν ἀκτίνων, τὸ δὲ μέλαν κατακρατούμενον ὑπὸ τῆς ὑγρότητος. καὶ νυκτὸς δέ φησι γίνεσθαι τὴν ἶριν ἀπὸ τῆς σελήνης, ἀλλ' οὐ πολλάκις διὰ τὸ μὴ πανσέληνον εἶναι διὰ παντὸς καὶ ἀσθενέστερον αὐτὴν φῶς ἔχειν τοῦ ἡλίου.

Plut Plac III 5 (p. 374 D.)

ἄλλως. Μητρόδωρος (Diels p. 231) *τὴν ἶριν αἰτιολογῶν φησιν· 'ὅταν ἐξ ἀντίας τῶι ἡλίωι συνσταθῆι νέφος πεπυκνωμένον, τηνικαῦτα ἐμπιπτούσης τῆς αὐγῆς τὸ μὲν νέφος φαίνεται κυανοῦν διὰ τὴν κρᾶσιν, τὸ δὲ περιφαινόμενον τῆι αὐγῆι φοινικοῦν, τὸ δὲ ὂν κάτω λευκόν. τοῦτο εἶναι ἔθεσαν ἡλιακὸν φέγγος'.*

ἄλλως. Ἀριστοτέλης (Meteor III 4 p. 373) *κατοπτρικὴν ἐποιήσατο ἔμφασιν· πέφυκε γὰρ τοῦτο πάσχειν τὴν ὄψιν προσπίπτουσαν τοῖς λείοις σώμασι καὶ ἀνακλωμένην καὶ κατακλωμένην. τοιοῦτον δὲ εἶναι τὸν ἀέρα καὶ τὸ ὕδωρ. ἐπὰν τοίνυν ἀντικρὺς τοῦ ἡλίου νέφος συστῆι συνεστὸς κατὰ ῥανίδα, ἐγγίνεσθαι τὴν ὄψιν καθ' ἑκάστην ῥανίδα καὶ τὴν ἐπὶ τὸν ἥλιον ἀνάκλασιν ἴσχειν, δόξαν δ' ἐμποιεῖν τοῦ συνεχεῖς εἶναι τὰς ἐμφάσεις καὶ ὁποσηνοῦν ἐχούσας διάστασιν διὰ τὸ ἀφ' ἡμῶν ἐπ' ἐκείνους τοὺς τόπους διάστημα.*

941. *ἢ καί πού τις ἅλωα —*: *οἱ λαμπροὶ τῶν ἀστέρων ὡς πῦρ εἰσι καὶ ἀμαρυγὰς ἔχουσι καὶ παρέχουσιν, ὥσπερ ἡ σελήνη καὶ ὁ ἥλιος ἐκ τῆς τοῦ ἀέρος παχύτητος καὶ αὐτοὶ ἅλωας ἔξωθεν ἑαυτῶν ἔχουσιν. δῆλον οὖν, ὅτι ἡ μέλαινα ἅλως ὕδατός ἐστι ποιητικὴ καὶ σημαντική.*

942. *πολλάκι λιμναῖαι —*: *ὅτε γὰρ αἴσθεται χειμῶνος ἐσομένου τὰ ὄρνεα τὰ φιληδοῦντα τοῖς ὕδασιν, ἐπειδὴ μετ' οὐ πολὺ ἔσται χειμὼν καὶ μέλλουσιν ἀφίστασθαι τῶν ὑδάτων, πρὶν ἐλθεῖν τὸν χειμῶνα ἀπολαίουσι τῶν ὑδάτων, ὡς μελλόντων αὐτῶν ἀποσχοινίζεσθαι, ἤτοι ἀποχωρίζεσθαι.*

---

2 *κρατούμενον* AAld | *δὲ* om Ald ‖ 6 *ἄλλως* om et *δὲ* post *M.* add Ald ‖ 7 *ἀντίας* scripsi: *αἰτίας* AM, *ἐναντίας* Ald | *συνσταθῆι* corr Diels: *ἐνσταθῆι* libri ‖ 8 *ἓν* AM, om Ald | *φαίνεται* om AAld | *κυανὸν* AM ‖ 8, 9 *γίνεται* post *κρ.* Ald ‖ 10 *φῶς* Ald ‖ 11 *κατοπτικὴν* MAld ‖ 12 *πάσχειν* corr Diels: *ἄσσειν* libri ‖ 13 *καὶ* prius om M | *κατακλ. καὶ ἀνακλ.* AAld ‖ 14 *γὰρ* pro *δὲ* A ‖ 15 *ἀντικρὺ* AAld | *συστῆ* et *συνεστὼς* libri ‖ 18 scripsi: *καὶ τὸ πόσην* AM, *κἂν ὁπόσην* Ald | *ἔχωσι* Ald ‖ 21 *μαρμαρυγὰς* Ald | *ὅπερ* A ‖ 23 *αὐτῶν* AAld ‖ 25, 6 *ὅταν γ. αἴσθηται ἐσ. χ.* AAld ‖ 28 *πρὶν — ὑδάτων* om M ‖ 28, 9 *μέλλοντα αὐτῶν ἀφίστασθαι ἢ ἀποσχ. καὶ ἀποχωρ.* Ald | *ἤτοι ἀποχ.* A: om M

943. *ἐνιέμεναι ὑδάτεσσιν*: *τουτέστιν ἐγκαθιεῖσαι ἑαυτὰς τοῖς ὕδασιν.*

944, 5. *ἢ λίμνην περιδηθὰ* —: *ἐὰν δὲ περὶ λίμνην χελιδόνες συνεχῶς ὁρμῶσιν ἐν τῶι ἵπτασθαι τύπτουσαι τὴν γαστέρα θαμινῶς τῶι ὕδατι, χειμὼν ἔσται τότε.*

945. *εἰλυμένον δὲ ὕδωρ*: *τὸ ἤδη ἐκ τοῦ ἀνέμου συστραφὲν καὶ ἀρξάμενον κινεῖσθαι.*

946. *ἢ μᾶλλον δειλαὶ γενεαὶ ὑδροισιν* —: *ὁ ὕδρος οὗτος εἰδός ἐστιν ὄφεως, ὃς τοὺς βατράχους σιτεῖται, ὡς ἔχομεν παρὰ τῶι Νικάνδρωι* (Ther 416). *διὰ τοῦτο ὕδροις ὄνειαρ τὸ τῶν βατράχων γένος· αὐτοὺς γὰρ σιτοῦνται. ὁ δὲ λόγος· ἔσται, φησί, τεκμήρια χειμῶνος, ὅταν μᾶλλον παρὰ τὴν συνήθειαν κραυγάζωσιν οἱ βάτραχοι, οἵτινές εἰσιν ὕδροις ὄνειαρ. παρ' Αἰγυπτίοις δὲ ἐν τῶι θέρει μεῖζον κραυγάζουσι προσδοκίαι τῶν Νειλώιων ὑδάτων, οἷς φιληδοῦσι καὶ ἀφ' ὧν ζῶσιν.*

ἢ μᾶλλον δειλαὶ γενεαὶ ὕδροισιν—: *σημεῖον χειμῶνος βατράχων φωναί· προαισθάνονται μὲν γὰρ ἀπ' αὐτοῦ τοῦ ὕδατος μεταλλασσομένου εἰς ψυχρότητα. χαίροντες δὲ πάνυ βοῶσιν· εἰσὶ γὰρ καὶ φίλυδροι, καὶ μάλιστα, ὅτε τὸ ὄμβριον ὕδωρ γλυκύτερον ὂν τοῦ πηγαίου εὐφραίνει αὐτοὺς καὶ πλέον ζωογονεῖν ποιεῖ, ὡς καὶ τὰ φυτὰ μᾶλλον ὑπὸ τοῦ ὀμβρινοῦ θάλλουσιν. καὶ ἡ ὀλολυγὼν δὲ ὁμοίως ἐπὶ τούτωι χαίρει καὶ κράζει ἅμα ἡμέραι. ἔστι δὲ ζῶιον λιμναῖον φιλόψυχρον.*

γυρίνων: *γυρῖνοι λέγονται οἱ ἀδιάπλαστοι βάτραχοι, τουτέστι τὰ γεννήματα τῶν βατράχων· καὶ ἀδιάπλαστα γὰρ τίκτονται καὶ ἄποδα, ὡς ἐπὶ τῆς ἄρκτου.*

948. *ἢ τρύζηι ὀρθρινὸν* —: *ἡ ὀλολυγὼν ὄρνεόν ἐστι*

---

1 *τὸ δὲ* lemmati praescripsit et *ἦγουν* postposuit Ald | *ὑδάτεσσιν* om M | *ἐγκαθίσαι* A, *-εῖσαι* MAld ‖ 4 *ἐν τῶι ἵπτασθαι* om M ‖ 4, 5 *τῆι γαστέρι τύπτουσαι τὸ λιμναῖον ὕδωρ τότε ἔ. χ.* Ald | *γαστέρα τὸ λιμναῖον ὕδωρ τότε ἔ. χ.* A ‖ 6 *ἤδη* alt AAld: om M ‖ 8—15 om M ‖ 10 *τῶι* om Ald | *νικάνδρου* AAld ‖ 16 *ἄλλως* omissis poetae verbis pro lemmate A, lemma om et *δὲ* post *σημ.* add Ald ‖ 17 *αἱ φ. τῶν β. ἐπειδὴ πρ. μὲν ἀπ'* Ald ‖ 19 *β. ὁμοῦ* et *μὲν γ.* post *εἰσι* Ald | *φιλόυδροι* libri | *καὶ* alt om AAld | *δὲ φιλοῦσι* post *μάλ.* add Ald | *ὅτι* AM, om Ald | *ὕδωρ* om Ald ‖ 20 *γλ. γάρ ἐστι τοῦ π. διὸ εὐφρ.* Ald | *ὧν* A ‖ 22, 3 M: om A; Ald sic *οἱ δέ φασιν, ὅτι καὶ ὀλολυγὼν ὁμοίως ἐπὶ τοῖς ὕδασι χαίρων κράζει ἡμερίωι ζῶιον οὖσα λιμναῖον καὶ φιλόψυχρον. ἔστιν οὖν ὑπόμνημα ἀδιάρθρωτον*; cf p. 518, 5 ‖ 22 *τούτοις* A | *ἅμα* om A ‖ 24 *γυρῖνοι δὲ* sine lemmate Ald ‖ 25 *καὶ* om AAld | *γὰρ* om A ‖ 26 de *ἐπὶ* cf p. 520, 14 ‖ 27 *τρύζη* AM: *-ει* Ald | *ὀρθρινόν* om Ald

κατὰ τὴν τρυγόνα τῇι ἐρημίαι φιληδοῦν. ἐν ἐρήμοις τοίνυν οὖσα καὶ ἐμψυκτικοῖς τόποις ἀντιλαμβάνεται τοῦ κρύους καὶ τρύζει τὰ προσόρθρια. ἄλλοι δὲ ζῶιον ἔνυδρον ὅμοιον γῆς ἑντέρωι, πολὺ μέντοι γε ἰσχνότερον.

ἄλλως. ὀλολυγὼν δὲ ζωιόν ἐστι λιμναῖον ὑπόμηκες ἀδιάρθρωτον.

Ἀριστοτέλης (Hist anim 9 p. 536a 11 B.) *τοῦτο οὐκ οἶδεν, ἀλλὰ τὴν τοῦ ἄρρενος βατράχου φωνὴν πρὸς συνουσίαν ὀργῶσαν ἐπὶ τὴν θήλειαν.*

949, 50. *ἤ που καὶ λακέρυζα — ὑπέτυψεν: ἀντὶ τοῦ ὑπῆλθεν. λέγει δὲ τὴν χερσαίαν κορώνην· εἰσὶ γὰρ καὶ θαλάττιαι καθ' Ὅμηρον* (Od V 66. 7) *'τανύγλωσσοί τε κορῶναι εἰνάλιαι, τῇισίν τε θαλάσσια ἔργα μέμηλεν'. ὁ δὲ νοῦς· καὶ ἡ κορώνη ἡ χερσαία ἐν αἰγιαλοῖς προῆλθε καὶ παρὰ τῇι θαλάσσηι ὤφθη ἀρχομένου χειμῶνος· φιληδεῖ γὰρ τοῖς ὕδασιν.*

951, 2. *ἤ που καὶ ποταμοῖο —: καὶ ἡ κορώνη καὶ ὁ κόραξ (τοῦ γὰρ αὐτοῦ γένους εἰσί) σφόδρα κατάξηρον ἔχουσι τὸ σῶμα· τοῖς γὰρ ὑγραίνουσι σφόδρα φιληδοῦσιν. ὅτε οὖν ἀρχῆς χειμῶνος ἐπαισθονται καὶ ὑγραίνει αὐτῶν τὰ περιέχοντα σώματα, τότε καὶ ἐπινήχονται τοῖς ὕδασι σφόδρα χαίρουσαι αὐτοῖς· ἄνευ γὰρ χειμῶνος οὐ τοσοῦτον ὕδωρ ποτάμιον ἢ θαλάσσιον αὐτὰς ὀνίνησιν, εἰ μὴ καὶ τὸ περιέχον ὑγρὸν ὑπάρχει. ὁ δὲ λόγος· πολλάκις δὲ καὶ ἐν ποταμῶι ἀπὸ κεφαλῆς ἕως ἄκρων τῶν ὤμων ἐβάπτισεν ἑαυτήν, ἔσθ' ὅτε καὶ [ἡ] πᾶσα νήχεται.*

953. *ἤ πολλὴ στρέφεται —: ἤ πολλάκις ἀναστρέφεται ἐν ποταμίοις ὕδασιν ἢ θαλαττίοις παχείαι τῇι φωνῆι κρώζουσα. τὸ δὲ τοιαύτην ἀφιέναι τὴν φωνὴν δηλοῖ τὴν ἐκ παντὸς σώματος ἐκ διαθέσεως κρώζουσαν ὡς ἐπὶ τοῖς γινομένοις καθ' ἡδονὴν ὕδασιν.*

ἄλλως. ὅσαι τῶν ὀρνίθων βρέχουσαι ἑαυτὰς τῶι ὕδατι

---

1 *κατὰ* Ald: *ὑπὸ* AM | scripsi: *ἐρημαίῃ* M, *ἐρήμῳ* AAld ‖ 2 *ὑποψύχρο* A, *ὑποψύχροις* Ald ‖ 3 *ἔννδρον* post *ἑντέρωι* A ‖ 4 *γε* om A ‖ 5 *δὲ* om M ‖ 7 *δὲ ταῦτα* Ald ‖ 8 post *φ.* Ald *σημεῖον εἶναί φησιν* add Ald | *ὀργῶντα* A, *-ος* Ald ‖ 12, 3 *εἰνάλιαι — μέμηλεν* om AAld ‖ 14 *προσῆλθε* AAld ‖ 17, 8 *τὸ σῶμα ἔχοντες* omisso *ἔχουσι* et *γὰρ* AAld ‖ 18, 9 *ὅταν — ἐπαισθωνται — ὑγραίνηι* Ald ‖ 19 *ὑγραίνειν* A ‖ 20 *σφόδρα γὰρ χαίρουσιν* AAld ‖ 21 *τὸ ὕ. τὸ π. ἢ τὸ θ.* Ald ‖ 22 *καὶ μὴ* A ‖ 23 *δὲ* alt om AAld ‖ 24 *αὐτὴν* AAld | *ἡ* om AAld ‖ 25, 6 *π. ἐὰν -ηται* libri ‖ 26 *θαλασσίοις* AAld ‖ 27 *τῶ δὲ* A | *τὴν* prius om AAld ‖ 28 *κρώζουσα* A | *ὡς* om A ‖ 28, 9 *διαθ. κραυγὴν ἐπὶ τ. γιγνομένοις* Ald ‖ 30 *ἄλλως* bis scriptum M

προσημαίνουσιν ὑετούς, ὑπομιμνήισκονται τοῦ πάθους διὰ τὸν μέλλοντα ὄμβρον, καθάπερ τὰ ἀπουροῦντα τῶν ὑποζυγίων ἐν ταῖς διαβάσεσι τῶν ποταμῶν. λιμναῖαι μὲν οὖν ὄρνιθες νῆσσαι χῆνες ἐρωδιοί, ἐνάλιαι δὲ αἴθυιαι. γυρῖνοι οἱ ἀδιάπλαστοι βάτραχοι καὶ ἄποδες. κεκράγασι δ' οἱ βάτραχοι χαίροντες τῶι ὑγρῶι. τὴν δ' ὀλολυγόνα φασὶν εἶναι ζῶιον ἁπλοῦν λιμναῖον ἰσχνόν. § ὁ δὲ Ἀριστοτέλης (cf p. 518, 7) τὴν τοῦ ἄρρενος φωνὴν ὀργῶσαν ἐπὶ τὴν θήλειαν. § βάπτει δ' ἑαυτὴν ἡ κορώνη ψῦχος ζητοῦσα, ἤτοι ψυχομένου τοῦ ἔξω ἀέρος καὶ εἰς τὸ βάθος περιωθουμένης τῆς θερμότητος τοῖς ζώιοις ἢ καὶ διὰ τὴν ἔξω θερμότητα· ὡς γὰρ ἐπὶ πλῆθος πρὸ τῶν ὑετῶν θερμότερος αὐτὸς ἑαυτοῦ ὁ περίγειος ἀήρ, ἐκθλιβομένου τοῦ πυρώδους ἐκ τῆς ψυχομένης νεφέλης καὶ εἰς ὕδωρ μεταβαλλούσης καὶ εἰς τὸν περίγειον χωροῦντος τόπον.

ἄλλως. ἢ πολλὰ χαίρουσα σκιρτᾶι· φιλεῖ γὰρ τὰ ψυχρὰ διὰ τὸ φλέγεσθαι· ἔστι γὰρ ἡ κορώνη φυσικῶς θερμή.

954, 5. καὶ βόες ἤδη τοι —: οἱ βόες ἰραιωμένους καὶ διαχάσκοντας ἔχοντες τοὺς μυκτῆρας αἰσθητικώτεροι μᾶλλόν εἰσιν. καὶ πᾶν μὲν τετράποδον τῶν ἀνθρώπων αἰσθητικώτερόν ἐστιν, ἐξαιρέτως δὲ ὁ βοῦς διὰ τὴν τῶν μυκτήρων ἀραίωσιν. ὅταν τοίνυν ἀναθυμιάσεών τινων ἐκ τῆς τοῦ ἀέρος ἀκρασίας αἴσθηται ἀφορῶν ὡς ἐπὶ τὸν οὐρανὸν ὀσφρᾶται τῆς τοῦ ἀέρος παχύτητος, πρὶν γενέσθαι τὸν ὄμβρον, καὶ δηλοῖ ἐκ τῆς ὀσφρήσεως, ὡς ἔσται χειμών. διὸ καὶ εὐρίτεροι οἱ μυκτῆρες γεγονότες παχυνομένου τοῦ ἀέρος καὶ οὐκ εὐμαρῶς ἑλκομένου βιαιότερον τὸν ἄνωθεν ἕλκουσιν ἀέρα μᾶλλον ἐψυγμένον. ἢ καὶ τοῦ δέρματος μᾶλλον πεπιλημένου καὶ τοῦ θερμοῦ ἐναποκλειομένου δεόμενοι πλείονος ἐμψύξεως τὸν κατεψυγμένον ἕλκουσιν ἀέρα.

ἄλλως. οἱ βόες ἐν τῆι ὀσφρήσει ἄνωθεν ἕλκοντες τὸν ἀέρα χειμῶνα σημαίνουσιν· πυκνουμένου γὰρ τοῦ περιγείου ἀέρος

---

2 ἀποροῦντα AAld ‖ 4 εἰνάλιαι A | γ. δὲ Ald ‖ 5 καὶ ἄποδες om A Ald ‖ 7, 8 ὁ δὲ — θήλειαν om Ald ‖ 8 βλάπτει M ‖ 11 πλήθους A, ἐπὶ τὸ πολὺ Ald ‖ 14 χωροῦντα A ‖ 15 lemma om Ald | χαίρει τε καὶ σκ. ἐπειδὴ φ. τὰ Ald ‖ 20 αἱ οἱ A, αἱ M, οἱ Ald ‖ 21 ὅτε A ‖ 22 αἴσθηται ἀφορῶντες AAld | ὀσφραίνονται AAld ‖ 24 ὅτι ἔ. AAld | ἄλλως ante διὸ add et novi scholii initium fecit A ‖ 24, 5 γεγόνασι libri ‖ 25 ἀλλὰ βιαι. Ald ‖ 29 ἢ pro lemmate Ald

καὶ θερμοτέρου γινομένου τὸν λεπτότερόν τε καὶ ψυχρότερον ποθοῦσιν ἀναπνεῖν τε καὶ ἔξωθεν ἕλκειν.

ὕδατος ἐνδίοιο: μεσημβρινοῦ ἢ τοῦ οὐρανίου. ὁ δὲ λόγος· οἱ δὲ βόες ἐπιγείου καθεστῶτος ὄμβρου ἀναβλέψαντες εἰς τὸν οὐρανὸν ἐπισπῶνται τὸν ἀέρα καὶ παραπλήσιοι γίνονται ὀσφραινομένοις.

956, 7. καὶ κοίλης μύρμηκες —: ἡ γῆ σῶμά ἐστι τριχῆι διαστατόν. καὶ ἀναγκαῖον σῶμα αὐτὴν οὖσαν κεκρᾶσθαι ὑγρῶι τε καὶ θερμῶι. ἔνιοι γοῦν τόποι αὐτῆς ὀρυττόμενοι καπνὸν ἀφιᾶσιν, ἄλλοι δὲ φρέατα καὶ ὕδατα, καὶ δηλονότι κέκραται τοῖς ὀφειλομένοις. καὶ ἐν μὲν θέρει ἐν βάθει αὐτῆς ἐστιν ἡ ψυχρότης, τὰ δὲ ἄνω θερμά, τῶι δὲ χειμῶνι τὸ ἔμπαλιν τὰ μὲν βαθέα θερμὰ σφόδρα (κατὰ βάθος γὰρ αὐτῆς χωρεῖ ἡ θερμότης), τὰ δὲ ἄνω ἔψυκται, ὡς καὶ ἐπὶ τῶν ἀνθρωπίνων σωμάτων· τὰ μὲν γὰρ ἔνδον χειμῶνι θερμά ἐστιν, ὥστε καὶ ἐκ τῶν οἴρων καὶ ἐκ τῶν σκυβάλων καπνὸν ἀφιέναι. διὰ τοῦτο καὶ οἱ αὐλοὶ καὶ τὰ ὀρύγματα χειμῶνι, ἐπειδὴ ἐν βάθει ἐστί, θερμά, τῶι δὲ θέρει ψυχρά. οἱ τοίνυν μύρμηκες καὶ οἱ ἴουλοι, οἵ εἰσι πολύποδες, ⟨καὶ οἱ⟩ σκώληκες, ἐπειδὴ ἐν βάθει τῆς γῆς εἰσι, τῶι δὲ χειμῶνι τὰ ἐν τῶι βάθει σφόδρα πυροῦται, τὴν θερμότητα τὴν ὑπὸ γῆν οὐ φέροντες καὶ τοῦ χειμῶνος ὄντος ἀνέρχονται καὶ τὰ ᾠὰ αὐτῶν μετάγουσι καί εἰσι σημεῖον χειμῶνος. εἶπον δὲ ἔνιοι τῶν φιλοσόφων, ὅτι ἐκ τοῦ ἡλίου τὸ τοιοῦτον συμβαίνει· ὅτε γὰρ χειμών ἐστι, τότε καὶ περιγειότερος γίνεται νότιος ὤν (τὰ δὲ νότια χθαμαλά) καὶ τὴν γῆν θερμαίνει, τὰ δὲ κάτω ἔψυκται. διὸ καὶ οἱ ποιηταὶ ἀστειευόμενοι ἐνίας τῶν πηγῶν θερμὸν ῥεῖν χειμῶνί φασι, θέρει δὲ ψυχρόν.

ἄλλως. οἱ μύρμηκες ἐκ τῶν μυρμηκιῶν διὰ σπουδῆς ἔξω

Avien 1710—2

---

1 τε om AAld ‖ 2 ἕλκειν ἔξωθεν AAld, ἔξωθεν ἕλκει M ‖ 3 τὸ δὲ ὕδ. ἐνδ. ἤγουν μ. Ald | δὲ om M ‖ 4 οἱ δὲ βόες hic om et δὲ omisso post ὄμβρου posuit Ald | πρότερον ante ἀναβλ. add Ald ‖ 9 οὖν AAld | ὀρυττόμενοι om Ald ‖ 10 δὲ om M ‖ 11 ἐν μεταθέρει (sic) Ald ‖ 13 σφόδρα θερμά AAld | βάθους libri ‖ 13, 4 ἡ θ. χ. Ald ‖ 14 καὶ om Ald ‖ 15 τῶ χ. A | ἅτε A ‖ 16 ἐκ om A ‖ 17 καὶ ante οἱ om AAld | αὐχμοὶ libri: corr Thiele ‖ 18, 9 καὶ — σκώλ. om Ald | οἵτινές εἰσι A ‖ 20 τῶι om M | πάντα pro σφ. Ald ‖ 21 καὶ τοῦ om Ald ‖ 22 αὐτῶν AAld | σημεῖον M: -α AAld ‖ 23 ἐκ M: ἐκτὸς A, ἐκ τῆς Ald | ἡλ. κινήσεως τοῦτο συμβ. Ald ‖ 25 τῶι δὲ θέρει βόρειός ἐστιν, ὅθεν τὰ μὲν ἄνω θερμαίνεται Ald post θερμ. ‖ 26 ἀστειζόμενοι Bekker | ἐνίαις Ald ‖ 27 χειμῶνι θερμὸν ῥεῖν AAld | εἶπον Ald ‖ 28 ἤ pro lemmate Ald | μυρμήκων A

φέρουσι τὰ ὠιὰ ψύχοντες ὑποψίαι σηπεδόνος ἀντιπεριισταμένου τῶι θερμῶι τοῦ ψυχροῦ καὶ πυρουμένων τῶν μυρμηκιῶν.

957. *ἴουλοι: ὁ ἴουλός ἐστι σκώληξ μυρίοις ποσὶ χρώμενος, ὅμοιος ταῖς σκολοπένδραις. οἳ δὲ αὐτὰς τὰς σκολοπένδρας, ἄλλοι δὲ τὸν σκώληκα τὸν μυρίοις ποσὶ χρώμενον. γνώριμα δὲ καὶ τὰ τῆς γῆς ἔντερα. πᾶσι δὲ τούτοις αἴτιος τῆς ἐπὶ τὰ ἔξω κινήσεως ὁ τοῦ ἐπιγείου θερμοῦ πλεονασμός.*

ἴουλοι: οἳ μὲν ὁμοίους εἶναι σκολοπένδραις, οἳ δὲ αὐτὰς τὰς σκολοπένδρας, ἄλλοι δὲ τὸν σκώληκα τὸν μυρίοις ποσὶ χρώμενον. § τὸ δὲ ἀνέρποντες (958) *ἀντὶ τοῦ προσπελάζοντες.*

959. *ἔντερα γαίης: πρῶτον μέν, ὅτι οὕτω πεφύκασι καὶ οὕτω φύσεως ἔχουσιν (ἐντέροις γὰρ ἐοίκασιν ἐπιμήκεις ὄντες), καὶ ὅτι ἐν βάθει τῆς γῆς εἰσιν, εἰκότως ἔντερα γῆς καλοῦνται.*

960. *καὶ τιθαὶ ὄρνιθες —: τὰς κατοικιδίους ὄρνιθας λέγει ἀπὸ τοῦ γεννησαμένου ἀλέκτορος. τιθαὶ δὲ λέγονται αἱ ἥμεροι καὶ πραεῖαι.*

961. *εὖ ἐφθειρήσαντο: ἁπαλὸν ἔχουσι τὸ σῶμα αἱ κατοικίδιοι ὄρνιθες καί, ἐπειδὰν ἀέρος ὑγρότητος αἴσθωνται καὶ ψῦξις ἐμπέσηι, εὐθέως περὶ τὸ σῶμα δήξεώς τινος ἀντιλαμβάνονται καὶ αἰσθάνονται καὶ συνεχέστερον φθειρίζονται τῆι δήξει συνεχόμεναι.*

961, 2. *καὶ ἔκρωξαν μέγα φωνῆι: καὶ μεγάλως ἔκρωξαν πιεζόμεναι τῆι δήξει. εἶτα μίμησιν τῆς ποιᾶς αὐτῶν φωνῆς δίδωσιν, ὥσπερ ὕδωρ ἐπὶ ὕδατι καταστάζον.*

---

1 *γὰρ* post *ἀντ.* Ald ‖ 2 *τῶν μ. πυρ.* Ald | post *πυρ.* Ald *αἰσθάνονται ὅτι ψῦχος ἔσται οἱ μύρμηκες* add ‖ 3 lemmate omisso scholia *δὲ* post *ὁ* inserto coniunxit M ‖ 3, 4 *σκ. ἐστι πολύπους· μυρίοις γὰρ ποσὶ χρῆται ὁμοίως τ.* Ald, cf ad l. 5 ‖ 5—13 *ἰούλους φασί. τὰ δὲ τῆς γῆς ἔντερα οὕτω καλοῦνται πρῶτον μέν, ὅτι οὕτω πεφύκασι καὶ οὕτω φύσεως* Ald, cf infra | 5 *τὸν* prius M: *οὐ* A | *τὸν* alt M: *τοῖς* A | post *χρ.* A schol 959, deinde *ἄλλως. γνώριμα κτλ.* ‖ 5—7 hic om Ald, cf ad l. 14 ‖ 6 *καὶ* om M ‖ 7 *ὑπογείου* A, *ὑπεργείου* Ald, cf ad l. 14 ‖ 8—11 schol 957, 8 om AAld, cf ad l. 5—7 ‖ 14 *τῆς γῆς* Ald | *ὥσπερ* pro *εἰκότως* Ald | *καὶ. γῆς* A, om Ald, quae sic pergit *σημεῖον οὖν χειμῶνος καὶ τὰ τῆς ἔντερα. πάντων δὲ τούτων αἴτιον ὁ τῆς ἐπὶ τὰ ἔξω κινήσεως τοῦ ὑπεργείου θερμοῦ πλεονασμός*, cf l. 5—7 ‖ 16 post *λέγει* Ald *ἐδήλωσε γὰρ εἰπὼν 'αἵτινες ἐκ τοῦ ἀλέκτορος ἐγένοντο'. τιθαὶ* | *γεννησαμένου* scripsi: *-ομένου* AM ‖ 18 *εὖ ἐφθειρίσαντο* A, om Ald | *δὲ* post *ἁπ.* add Ald | *τὸ σῶμα ἔχουσιν* Ald ‖ 20 *εὐθὺς* AAld ‖ 21 *αἰσθάνονται καὶ* om M ‖ 23 *μεγάλη* A ‖ 24 post *εἶτα* A *ἵνα δείξηι μίμησιν τ. π. φωνῆς αὐτῶν δίδ.* ‖ 24, 5 Ald sine lemmate *πιεζόμεναι δὲ μᾶλλον τῆι δήξει καὶ μεγάλως κρώζουσιν, ἔπειτα διδοὺς μίμησιν — αὐτῶν φησιν ὥσπερ*

963. *δήποτε καὶ γενεαὶ κοράκων —*: *ὁμοίως καὶ οἱ κόρακες καὶ οἱ κολοιοὶ κατὰ συστροφὴν καὶ ἀγέλας φαινόμενοι τοῦ ἐκ Διὸς ἐρχομένου ὕδατος οἷον χειμῶνος ἐσομένου σημεῖόν εἰσιν.*

965, 6. *ἱρήκεσσιν ὁμοῖοι φθεγξάμενοι*: *δηλονότι ὀξείαι φωνῇ κραυγάζοντες· τοιαύτη γὰρ ἡ τῶν ἱεράκων φωνή.*

ἄλλως. κολοιοὶ δέ, ἔστιν ὅτε καὶ κόρακες, ἀγεληδὸν πετόμενοι ἱέρακι ὅμοιον φθέγγονται. μιμοῦνται δὲ καὶ τὸν ἀπὸ τῶν σταλαγμῶν ψόφον κόρακες ὑετὸν προδηλοῦντες ἢ καὶ ἀνακράζοντες βαρείαι τῇι φωνῇι τινάσσουσι τὰς πτέρυγας. καὶ αἱ κατοικίδιοι δὲ νῆσσαι καὶ οἱ κολοιοὶ τινασσόμενοι τὰ πτερὰ τὰ ὅμοια δηλοῦσιν.

966, 7. *δίους σταλαγμούς*: *καὶ οἱ κόρακες ὕδατος καὶ ὄμβρου γενησομένου ἐμιμήσαντο τῇι φωνῇι μεγάλους σταλαγμοὺς οὕτω 'κλάγξ' 'κλάγξ'. § δίους δὲ ἀντὶ τοῦ μεγάλους. Ὅμηρος 'εἰς ἅλα δῖαν'.*

ἄλλως. ἐὰν συνεχῶς φωνῶσιν ἢ μετὰ ῥοίζου φέρωνται, καὶ ἐὰν συγκεχυμένην τὴν φωνὴν ἔχωσιν ὁμοίαν σταλαγμοῖς ὄμβρου, χειμῶνα σημαίνουσιν.

968. *ἤ ποτε καὶ κρώξαντε —*: *ἀντὶ τοῦ 'πολλάκις'. πάλιν τῇι βαρείαι φωνῇι καὶ τῇι συνεχείαι τῆς κραυγῆς ἐσομένου χειμῶνος σημεῖον. τὸν ἐνδιαθέτως βοῶντα δείκνυσιν· καὶ αὐτὸς γὰρ φιλῆδεῖ τοῖς ὑγροῖς.*

969. *μακρὸν ἐπιρροιζεῦσι*: *ἀντὶ τοῦ μεγάλως ἠχοῦσι καὶ κτυποῦσι τοῖς πτεροῖς τὰ πτερὰ αὐτῶν πάντα ἀνατινασσόμενοι.*

970. *καὶ νῆσσαι οἰκουροὶ —*: *νῆσσα εἶδός ἐστιν ὀρ-*

---

1 *κοράκων ὁμοίως* om M ‖ 2 *δὲ* post *κορ.* add M ‖ 5 *τὸ δὲ ἱερήκεσσιν ὁμοῖαι δηλ.* M, *τοῖς ἱέραξιν ὁμοίως φθεγξάμενοι* Ald ‖ 7, 8 *καὶ κολ.* et *καὶ ἱέρ.* Ald ‖ 8 *φθεγγόμενοι καὶ μιμούμενοι τὸν* Ald | *γὰρ* (pro *δὲ*) A ‖ 9 *προδηλοῦσιν* Ald ‖ 9—11 *ἀνακρώζοντες μεγάλῃι τ. φ. καὶ τ. πτ. τινάσσ.* Ald ‖ 11 *νῆσσαι* M | *τινάσσοντες* Ald ‖ 13 *δὲ* post *κόρ.* M: om A Ald ‖ 14 *τοὺς μεγ.* Ald ‖ 15 *κλάξ* (semel) AAld | *ἀντὶ τοῦ* om M | *καὶ Ὅμ.* Ald ‖ 17 *ἢ οὕτως* (pro *ἄλλως*) Ald | *ἐὰν — φέρ.* om AAld ‖ 18 *ὁμοίαν* Ald: *-ον* M, om A ‖ 21 *πάλιν* om M | *γὰρ* post *βαρ.* add M | *συνεχίαι* A | *καὶ ποτε πάλιν βαρείαι τῇι φωνῇι* Ald ‖ 22 *γίνονται* post *σ.* et *γὰρ αὐτοὺς* post *ἐνδ.* Ald | *βοῶντας* Ald | *παραδείκνυσιν* AAld ‖ 22—4 *π. αὐτὸς γὰρ φ. τ. ὑγραίνουσιν. τὸ δὲ μ.* A, *π. φιλῆδοῦσι γὰρ τ. ὑγροῖς. τὸ δὲ μ.* Ald ‖ 25 *καὶ κτ.* om Ald ‖ 25, 6 *πτ. πάντα αὐτῶν τὰ πτ. ἀνατιναξάμενοι* Ald

νέου. ὁ δὲ λόγος· καὶ τῶν νησσῶν αἱ οἰκουροὶ καὶ οἱ περὶ τοὺς ὀρόφους ἀναστρεφόμενοι κολοιοὶ κατὰ τὰς τῶν οἰκημάτων ἐξοχὰς ὑπὲρ τοῦ ζητεῖν σκέπας ἀνατινάσσοντες τὰ πτερὰ σημεῖόν εἰσι χειμῶνος. πάντα δὲ τὰ ὄρνεα διαινόμενα τινάσσει τὰ πτερά.

971. ἐρχόμενοι κατὰ γεῖσα: ἢ τῶν οἰκημάτων ἐξοχη. εἰς ἃ ἐπικαθέζονται ἐπιζητοῦντες σκέπας, ἢ τὰ λεγόμενα σκόμια. καὶ Εὐριπίδης (Or 1570) *'ῥῆξας παλαιὰ γεῖσα, τεκτόνων πόνον'. διατινάσσουσι δὲ τὰς πτέρυγας διὰ τὴν τοῦ ἀέρος ὑγρότητα.*

972. ἢ ἐπὶ κῦμα διώκει —: ἢ ὅταν ἐρωδιοὶ μετὰ πολλῆς κλαγγῆς ἐπὶ τὴν θάλασσαν σπεύδωσι, τὸ αὐτὸ δηλοῦσιν.

973. τῶν τοι μηδὲν ἀπόβλητον —: τούτων πάντων τῶν προειρημένων τεκμηρίων μηδέν σοι ἔστω ἀπόβλητον τὸ ἐκ Διὸς ὕδωρ σκοπουμένωι καὶ ἐπιτηροῦντι χειμῶνα ἐσόμενον.

974. μηδ' εἴ κεν ἐπὶ πλέον —: αἱ μυῖαι τοῖς ὑγροῖς σφόδρα χαίρουσι καὶ ἀεὶ τὰς ὑγρὰς οὐσίας σιτοῦνται. ὅτε τοίνυν ὑγροῦ ἀέρος αἴσθονται ἐσομένου χειμῶνος ⟨καὶ⟩ ὑγραίνεται τὸ σῶμα, τότε μᾶλλον τοῦ αἵματος καθάπτονται ὑγραινομένου ἐκ τοῦ περιέχοντος. ὁ δὲ λόγος· μηδὲ ἐὰν ἐπὶ πλέον τοῦ πάροιθεν, τουτέστι τοῦ χθές, αἱ μυῖαι δάκνωσι καὶ ἐπιθυμῶσι τοῦ αἵματος τῆς σαρκός, μηδενὸς τούτων καταφρόνει.

ἄλλως. ἢ ὅταν ἐρωδιοὶ σπεύδωσιν ἐπὶ τὴν θάλασσαν κεκραγότες, ἢ μυῖαι πλέον τοῦ συνήθους δάκνωσιν αἵματος ὀρεγόμεναι, μηδενὸς τούτων καταφρόνει. αἱ δὲ μυῖαι πύκνωσιν ἀέρος δηλοῦσιν· ἢ γὰρ ἀνακοπτομένου τοῦ ὕδατος μέγα καὶ σφοδρότερον νύττουσιν ἢ καὶ πλείονος ὑγροῦ δέονται διὰ τὴν θερμότητα (972—5).

ἄλλως. ἢ ἐν βάθει τοῦ αἵματος χωροῦντος διὰ τὴν

---

1 *αἱ τ. ν.* libri | *νησῶν* A ‖ 3 *σημεῖα* AAld ‖ 4 *τινάσσουσι* AAld ‖ 6 *γεῖσσα* A | *γ. δὲ* pro lemmate Ald ‖ 7 *ἃς* AM, *ἣν* Ald | *ἐπικαθίζονται* Bekker | *ζητοῦντες* Ald ‖ 7, 8 *σκόμια* Ald: *κόσμια* AM | *καὶ* om M | *γεῖσσα* AAld ‖ 11, 2 *ἐρωδιὸς — σπεύδηι — δηλοῖ* Ald ‖ 13 *τοι* om A, *ἀπόβλητον* Ald ‖ 14 *το τῶ* A, *τῶι τὸ* Ald ‖ 16 *δάκνωσι μυῖαι* pro lemmate A ‖ 18 *αἴσθονται* AAld: om M; *αἰσθάνονται* Bekker ‖ 20 *ἐπὶ* om AAld ‖ 20, 1 *πάρ. — τοῦ* om Ald ‖ 23—6 *ἢ διὰ τοῦτο αἱ μυῖαι σφοδρότερον δάκνουσαι πύκνωσιν τοῦ ἀέρος δηλοῦσιν, ἐπειδὴ ἀνακοπτομένου τοῦ ὕδατος μέγα κ. σφ.* sine lemmate Ald ‖ 23 *ἢ* om A ‖ 24 *πλέον μυῖαι* A ‖ 26 *ἀνασκοπουμένου τοῦ αἵματος* M ‖ 27 sq. *νύσσουσιν* AAld ‖ 29 sq. *δάκνουσι μᾶλλον διὰ τὴν π.* AAld

πύκνωσιν τοῦ δέρματος μᾶλλον δάκνουσιν, ἵνα ἐφίκωνται τοῦ αἵματος, ἢ καὶ δι' αὐτὴν τὴν τοῦ δέρματος πύκνωσιν πλείονος δέονται πληγῆς· ἠραιωμένου γὰρ τοῦ δέρματος ἐκ τῶν ἀδήλων πόρων ῥαιδίως ἐξικούσαις εἴκει τὸ αἷμα.

976—81. *ἢ λύχνοιο μύκητες —: τὸ πῦρ ὡμολόγηται ξηρᾶς οὐσίας, ὑγρὸς δὲ ὁ ἀὴρ πολλάκις ἐν χειμῶνι ἐμπίπτων τῶι πυρὶ ἀποτελεῖ τούτους τοὺς σπινθῆρας· δίο γὰρ οὐσίαι ἐναντίαι ἀλλήλαις συνεμπίπτουσι καὶ μὴ φέρον τὸ πῦρ τὸ ὑγρὸν τοῦ ἀέρος τοῦ ἐμπεσόντος ἀφίησί τινας σπινθῆρας. ὅπερ καὶ ὁ Καλλίμαχος ὠφεληθεὶς εἶπεν* (Hecale fr 47) *'εὖτ' ἂν ἀπὸ λύχνοιο δαιομένου — ἄδην ἐγένοντο μύκητες'.*

ἄλλως. προσέχειν δὲ χρή, ὁπόταν καὶ περὶ τὰς μύξας τῶν λύχνων μύκητες ἀθροίζωνται. συμβαίνει δὲ τοῦτο διὰ τὸ πάχος τοῦ ἀέρος· καὶ γὰρ κατὰ τὴν χειμερινὴν ὥραν τὸ περὶ τῶι λύχνωι φῶς ποτε μὲν ἐν τάχει φέρεται, ποτὲ δ' αὖ πομφόλυξιν ὅμοια ἀποβάλλει. ταραχῆς δὲ ἀέρος ταυτὶ τὰ σημεῖα. § *ἐπιτίρει δὲ καὶ θέρους καθαροῦ νήσσας ἀθρόας πετομένας* (981, 2).

977—81. *μηδ' ἢν ὑπὸ χείματος ὥρην —: μηδὲ τοῦτο, φησί, τὸ τεκμήριον παραπέμπου, ὅταν ἐν καιρῶι χειμῶνος τὸ ἀπὸ τῶν λύχνων φῶς ἔσθ' ὅτε μὲν κοσμίως φαίνηται, ἄλλοτε δὲ πολλῆς ὑγρότητος ἀέρος ἐμπιπτούσης ἀπὸ τοῦ πυρὸς ὥσπερ τινὰ πυρώδη ἐπαναστήματα ὁρμᾶι καὶ φαίνηται.*

980. *πομφόλυγες: κυρίως μέν ἐστι πομφόλυξ ἡ ἐπιπεσόντος ὕδατος ἐν ὑποκειμένωι ὕδατι ὕδατος ἐπανάστασις, νῦν δὲ ἐπὶ πυρὸς κατεχρήσατο τοιοῦτον συνιδών· ὥσπερ γὰρ ἐν πυρὶ ἢ ἐν λύχνωι καιομένωι, ἐὰν ὕδωρ ἐπιρράνωμεν, εὐθέως τοῦ πυρὸς φλογώδεις γίνονται ἐπαναστάσεις, τὸν αὐτὸν τρόπον τῆς ὑγρότητος ἐμπιπτούσης μετά τινος ὀλίγου ἤχου αἱ τοῦ πυρὸς γίνον-*

---

3 *δεῖται* libri | *ἠραιομένου* A ‖ 6 *ὁ* om M | *οὖν* post *πολλ.* add Ald ‖ 8 scripsi: *ἐμπίπτουσι* A, *-αι* Ald, *συνεμπίπτουσοι* M, postea *τοῦτο ἀποτελοῦσι τὸ γὰρ πῦρ μὴ φέρον τὸ* Ald ‖ 10 *νοήσας εἶπεν* Ald ‖ 10, 1 *λύτνου* A | *εὖτ' ἂν λύχνου δ. ἄδδην* Ald, *ὁππότε λύχνου* Theodosius Can (Gramm gr IV 1) p. 158 H. et Choeroboscus in Herodiano Lentzii II p. 678, *ὁπότε λύχνου* Herodiani excerptum I p. 61 L; an *εὖτ' ἀπὸ λύχνου*? ‖ 12 *οὖν* pro *δὲ* omisso lemmate Ald | *δεῖ* AAld ‖ 14 *παρὰ τῶι* M ‖ 15 *αὖ* om AAld | *ὅμοια* Ald: *-ως* A, *-ας* M ‖ 16 *αὐτὰ τὰ σ.* A, *αὐτὰ σ.* Ald ‖ 17 *ἀθρόως* M ‖ 16, 7 *ἐπιτήρει — πετ.* om AAld ‖ 18 *ἢν* om M | *ὥρην* om Ald ‖ 20 *ἀπὸ* om M ‖ 22 *φαίνεται* libri ‖ 23 *πομφόλυγγες* AM, item p. 525, 1 et 4 | *μὲν οὖν π. ἐστὶν* Ald ‖ 24 *ὕδατος* om Ald ‖ 25 *τοῦτο* A, om Ald | *συνιδών* scripsi: *-εῖν* AM, om Ald | *οὖν* pro *γὰρ* Ald ‖ 26 *ἐν* om AAld

ται περὶ τὸν λύχνον πομφόλυγες. ὅταν οὖν περὶ ἁπτόμενον λύχνον μύκητες συνιστῶνται χειμῶνος ὥραι αἵ τε φλόγες τεταγμένως καὶ κατὰ φύσιν εἰς ὕψος αἴρωνται, ποτὲ δὲ πλαγιάζωνται καὶ λεπταὶ πομφόλυγες περὶ αὐτὰς γίνωνται καὶ σπινθῆρες ἀπορρέωσι, μὴ ἔστω σοι ἀπόβλητον κατὰ κοινὸν τοῦτο τὸ σημεῖον.

980. μηδ' εἴ κεν ἀπόπροθι —: αὐτοῦ τοῦ λύχνου. πάλιν δὲ τῆς παχύτητος καὶ ὑγρότητος ἐκνικώσης σφόδρα δι' ὅλου ὁ λύχνος λάμπειν οὐ δύναται, ἀλλ' ἀκτῖνας ἀφίησι λεπτὰς καὶ ἐσκορπισμένας, καὶ ἔστιν ἰδεῖν πόρρωθεν ὀλίγον τοῦ λύχνου ἀποστάντας διηκούσας λεπτὰς ἀπ' αὐτοῦ ἀκτῖνας διὰ τὸ μὴ δύνασθαι δι' ὅλου λάμπειν ἐκ τοῦ ὑποκειμένου ἀέρος. μηδὲ τούτου οὖν τοῦ σημείου καταφρόνει.

981, 2. μηδ' ἦν θέρεος —: καὶ ὅταν εὐδίας οὔσης ἐν θερινῷ καταστήματι αἱ νῆσσαι κατὰ πλῆθος συνηθροισμέναι ἐπ' ἀλλήλαις φέρωνται, χειμῶνα ἐκδέχου ἐσόμενον.

ἄλλως. εἴπομεν (ad 924), ὅτι ἀδιάκριτοί εἰσιν ἐν ταῖς ἄλλαις χώραις αἱ τοῦ ἔτους ὧραι. μὴ καταφρονήσῃς οὖν τούτου τοῦ σημείου· [καὶ] ἐὰν γὰρ ᾖ θέρος ἀναπεπταμένον καὶ πάνυ καθαρὸν καὶ νήσσας τὰς ὄρνις ἀλλεπαλλήλους θεάσῃ ἐρχομένας, μὴ παραπέμψῃ· χειμὼν γὰρ ἔσται.

983. μηδὲ σύ γ' ἢ χύτρης —: μὴ ἀμελήσῃς δέ, φησί, μηδὲ τῶν παρὰ ταῖς χύτραις καὶ τοῖς πυροστάταις τρίποσι συμβαινόντων, ὅταν σπινθήρων πλῆθος περὶ αὐτοὺς βλέπηται.

985—7. ὁμοίως δὲ καί, ὅταν ἐν τῇ σποδιᾷ διαπύροις ἄνθραξιν ἀπόρροιαι γίνωνται κέγχροις ὁμοιαι, ὄμβρον δεῖ προσ-

---

1, 2 περιαπτομένω λύχνω AM ‖ 1, 4 πομφόλυγγες AM ‖ 2 συνιστῶντες A | ὥραν A ‖ 2, 3 συνι. περὶ χ. ὥραν καὶ ὅταν αἱ πομφόλυγές ποτε μὲν τετ. Ald | τεταγμένως Ald: τετϊμένως A, τεταμένως M ‖ 3 αἴρωνται scripsi: αἴρονται M, ἀναφέρωνται A, -ονται Ald ‖ 3, 4 πλαγιάζωνται A ‖ 5 σπινθῆρας A Ald | κοινοῦ libri ‖ 5, 6 μηδὲ τοῦτο ἔ. — κοινοῦ σημ. Ald ‖ 7 ἀπόπροσθεν A, ἐπ' αὐτόφιν ἤγουν ἐπ' Ald | αὐτὸν τὸν λύχνον Ald ‖ 8 πάλιν δὲ om Ald ‖ 9 ἀκτὰς Ald ‖ 10 ὀλίγον om AAld ‖ 14 schol post l. 21 sine lemmate Ald, om A | ἢ ἐὰν εὐδίας οὔ. ὡς Ald ‖ 15, 6 φέρονται ἐπ' ἀλλ. Ald ‖ 17 μηδ' ἐν θέρεος (pro ἄλλως) A ‖ 17, 8 αἱ τοῦ ἔτους ὧραι ἐν ταῖς ἄ. χ. Ald ‖ 19 σημείου· ἐάν ποτε θέρους -ου Ald ‖ 19, 20 καθαροῦ ὄντος τὰς νήσσας Ald ‖ 20 ἀλλ' ἐπαλλήλους M, ἀλλεπαλλήλας Ald | ἀνερχομένας Ald ‖ 21 μηδὲ παραπέμψῃς Ald ‖ 22 μὴ δὲ σ. libri ‖ 23 περὶ Ald | πυριστάταις AAld ‖ 25 μηδὲ κατὰ σποδιάν pro lemmate Ald: om AM | ὑπὸ pro ἐν A | ὑπὸ τοῖς ante διαπ. add Ald ‖ 26 ὄμβρους AAld

δοκᾶν καὶ χειμῶνας. τὸ δὲ τοιοῦτον συμβαίνει διὰ τὴν πολλὴν τοῦ ἀέρος ἀγωγήν.

ἄλλως. ὅταν ἡ χύτρας ἢ τρίποδος πυριβήτου τὰ ἐκτὸς κύτη σπινθήρων ᾖ πεπλιρωμένα, τουτέστιν ἐπὶ πυρὸς κειμένων, ἐὰν περὶ τοὺς πυθμένας ὁρῶνται σπινθῆρες, ἴσθι χειμῶνα ἐσόμενον· τὸ γὰρ τοιοῦτο συμβαίνει διὰ τὴν πολλὴν τοῦ ἀέρος ἀγωγήν.

ἄλλως. σκόπει δὲ χύτρας καὶ λέβητας, εἴ ποτε ὥσπερ σπινθήρων ἀνάπλεοι γένωνται ἢ καὶ ἄνθρακι ὑπὸ σποδιᾶς καιομένωι ἐκφαίνηταί τινα κέγχροις ὅμοια· καὶ γὰρ τὰ τοιαῦτα ὑετοῦ σημεῖα.

985. μηδὲ κατὰ σποδιήν: ὁμοίως δέ, κἂν καιομένων ἀνθράκων ἐπὶ τῆι σποδιᾶι οἱονεὶ κέγχροις ὅμοιοι σπινθῆρες ὁρῶνται, ὑετὸν ἐκδέχου.

ἄλλως. σποδιὰν λέγει αὐτὴν τὴν ἐσχάραν, τὴν ἑστίαν. § πολλάκις δὲ πάλιν ἐκ τῆς προειρημένης θεωρίας καὶ περὶ τοὺς ἄνθρακας ἔτι διαπύρους ὄντας ἐν μέσωι τοῦ ἄνθρακος ἔστιν ἰδεῖν ὡς μικρὰ κέγχρια ὅμοια σπινθῆρ⟨σ⟩ιν. μηδὲ τοῦτο οὖν τὸ σημεῖον. παραιτοῦ, ὁπόταν ἐν ἐσχάραι καιομένου ἄνθρακος περὶ τὸν ἄνθρακα λάμπηι σημεῖα χειμῶνος κέγχροις καὶ σπινθῆρσιν ὅμοια.

988—93. εἴ γε μὲν ἠερόεσσα —: ἤγουν λεπτομερής. ἐὰν οὖν τοιαύτη νεφέλη ⟨ἐν⟩ ταῖς ὑπωρείαις παρεκτείνηται, αἱ δὲ ἀκρώρειαι καθαραὶ φαίνωνται, εὐδίαν ἴσθι γινομένην. ὁμοίως καί, ἐὰν τῆι θαλάσσηι ὁμοία πλαταμῶνι ἐπικαθέζηται νεφέλη λεία καὶ λευκή, καὶ αὕτη ⟨μὴ⟩ μετεωρίζηται, εὐδίαν προσδόκα· αἱ γὰρ τοιαῦται διὰ τὴν λεπτομέρειαν εὐδίαν μᾶλλον καὶ συστολὴν τοῦ ἀέρος ἐμφαίνουσιν.

988. πάρεξ: ἡ παρὰ τὴν ἐγγύτητα σημαίνει, ἡ δὲ ἐξ τὴν ὀλίγον ἀπὸ τοῦ ὅρους ἀποχήν. ὁ δὲ νοῦς· εἴγε μὲν ἀχλυώδης

1, 2 καὶ χ. — ἀγωγήν AAld: om hic M, cf l. 5—7 ‖ 1 χειμῶνα Ald ‖ 3—7 schol hic om AAld ‖ 12 schol omisso lemmate cum l. 2 coniunctum Ald verbis ἐὰν οὖν incipiens ‖ 14, 5 ὄμβρους ἐκδ. σποδιὰν δὲ λ. AAld ‖ 16—21 πολλάκις — ὅμοια om AAld ‖ 25 δὲ καὶ ἐὰν ἐν Ald | ἄν (om A) ἐπικάθηται AAld ‖ 26 αὕτη M: αὐτὴ A, αὐτοῦ Ald | suppl Ald, cf Ar 992 ‖ 29, 30 πάρεξ — ἀποχήν om M | τὸ δὲ πάρεξ ἡ μὲν παρά Ald ‖ 30 post ἀπ. add Ald πυθμένα δὲ τὴν ὑπώρειαν λέγει (989), deinde omisso lemmate p. 527, 4 πυθμένες ὁρῶν — ὑπώρειαι. μεταβεβηκὼς οὖν ἐπὶ τὰ τῆς εὐδίας σημεῖα φ., ὅτι καὶ ἐὰν ἀχλυώδης ν. π. τὸν πυθμ. καὶ τὴν πεδ. τοῦ μ. ὄ. — ἀέρος. ἢ ἐὰν αἱ ν. (ib 7)

νεφέλη παρὰ πυθμένα καὶ πεδιάδα μεγάλου ὄρους τείνηται καὶ φέρηται, τὰ δὲ ἐν ὕψει τοῦ ὄρους καθαρεύοντα νεφῶν φαίνηται, σφόδρα εὔδιον ἂν εἴη τὸ κατάστημα τοῦ ἀέρος.

989. *πυθμένα τείνηται: πυθμένες ὀρῶν καλοῦνται αὐταὶ αἱ ὑπώρειαι.*

ἄκραι δὲ κολῶναι: μεταβέβηκεν ἐξῆς ἐπὶ τὰ τῆς εὐδίας σημεῖα, καί φησιν, ὅτι, ἐὰν αἱ νεφέλαι τὰ ἔσχατα τῶν ὀρῶν, τὰ παρὰ τοῖς πυθμέσι, σκέπωσιν, αἱ δὲ ἀκρώρειαι καθαραὶ θεωρῶνται, εὐδίαν δεῖ προσδέχεσθαι. ὡσαύτως δέ, καὶ ὅταν παρὰ τοῖς αἰγιαλοῖς τῆς θαλάσσης ταπεινὸν νέφος ἀγχιβαθεῖ καὶ ἐπιμήκει πέτρα⟨ι⟩ θεωρῆται ὁμοία, εὐδίαν σημαίνει.

991. *εὔδιός κ' εἴης —: πάλιν, εἰ τῇ αὐτῇ θεωρίαι χθαμαλὴ ἐπὶ πόντου νεφέλη φέρηται ἀνέμων μὴ ἀναρριπιζόντων αὐτὴν ἐν ταπεινώσει σχεδὸν καὶ πλησίον τοῦ ὕδατος, εὐδίαν προσδόκα.*

993. *ἀλλ' αὐτοῦ πλαταμῶνι —: πλαταμὼν πέτρα ἐστὶν ὀλίγον ἐξέχουσα τῆς θαλάσσης, λεία τις οὖσα καὶ ὁμαλὴ καὶ πλατεῖα. Ἀπολλώνιός* (I 364—6) *φησιν·*

εἵματα — νηήσαντο
λείωι ἐπὶ πλαταμῶνι, τὸν οὐκ ἐπέβαλλε θάλασσα
κύμασι, χειμερίη δὲ πάλαι ἀπέκλυσεν ἅλμη.

ὁ δὲ λόγος (991—3)*· εὔδιον ἂν εἴη τὸ κατάστημα τηνικαῦτα, ὅταν ἐπὶ τὸν πόντον φαίνηται νεφέλη καὶ μὴ ἐν ὕψει ὑπάρχηι, ἀλλ' αὐτοῦ πλησίον τοῦ πόντου παραθλίβηται πλαταμῶνι ὁμοία, καὶ αὐτὴ ἡ νεφέλη ὁμοίως ὀλίγον προνενευκυῖα τῆς θαλάσσης ὑπάρχηι, καθάπερ ὁ πλαταμών. πλαταμὼν δέ ἐστιν ἡ ὀλίγον ὑπερκύπτουσα τῆς θαλάσσης ὁμαλὴ πέτρα καὶ ὕφαλος.*

994—8. *σκέπτεο δ' εὔδιος μὲν —: εὐδίας μὲν οἷν οὔσης*

2, 3 *φαίνεται* M ‖ 8 *σκοπῶσιν* libri ‖ 9 *προσδοκᾶν* AAld | *δὲ* om Ald | 10 *τῆς θ.* om AAld | *ταπ.* om Ald ‖ 10, 1 *ν. οἷα ἀγχιβαθὴς καὶ ἐπιμήκης πέτρα* AAld ‖ 11 *ὁμοίως* AM, om Ald ‖ 12, 3 schol Ald omisso lemmate sic incipit *ἢ ἐὰν ἐπὶ τὸν πόντον χθαμαλὴ νεφέλη* ‖ 12 *εἰ* A: *ἐν* M ‖ 14 *οὖσαν* post *ταπ.* add Ald ‖ 15 *σημαίνει* AAld ‖ 16 *πλαταμὼν δέ ἐστι πέτρα* sine lemmate Ald | 17 *οὖσα* om M ‖ 18 *ἀπόλλωνος* M ‖ 19 *ἥματα* A | *νηήσαντο* Apollonius: *ἠΐσατο* A, *ἠΐσσατο* M, *εἵσατο* Ald ‖ 20 *λεῖα* AAld | *ἐπέβαλε* A, *ἀπέβαλλε* Ald ‖ 21 *ἀπέκλυζεν* Ald; *ἀποέκλυσεν* coni Merkel ‖ 24 *περιθλίβηται* A | *τοῖς* (om A) *πλαταμῶσιν ὁμοίως* AAld ‖ 24, 5 *καὶ γὰρ καὶ αὐτὴ* Ald ‖ 25 *ἡ αὐτὴ νεφ.* A | *ὁμοίως* om M ‖ 25, 6 *ὑπάρχει* Ald ‖ 26 *ἔστι γὰρ πλ. ὡς ἔφην ἡ ὀλ.* Ald ‖ 28 *σκέπτεο* pro lemmate Ald | *οἷν* om M

σημεῖα λάμβανε χειμῶνος, χειμῶνος δὲ ὄντος σημεῖα ζήτει γαλήνης, μάλιστα δὲ πάντων σκόπει τὴν Φάτνην καὶ ζήτει· καθαιρομένης γὰρ τῆς ἀχλύος μεταβολὴν τὴν ἐκ χειμῶνος εἰς εὐδίαν ὑποδηλοῖ.

ἄλλως. περισκόπει δὲ τὰ τεκμήρια τοῦ χειμῶνος ἔτι ἐν εὐδίαι ὤν, ἀπὸ δὲ χειμῶνος λήγοντος τὰ τῆς γαλήνης. σφόδρα δὲ ἀναγκαῖόν ἐστιν ἀφορᾶν πρὸς τὴν Φάτνην, ἣν ὁ Καρκίνος περὶ ἑαυτὸν κύκλωι ἔχει.

997. *πρῶτα καθαιρομένην —: περισκόπει δὲ αὐτὴν λοιπὸν ἀρχὴν λαμβάνουσαν τοῦ καθαίρεσθαι πάσης ὁμίχλης ὑπένερθε γενομένης καὶ ἐκτὸς αὐτῆς.*

997. *πάσης ὑπένερθεν ὁμίχλης —: οὐ τὴν Φάτνην κατωτέραν πάσης ὁμίχλης (ἡ γὰρ τῶν ἀέρων ἀκρασία πολὺ τοῦ οὐρανοῦ κατωτέρω), ἀλλὰ πάσης ὁμίχλης κατωτέρω καὶ ἐκτὸς γινομένης τοῦ Καρκίνου καὶ τῆς Φάτνης.*

998. *κείνη γὰρ φθίνοντι —: ἐκείνη γὰρ ἡ Φάτνη φθίνοντος χειμῶνος καθαίρεται. καὶ δῆλον, ὅτι σφόδρα ἀκριβὲς τὸ σημεῖόν ἐστιν εὐδίας· ἡ γὰρ Φάτνη φύσει σφόδρα ἐστὶν ἀμαυρὰ καὶ δυσκατάληπτος καὶ ὑπὸ ὀλίγης ἀέρος δυσκρασίας ἀφανιζομένη. ὅτε δὲ φαίνεται καθαρά, δῆλον ὅτι οὐδ' ἡ τυχοῦσα ὑπόκειται δυσκρασία, ἀλλὰ πάντηι καθαρός ἐστιν ὁ ἀήρ.*

999 sqq. *καὶ φλόγες ἡσύχιαι —: προείπομεν* (p. 524), *τίνα συμβαίνει τῶι λύχνωι ἐν τῶι χειμῶνι. ἥσυχα οὖν φαίνων δηλοῖ εὐδίαν. ὁ δὲ νοῦς, καὶ τὰς τῶν λύχνων δὲ φλόγας ἡσυχίους, τουτέστι μὴ σπινθηροπόμπους, εἶναι μηδὲ κτυπούσας καὶ τὰς νυκτερίους γλαῦκας ἀταράχως βοώσας (ἐν γὰρ τῶι χειμῶνι*

---

1 *σημεῖον* Ald ‖ 2 *καὶ ζήτει* om M ‖ 5 *ἄλλως* om et scholia coniunxit AAld | *οὖν* pro *δὲ* Ald ‖ 5, 6 *τοῦ χ. ὅταν ἐν εὐδίαι ἦις* Ald ‖ 5 *ὅτι* A ‖ 8 *κύκλου* A | *περικυκλῶν περιέχει* Ald; *Κ. κύκλωι περιέχει* Bekker ‖ 9 lemma om MAld ‖ 9, 10 post *αὐτὴν* Ald *πρῶτα καθαιρομένην ἤγουν ἤδη ἀρχομένην αὐτὴν τοῦ κ.* ‖ 10 *λ. αὐτὴν λαμβάνεσθαι τοῦ κ.* A ‖ 11 *γινομένης* omisso *καὶ* AAld ‖ 12 schol post l. 21 scriptum AMAld: traieci | *τὸ δὲ πάσης* A Ald ‖ 13 *κατωτέρω* AAld | *φησὶν* post *ὁμ.* add Ald | *δυσκρασία* Ald ‖ 15 *γινομένου* A, *γενομένης* M ‖ 16 lemma om et scholia coniunxit M ‖ 16, 7 *φθίνοντι χειμῶνι* A ‖ 18 *φύσει* om AAld | *σφόδρα* om M ‖ 19 *δυσκρ. ἀέρ.* AAld ‖ 22 *ἡσύχιοι* A, *ἡσύχαιοι* Ald ‖ 22, 3 *τινὰ συμβαίνειν* M ‖ 24 *ἡσυχίας* M ‖ 25 *οὔσας* pro *εἶναι* M | *σημεῖον εὐδίας ἴσθι* post *κτ.* Ald ‖ 26 *νυκτερινὰς* A

περιεχομένη τῶι κρύει ἀτάκτως κραυγάζει), καὶ τὰς κορώνας δὲ ἠρέμα [καὶ] ποικίληι τῆι φωνῆι χρωμένας εὐδίας γίνεσθαι σημεῖα· αἵ τε γὰρ φλόγες ὑπ᾽ οὐδενὸς ταρασσόμεναι κατὰ τὸν ἴδιον φέρονται θεσμὸν τά τε ὄρνεα ἀταρακτοῦντα ὥσπερ ὑφ᾽ ἡδονῆς τοῦτο πάσχει.

ἄλλως. καὶ φλόγες ἡσύχιαι —: εὐδίας σημεῖον καὶ φῶς ἀπὸ τῶν λύχνων ἡσυχαῖον καὶ γλαὺξ ἄιδουσα ἡσύχως καὶ κορώνη ἑσπέρας ποικίλον φθεγγομένη καὶ μεθ᾽ ἡσυχίας. ἄιδει δὲ ἡ γλαὺξ προσδοκῶσα πραιεῖαν νύκτα καὶ νομὴν ἄφθονον.

1001. καὶ ἥσυχα ποικίλλουσα —: τουτέστι ποικίλλουσα τὴν φωνὴν αὐτῆς εἰς διαφορὰς φωνῶν καὶ πολύφωνα κρώζουσα. προείπομεν δέ (p. 522, 20), ὅτι καὶ οἱ κόρακες καὶ αἱ κορῶναι ἀρχομένου χειμῶνος ἡδόμενοι φαίνονται. λοιπὸν δὲ προϊόντος καὶ ἐπίτασιν τοῦ κρύους ἔχοντος οὐκέτι χαίρουσιν, ἀλλ᾽ ἀρχομένου θέρους πάλιν ἡδόμενοι φαίνονται· τὰς γὰρ τῶν καιρῶν ὑπερβολὰς οὐ φέρουσιν. φασὶ δέ, ὅτι, ὅταν καὶ ἡ κορώνη ποικίληι τῆι φωνῆι καὶ ἥσυχα κρώζηι καὶ μὴ τραχέα, δηλοῖ ὑφ᾽ ἡδονῆς εὐδίαν.

1003 sqq. καὶ κόρακες μοῦνοι —: τὴν αἰτίαν καὶ αὐτὸς εἶπεν· χαιρόντων γὰρ αἱ τοιαῦται φωναὶ καὶ αἱ κινήσεις ἐκθαρσησάντων τῆι καθαρότητι τοῦ ἀέρος. πρῶτον δὲ ἰδίαι βοῶσιν ἀλλήλοις προσημαίνοντες, εἶτα πιστεύσαντες ἅμα καὶ γεγηθότες διίπτανται.

ἄλλως. καὶ οἱ κόρακες ἔστωσαν σημεῖον εὐδίας, ὅταν μόνοι καὶ καθ᾽ ἕνα ἐν τῆι ἐριμίαι βοήσαντες, εἶτα καὶ δεύτερον βοήσαντες μηκέτι μόνοι ἀλλ᾽ ἀγεληδὸν προέρχωνται πρὸς τὴν ἑσπέραν κοίτου φροντίζοντες καὶ φωνῆς οἱ πάντες πεπληρωμένοι ἐπὶ τῆι ἐσομένηι εὐδίαι. ὁ δὲ νοῦς· καὶ οἱ κόρακες κατὰ μόνας μὲν ἐπιεικῶς φθεγγόμενοι καὶ ἐπαναδιπλοῦντες τὴν φωνήν, ἔπειτα λαμπροτέραι τῆι φωνῆι χρώμενοι καὶ περὶ τὴν τοῦ

---

1 περιεχομένας τῶι κρύει ἴδοι τις ἂν κραυγαζούσας ἀτάκτως Ald ‖ 1—5 iterum M post p. 530, 7 lemmate πολύφωνα κορώνη (1002) praescripto sic καὶ τὰς κορώνας ποικίληι τῆι φ. χρ. ἠρ. εὐδίας σημ. — πάσχει | 2, 3 εὐδίας γίνεσθαι σημεῖα om hic Ald, cf p. 528, 25 ‖ 4 ἀτακτοῦντα Bekker ‖ 6—9 schol om AAld ‖ 7 ἡσυχαῖον M ‖ 10 τὸ δὲ ante lemma Ald | καὶ om Ald ‖ 12 καὶ prius om M ‖ 13 ἡδόμενοι M: εὐφραινόμεναι A, -οι Ald ‖ 15 ἐφάνησαν post πάλιν Ald | ἡδόμεναι libri ‖ 16 ὅτι om M | καὶ om Ald ‖ 17 τῆι φ. ποικ. AAld ‖ 19 καὶ om Ald ‖ 19, 20 αὐτὴν A ‖ 24—8 om Ald ‖ 24 εὐδίας σημ. A ‖ 28, 9 κατὰ μόνας μὲν om AAld

ὕπνου ὥραν συνουσιαζόμενοι καὶ μετὰ γοερωτέρας φωνῆς ἐπὶ τὴν ἀνάπαυσιν χωροῦντες παραπλήσιοι ᾄδομένοις ἐπὶ τῶι εὐδινῶι καταστήματι, καὶ ἐν τῆι ἐγρηγόρσει τῆι φωνῆι τερπόμενοι ἐν [δὲ] τῶι ὀρθρινῶι καιρῶι πολλοὶ μὲν ἐπὶ τῶι φλοιῶι τῶν δένδρων, πολλοὶ δὲ ἐπὶ τοῖς ἀκρεμόσι παρεικότες τὰ πτερὰ καὶ ἥσυχοι διατελοῦντες εὐδίαν σημαίνουσιν.

1005. πλειότερον δ' ἀγεληδὸν —: πλειότερον δὲ φωνῆς ἔμπλεοι γίνονται ἀγεληδὸν ὄντες, ἐπειδὰν τοῦ κοίτου φροντίδα ποιῶσιν.

1006. χαίρειν κέ τις ὠίσσοιτο: ὡς ἐκ τοῦ φθέγματος χαίρειν ἄν τις ὑπολάβοι αὐτούς, ὁποῖα κράζουσιν ἥσυχα καὶ ἀνειμένα· τοῦτο γάρ ἐστι τὸ λιγαινομένοισιν ὁμοῖα (1007).

1008. πολλὰ δὲ δενδρείοιο —: πολλοὶ δὲ καὶ ὅταν τῶι δένδρει, εἰς ὃ αὐλίζονται περὶ τὸν φλοῦν καὶ τὸ στέλεχος καθεσθέντες, κρώζωσι καὶ ⟨ἄλλοτε⟩ ἄλλα μέλη λέγωσι, ταῦτα σημεῖα εὐδίας.

1009. ἦχί τε κείουσιν —: ἐν ὧι αὐλίζονται καὶ καθέζονται, ἀπ' αὐτοῦ ⟨εἰ⟩ πάλιν αἴρονται, καὶ περιπετασθέντες πάλιν ἐπ' αὐτὸ εἰ ὑποστρέφοιεν, εὐδινὸν τὸ περὶ τὸν ἀέρα κατάστημα γίνωσκε· χαιρόντων γὰρ αἱ τοιαῦται φωναὶ καὶ κινήσεις, ἐκθαρσησάντων τῆι καθαρότητι τοῦ ἀέρος. § οὗτος δηλῶσαι ἠθέλησε, ποῖον δένδρον εἴρηκεν· λέγει γὰρ 'ὅπου τίκτουσιν', ἀπὸ τοῦ τεκείω ῥήματος. ἐμοὶ δὲ δοκεῖ μᾶλλον κείουσιν ἀντὶ τοῦ κοιμῶνται ἀπὸ τοῦ κείω, ὁ δὲ τε σύνδεσμος, ἵν' ἦι

---

1 δὲ post ὕπνου add M ‖ 2, 3 εὐδιεινῶι AAld ‖ 6 ἥσυχα AAld ‖ 7 τὸ δὲ πλ. Ald | πλειότεροι AAld | ἤγουν post lemma Ald | πλειοτέρας A Ald | δὲ om Ald ‖ 8 φ. ἔχοντες τουτέστιν ἔ. A, ἐχόμενοι τουτέστιν Ald | γενόμενοι ἀγ. Ald ‖ 9 ποιήσουσι A, -ωσι Ald ‖ 10 τὸ δὲ χαίρ. Ald | καί τις M | 10, 1 φθ. δηλαδὴ χ. Ald ‖ 11 ὑπολάβη A | αὐτούς om M | ὅπως Ald | κρώζουσιν AAld ‖ 12 τὸ om M | λιγαινομένοις AM ‖ 14 τὸ δὲ πολλὰ δένδρ. ἀντὶ τοῦ πολλοὶ καὶ ὅταν ἐν Ald ‖ 15 δένδρω AAld | τὸν στέλεχον AAld ‖ 16 μέλη ἄλλα AAld ‖ 16—18 λέγωσιν εὐδίαν σημειούμενοι. τὸ δὲ ἦχί τε κ. ἤγουν Ald ‖ 19 ⟨καὶ⟩ ἀπ' suppl Ald ‖ 19, 20 γὰρ ἀπ' αὐτοῦ αἰρόμενοι καὶ πετασθέντες πάλιν ἐπ' αὐτὸ ὑποστραφεῖεν Ald ‖ 19 -α M, πετασθέντες AAld ‖ 20 αὐτοῦ A | ὑποστρέφειεν A ‖ 22—25 δηλῶσαι οὖν βουλόμενος τὸ δένδρον ἔφη ὅπου τεκείουσι. τινὲς οὖν τὸ ἦχί τε κείουσιν εἰς δύο μέρη διαιροῦντες τὸ τεκείουσι ῥῆμά φασιν ἀπὸ τοῦ τεκείω, ἵν' ἦι 'ὅπου γεννῶσι'. κρεῖττον δὲ λέγειν ἦχί τε κείουσιν (ἤγουν ὅπου κοιμῶνται) ἀπὸ τοῦ κείω τοῦ τε συνδέσμου ὄντος, ἵν' Ald ‖ 23 ἠθέλησα A ‖ 23, 4 ὅπου τεκείουσιν A, cf Ald ‖ 24 post ῥήματος add M ὅπου τίκτουσιν: om A ‖ 25 γὰρ pro δὲ A | ἵνα A

'ὅπου καὶ τὴν κοίτην ἔχουσι καὶ ὅπου αὐλίζονται καὶ τῆς πτήσεως παύονται'· τὸ γὰρ ἀπτερύονται (1009) οἱονεὶ τὰ πτερὰ χαλάσαντες. ἢ τὸ ἀπτερύονται ἀντὶ τοῦ διασείουσι τὰς πτέρυγας ὑποστρέψαντες· διακινοῦσι γὰρ τὰς πτέρυγας ἤτοι ὑφ' ἡδονῆς τὴν κοίτην καταλαβόντες ἢ τὴν ἐκ τοῦ ἀέρος διατινάσσοντες ἰκμάδα. καὶ παρ' Ἀρχιλόχωι (cf fr 141 et Aratea p. 352—355) ἡ ὑφ' ἡδονῆς σαλευομένη κορώνη 'ὥσπερ κηρύλος πέτρης ἐπὶ προβλῆτος ἀπτερύσσετο'. § τὸ δὲ ὑπότροποι ἀπὸ τοῦ νομοῦ πάλιν ὡς ἐπὶ τὴν κοίτην.

ἀπτερύονται: προσέθηκε τὸ ᾱ διὰ τὸ μέτρον. πτερύσσειν δὲ ἐτυμολογεῖται οἱονεὶ πτεροσείειν.

1010—2. καὶ δ' ἄν που γέρανοι —: καὶ αἱ γέρανοι συνηθροισμέναι ὅταν μακρὰν πτῆσιν ἀνύσωσι καὶ μὴ εἰς τοὐπίσω ὑποστραφῶσιν, εὐδίαν δηλοῦσιν· προγινώσκουσαι γὰρ πολλῶν ἡμερῶν εὐδίαν γενησομένην διαίρονται εἰς ὕψος καὶ ἐπιθαρσοῦσι τῶι διαστήματι τῆς πτήσεως.

ἄλλως. καὶ αἱ γέρανοι πάλιν τὰς τῶν καιρῶν ὑπερβολὰς οὐ φέρουσιν, ἀλλὰ χειμῶνι μὲν ἀπὸ Θράικης ὡς ἐπὶ τὰ θερμότερα φεύγουσι [καὶ] εἰς τὴν Αἴγυπτον. πάλιν δέ, ὅτε χειμών, καὶ τὸν αὐτὸν ἀνύουσι δρόμον. καὶ ἐὰν πετομένων αὐτῶν πνεύματα ποιητικὰ χειμῶνος ἐμπέσηι, οὐκέτι αἱ πᾶσαι τὸν αὐτὸν ἀνύουσι δρόμον, ἀλλὰ φεύγουσ⟨α⟩ι τὰ πνεύματα ἐξ ὑποστροφῆς ἀτάκτως ποιοῦνται τὰς πτήσεις μετὰ κλαγγῆς καὶ φόβου τοῦ χειμῶνος. βοῶσι δὲ πάλιν ὡς ἡδόμεναι, ὅταν εἰς τὰ θερμὰ τῶν τόπων ἐν χειμῶνι γένωνται· φησὶ γάρ· καὶ ὅτε τὸν αὐτὸν ἀνύουσι δρόμον, εὐδίαν δηλοῦσιν· ἐπάγει γὰρ οἱ δὲ παλιρρόθιοι κεν ὑπεύδιοι φορέοιντο (1012). καὶ Ὅμηρος (Il III 5) 'κλαγγῆι ταί γε πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων' καὶ ὁ Ἡσίοδος (Opp 448—451)

---

3 χαλῶσιν Ald | τὸ ἀπτ. ἀντὶ τοῦ om AAld ‖ 4 δὲ pro γὰρ A ‖ 4,5 οὗτοι ὑφ' A ‖ 5,6 ἰκμ. διατ. AAld ‖ 7 ἢ AM: om Ald ‖ 7,8 ὥσπερ — ἀπτ. M: om AAld ‖ 8 post ὑπ. add Ald ἀντὶ τοῦ τραπέντες ‖ 10 ἐν δὲ τῶι ἀπτ. Ald scholiis coniunctis | δὲ τὸ A ‖ 11 γαρ pro δὲ AAld, quae deinde ἐστὶ καὶ πτερύειν. ἐτ. δὲ ‖ 12 αἱ om Ald ‖ 14 προγινώσκουσαι AAld: -ι M ‖ 15,6 ἐπιθαρροῦσι Ald ‖ 17 ἕνα δρόμον ἤλιθα πᾶσαι pro lemmate A, αἱ γὰρ γέρανοι τὰς τῶν omisso lemmate Ald ‖ 18 χειμῶνα A, -ος Ald ‖ 19 διατρίβουσι post Αἴγ. add AAld | δὲ om M | καὶ alt om AAld ‖ 21 ἐμπέσῃ χειμῶνος AAld ‖ 23 ποιοῦσαι Ald | φόβου M: ψόφου AAld | δεδοικυῖαι τὸν χειμῶνα Ald ‖ 25—27 φησὶ — φορέοιντο M post p. 532,4 ‖ 26 ἐπιφέρει M ‖ 28 ὁ om Ald

φράζεο δ', ἐὺτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης,
ἥ τ' ἀροτοῖό τε σῆμα φέρει καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ'.

ἐν εὐδίαι οὐκ ἂν παλιρρόθιοι καὶ ἄτακτοι φέροιντο, ἀλλὰ λεῖόν τινα καὶ τὸν αὐτὸν ἀποτελοῦσι δρόμον.

1012. *οὐδὲ παλίρροθιοι* —: *πνεύματος σκληροῦ ὄντος διὰ τὴν πύκνωσιν τοῦ ἀέρος παλινδρομοῦσιν αἱ γέρανοι, ἐν δὲ ἀκύμονι καὶ κεχυμένωι καὶ λείωι καὶ ἀπταίστωι εὐδρομοῦσιν.*

1013 sqq. *ἦμος δ' ἀστερόθεν* —: *μεταβέβηκε πάλιν ἐπὶ τὰ τοῦ χειμῶνος σημεῖα καὶ φησίν· ὅταν ἴδῃς ἐν καθαρῶι ἀέρι αἰφνίδιον ἀμβλυνομένους ἀστέρας μήτε νέφους μήτ' ἄλλης τινὸς ἀχλύος ἐπισκιαζούσης μήτε σελήνης ἐπιπροσθούσης, χειμῶνα προσδόκα. δηλοῖ δέ, ὅτι ἡμῖν ἀνεπαισθήτως ὁ ἀὴρ παχυμερὴς γενόμενος τοῦτο ποιεῖ.*

ἄλλως. ἡνίκα τὸ τῶν ἀστέρων φῶς καθαρὸν ὂν ἄρχεται ἀμαυροῦσθαι καὶ μὴ εἰσι νεφέλαι πεπιλημέναι αἱ τὴν ἀορασίαν ποιοῦσαι, μηδ' ἄλλος τις ζόφος ὁμιχλώδης ὑπαντᾶι μήτε ἡ σελήνη, ἀλλὰ αὐτὰ τὰ ἄστρα ἄνευ τινὸς ὑποκειμένης αἰτίας ἀμαυρὰ φαίνονται, μηκέτι τοῦτο τὸ σημεῖον εὐδίας σοι ἔστω, ἀλλ' ἐπιτήρει ἐσόμενον χειμῶνα. γίνεται δὲ τοῦτο αὐχμοῦ ἐπιπροσθοῦντος τοῖς ἄστροις καὶ τὸ λαμπρὸν αὐτῶν ἀμβλύνοντος.

1015. *οὐδὲ σελήνη*: *τοῦτο εἶπεν, ἐπειδὴ ἡ σελήνη ἐπισκέπει τῶι ἰδίωι φωτὶ καὶ ἀμαυροῖ τοὺς ἀστέρας. τῶν οὖν ἀστέρων ἐξαίφνης σκοτεινῶν γινομένων χειμὼν ἔσται.*

1018—20. *καὶ ὁππότε ταὶ μὲν ἔωσιν* —: *ὡσαύτως, καὶ ὅταν τῶν νεφελῶν αἳ μὲν ὑψηλότεραι ἐν τῶι αὐτῶι τόπωι μένωσιν ἀκίνητοι, αἱ δ' ὑπ' αὐταῖς διαρριπίζωνται αἳ μὲν*

---

1 *φράζεσθαι δ'* Hesiodus | *εὖτ' ἄν γεράνου φωνὴν* M: *αὖτε ἐὰν γεράνων φωνῆς* AAld ‖ 2 *ἐνιαύσιαι* A ‖ 3 *τε* om M ‖ 4 *ὀμβρινοῦ* AAld ‖ 5 cf ad p. 531, 25 | *οὖν οὐκ ἄν* A, *οὖν κἂν* Ald | *ἀτάκτως* Ald | *λεῖον* AAld: *λέγει ὃν* M ‖ 7 *ἢ ὅτι πν. μὲν σκληροῦ* omisso lemmate Ald ‖ 12 *αἰφνιδίως* Ald | *μήτε* AAld ‖ 14 *ἀνεπαισθήτως* Ald: *-ος* AM | *ὁ* om M ‖ 15 *γινόμενος* A Ald ‖ 16—21 (*χειμῶνα*) om AAld ‖ 17 *εἰσι* scripsi: *ὦσι* M ‖ 23 *τὸ οὖν* lemmati praescripsit et scholia coniunxit Ald ‖ 23, 4 *ἐπισκέπτει* A, *ἐπὶ σκέπει* M, *σκέπει* Ald ‖ 24, 5 *ἀ. εἰ οὖν ἄνευ τούτων ἐξ. σκοτεινα τὰ ἄστρα γένηται χ. ἔ.* Ald ‖ 25 *ἐξέφνης* M ‖ 26 *μενέωσιν* Ald ‖ 28 *αὐταῖς* ABessarion in M (= rec³, cf ed Arati p. XXXV) Ald: *αὐτοὺς* M | *ὑπορριπίζωνται* A, *-ονται* Ald

προηγούμεναι, αἳ δὲ καταλαμβάνουσαι, ὡσαύτως χειμῶνα δεῖ προσδοκᾶν.

ἄλλως. καὶ τοῦτο σημεῖον ἔστω χειμῶνος, ὅταν ἔν τινι τόπωι τῶν νεφελῶν αἳ μὲν ἐν τῶι αὐτῶι τόπωι μένωσιν ἀκίνητοι, ἄλλαι δὲ ἀπ' αὐτῆς ἐκείνης τῆς χώρας καὶ ἐξ ἐκείνου τοῦ τόπου ἔλθωσιν, αἳ μὲν τὰς ἱσταμένας περιτρέχουσαι, ἄλλαι δ' ὄπιθεν ἐρχόμεναι.

1021 sqq. καὶ χῆνες —: τούς τε χῆνας καὶ τὰ λοιπὰ ἐφεξῆς, ἃ καταλέγει, ὄρνεα ταραχωδῶς καὶ μετὰ πολλῆς κινούμενα κραυγῆς σύμβολα γίνονται χειμῶνος· τῆς γὰρ τοῦ ἀέρος ἀκρασίας αἰσθανόμενα οὐ φυλάττουσι τὴν προτέραν εὐκοσμίαν.

ἄλλως. ἐξίασιν εἰς κατανομὴν μετὰ φωνῆς τινος πλείονος τοῦ εἰωθότος βοσκόμενοι διὰ τὸ μηκέτι δύνασθαι εὐχερῶς ἐξελθεῖν καὶ βοσκηθῆναι ἐκ τοῦ χειμῶνος τοῦ γενομένου.

1022. καὶ ἐννεάγηρα κορώνη: ἐννέα γὰρ γενεάς, ἔτη τ', ζῆι ἡ κορώνη. ἢ τὸ ἐννέα ἐπὶ πλήθους ποιητικῶς ληπτέον. καὶ ἡ πολύγηρα οὖν κορώνη ὀξέα κρώζουσα νυκτὸς χειμῶνός ἐστι δηλωτική.

1023. καὶ ὀψὲ βοῶντε —: καὶ πρὸς τὴν ἑσπέραν βοῶντες οἱ κολοιοὶ σημεῖόν εἰσι χειμῶνος, ὅταν ἑσπερίζοντος τοῦ καιροῦ κοίτου φροντίζωσιν. βοῶσι δὲ χάριν τῆς αὐτῶν κοίτης· ὡς γὰρ εἴπομεν (p. 522 sq.), πρὸ τοῦ χειμῶνος ἔρχονται αὐτόσε. § τὸ δὲ βοῶντε (1023): δυϊκῶι ἀριθμῶι ἐχρήσατο ἀντὶ πληθυντικοῦ· τοῦτο γὰρ ἔθος αὐτῶι. τοῦτο καὶ Ὅμηρος οἶδεν (Il V 487).

1024. καὶ σπίνος —: σπίνος καὶ ὀρχίλος καὶ ἐριθεὺς εἴδη ὀρνέων. § τὸ δὲ ἠῶ ἀσπίζων οἷον ὁ σπίνος ὑπὸ ὄρθρον

---

1 χειμῶνας Ald ‖ 1—3 δεῖ — χειμῶνος om Ald ‖ 3 ἄλλως om AAld | τὸ post τοῦτο M: omisi ‖ 4 αὐτῶ τῶ τ. M ‖ 4, 5 ἀκίνητοι om M ‖ 5 ἄλλοι A ‖ 5, 6 καὶ τοῦ τόπου ἐκείνου ἐξέλθωσιν Ald ‖ 6 παρατρέχουσι A, -αι Ald ‖ 7 ὄπισθεν Ald | ἔρχονται A, -ωνται M ‖ 8 τὰς Ald ‖ 10 σ. φησι γίνεσθαι Ald ‖ 12 τὸ δὲ ἐπειγόμενοι ἀντὶ τοῦ ἐξ. omisso lemmate Ald | νομὴν AAld | πλεῖον AM ‖ 14 τοῦ γενομένου om M ‖ 15 γενεάς M: -εῶν AAld ‖ 16 τ' scripsi: τὰ M, om AAld | ἀντὶ τοῦ πολλὰ (pro ἐπὶ πλ.) Ald ‖ 17 ἤγουν ἡ π. κ. Ald ‖ 19 lemma om et scholia coniunxit M ‖ 20 σῆμα A | δηλαδὴ post ὅταν add Ald ‖ 21 κοίτης χρήζωσι Ald | φροντίζουσιν A ‖ 21, 2 βοῶσι — αὐτόσε om M ‖ 22 ἐρχόμενον αὐτόν A | αὐτοῦ Ald ‖ 23 τῶι δὲ Ald ‖ 24 τοῦτο M: ὡς A, ὃ Ald ‖ 25, 6 post lemma A εἶδος ὀρνέου. τὸ δὲ ἠῶα σπίζων οἷον, Ald εἶδος ὀρνέου καὶ ὁ σπίνος. τὸ δὲ ἠῶ ἀσπίζων ἤγουν

φθεγγόμενος. καὶ πάντα, φησί, τὰ ὄρνεα ἐκφεύγοντα τὸ πέλαγος διὰ τὴν ψῦξιν σημεῖόν εἰσι χειμῶνος.

1025. *καὶ ὀρχίλος ἢ καὶ ἐριθεύς: καὶ ταῦτα εἴδη ὀρνέων. δῆλον δέ, ὅτι εἰς φωλεοὺς καταδυόμενα τὸν ἐπιόντα προδεικνύουσι καὶ προσημαίνουσι χειμῶνα.*

1026. *καὶ φῦλα κολοιῶν: καὶ τὰ συστήματα τῶν κολοιῶν πρὸς τὴν ἑσπέραν ἐπὶ κοίτην ἐρχόμενα ἀπὸ τῆς ἐν τῇ γῇ κατανομῆς χειμῶνα δηλοῦσιν.* § *τραφεροῦ δὲ* (1027) *τῆς γῆς· ἐπὶ γὰρ τῶν ἀρουρῶν βόσκονται τὰ ἀποβαλλόμενα ἢ ἐκπίπτοντα τῶν καρπῶν διεπόμενοι.* § *ἐπὶ ὄψιον δὲ αὐλιν* (1027): *τὴν ἑσπερινὴν κοίτην.*

1028—30. *οὐδ' ἂν ἐπὶ ξουθαὶ —: αἱ κατάστικτοι μέλισσαι. ὁ δὲ νοῦς· μεγάλου χειμῶνος ἰόντος οὐδὲ αἱ ξουθαὶ μέλισσαι ἐπὶ τὸ πρόσω ἢ πόρρω τὴν κατανομὴν τῶν σίμβλων ποιοῦνται, ἀλλ' αὐτοῦ καὶ ἐν αὐτῶι τῶι τόπωι ἑλίσσονται, ἤτοι γε ἀναστρέφονται, καὶ ἑλίσσουσι τὰ τοῦ μέλιτος καὶ τῶν ἔργων φροντίσματα. οἱ δὲ ἔργων* (1030) *τῶν γεωργικῶν ἀνθῶν· ἐν γὰρ τοῖς ἀγροῖς αὐτῶν εἰσιν αἱ ὁδοί. ἐξιοῦσαι οὖν τῶν σίμβλων εὐθέως ἔρχονται ἐπὶ τοὺς ἀγροὺς καὶ πλησίον βόσκονται, μήποτε ἄφνω ἐπιγένηται χειμών, ἵνα ἐγγὺς ὦσι [τὰ] τῶν σίμβλων· δυσριγοτάτη γὰρ ἡ μέλισσα.*

ἄλλως. αἱ μέλισσαι ἐγγὺς τῶν κυψελῶν ἀναστρεφόμεναι καὶ μὴ πόρρω τὴν νομὴν ποιοῦσαι (δυσριγόταται γάρ) χειμῶνα προδηλοῦσι καὶ προφαίνουσιν ἐσόμενον.

1031, 2. *οὐδ' ὑψοῦ γεράνων —: ἡ γέρανος δυσπαθὲς ἔχει τὸ σῶμα καὶ πρὸς τὰς τῶν καιρῶν ὑπερβολὰς ἀντέχειν οὐ δύναται. τὸ δὲ ἑξῆς· οὐδὲ αἱ τῶν γεράνων μακραὶ τάξεις τὰς αὐτὰς ὁδοὺς παρατείνουσαι (τοῦτο γὰρ ἦν εὐδίας σύμβολον* p. 531)

---

1 post *φθ.* Ald lemma add *καὶ πάντα* | *φησί* post *ὄρνεα* Ald, om M ‖ 3 *καὶ* alt om AM ‖ 9 post *γῆς* Ald *ἐπειδὴ τὰς ἀρούρας* ‖ 10, 1 *ἐπὶ — κοίτην* AAld: om M ‖ 12 *ἐπίξουθαι ἤγουν* Ald ‖ 14 *πρόσω ἤγουν ἐκτὸς* Ald, *πρόσωπον ἢ πόρω* M, evanida in A ‖ 15, 6 *ἤτοι γε* M: *καὶ* AAld ‖ 16 *καὶ* prius AM: *ἢ* Ald ‖ 18 *καὶ μόνον* post *ἀγροῖς* add Ald ‖ 19, 20 *μήτε* M ‖ 20 *τὰ* om AAld ‖ 21 *δυσριγοτάτη γὰρ ἡ μ.* om AAld | 22 *ἢ ὅτι* (pro *ἄλλως*) Ald | *μέλιτται* AAld ‖ 23 *δυσριγό(ὼ* Ald)*τατοι* A Ald ‖ 25 post l. 24 sequitur p. 535, 4 lemmate *οὐδ' ὑψοῦ γεράνων* praefixo AAld | lemma om et *αὕτη γὰρ ἡ γέρ.* scripsit AAld ‖ 26 *ὠρῶν* (ex *ὀρῶν*) A, *ὠρῶν* Ald ‖ 27 *ὁ δὲ νοῦς· αἱ δὲ τῶν* AAld ‖ 28 *τείνουσαι* AAld

ἀλλ' ὑποστραφεῖσαι τὸ ὑγρὸν πνεῦμα ἐξ ὑποστροφῆς πορεύονται. καὶ γέρανοι οὖν μὴ διαιρόμεναι εἰς ὕψος μηδὲ ἐπ' εὐθείας ποιούμεναι τὴν πτῆσιν, ἀλλ' ὑποστρέφουσαι εἰς τοὺς τόπους, ὅθεν ἐκινήθησαν, τὸ αὐτὸ σημαίνουσιν.

ἄλλως. καὶ ταυτὶ δὲ σημεῖα χειμῶνος, γέρανοι μὴ εὐθυποροῦσαι ἱπτάμεναι, ἀράχνια νηνεμίας μετακινούμενα, φλὸξ ἀπὸ λύχνου μὴ καθαρὰ καὶ μόγις ἁπτόμενον πῦρ. πῆξις δὲ τέφρας νιφετοῦ σημεῖον καὶ τὰ περὶ τὰς μύξας τῶν λύχνων κέγχροις ὅμοια φαινόμενα· καὶ γὰρ καὶ τοῦτο νιφετοῦ. χαλάζης δὲ διαπίρου ἄνθρακος τὸ μέσον νεφελῶδες.

ἄλλως. ἀλλὰ — οὐδέ: τὰς γεράνους φασὶν ὄμβρων μελλόντων καταφέρεσθαι, οὐ μετεώρους αἴρεσθαι, ἀλλὰ καὶ τῆς εὐθείας ἐμποδίζεσθαι πτήσεως.

1033. μηδ', ὅτε νηνεμίηι —: καὶ ὅταν τὰ ἀράχνια νηνεμίας οὔσης ἐν τῶι ἀέρι πλάζωνται. ὡσαύτως δὲ καί, ὅταν ἀμαυρὸν ᾖι τὸ περὶ τοὺς λύχνους φέγγος καὶ μὴ εἰς ὕψος ἀνάπτηται, ἀλλὰ περιτρέπηται ὅμοιον γινόμενον τοῖς ἐπὶ τῶν θερμοτέρων ἀτμῶν τιθεμένοις λύχνοις. τὸ αὐτὸ σημαίνει καὶ τὸ πῦρ ὑπὸ τῆι σποδιᾶι ἀφανιζόμενον. πολλὰ δὲ καὶ ἄλλα γίνεται ὑπὸ τῆς χειμερινῆς καταστάσεως.

ἄλλως. καὶ ἐν νηνεμίαι ὅτε ἡ ἀράχνη φέρεται μὴ καταφρόνει.

ἄλλως. ἡ ἀράχνη λεπτή ἐστι καὶ ἰσχνή, ἄλλως ⟨τε⟩ καὶ ⟨εἰ⟩ ἐν μετεώρωι ἐστίν. καὶ ἔτι ἡμῖν ἀνεπαισθήτου ὄντος τοῦ πνεύματος αὕτη καὶ ἐκ βραχείας κινήσεως φέρεται καὶ κινεῖται. ὁ δὲ λόγος· ἐν νηνεμίαι δὲ ὅτε ἡ ἀράχνη κινεῖται, μὴ καταφρόνει τοῦ σημείου· εἰ γὰρ καὶ τὸ αὐτίκα νηνεμία ἐστίν, ἀλλ' οὖν γε προδηλοῖ τὸν ἐσόμενον χειμῶνα.

1034. καὶ φλόγες αἰθύσσωσι —: λύχνων φλόγες ἠρέμα

---

1 ἀλλὰ ἀποστραφεῖσαι AAld | καὶ ante ἐξ add Ald ‖ 1, 2 πορευόμεναι τὸ αὐτὸ σημεῖόν εἰσι Ald ‖ 2 διαιρούμεναι Ald ‖ 4 σημαίνουσιν scripsi: σημεῖόν εἰσι A, σημεῖον Ald ‖ 5 οὐδ' ὑψοῦ γεράνων pro lemmate AAld | ταῦτα Ald ‖ 6 νηνεμία AAld ‖ 7 καθὰ M | μόλις AAld | καιομένη post μόγις add M ‖ 9 σημεῖον post νιφ. add Ald ‖ 10 διαπύρου καὶ διαπύρου A ‖ 10, 1 post νεφ. Ald φασὶν οὖν τὰς γεράνους ὄμβρων Ald ‖ 11 ἀλλ' M | ἀλλ' — οὐδὲ om A ‖ 13 post πτήσεως sequitur p. 534, 25 Ald ‖ 14 μὴ δ' M ‖ 15 δὲ om MAld ‖ 17 περιστρέπτηται AAld ‖ 18 scripsi: σημαίνουσι M, σημεῖον AAld ‖ 19, 20 καὶ ἄλλα δὲ πολλὰ σημεῖα γ. ἐπὶ τῆς Ald ‖ 20 τῆς om M | 21, 2 schol om Ald ‖ 26 καὶ ante ἐν add M ‖ 27 τὸ om AAld

παραφαινόμεναι πῦρ τε μόγις ἀναπτόμενον καὶ τὰ ἐλλύχνια φῶτα χειμῶνος σημεῖα· συμπίπτει γὰρ τὰ ὑποκείμενα ὑπὸ τοῦ ἀέρος.

1035,6. ἢ πῦρ αὔηται —: ἀπὸ κοινοῦ· μηδὲ τότε πίστευε τῶι χειμῶνι, ὅτε πῦρ ἐφάπτεται μετὰ κακοπαθείας καὶ βραδέως καὶ τὰ ὑπαίθρια λύχνα· δῆλον γάρ, ὅτι πολλοῦ ὄντος τοῦ περιέχοντος ὑγροῦ βράδιον τὸ πῦρ ὑφάπτεται καὶ τὰ λύχνα. αὔηται οὖν ἀντὶ τοῦ ὑφάπτηται.

Plut ἄλλως. ἢ πῦρ αὔηται: τὰ καυστὰ βραδέως ἐξάπτεται παχυμεροῖς τοὺς πόρους ἐπιφράττοντος τοῦ ἀέρος. διόπερ οἱ τὰς δᾳδας ἅπτοντες προτρίβουσιν ἐν τῆι τέφραι, ἵνα ἀποκρουσθῆι, εἴ τι ἔνικμον, καὶ τὸ πῦρ τῆς ὕλης μᾶλλον ἅψηται. οὕτω ΠΛΟΥΤΑΡΧΟΣ (fr 3 W.).

1036. τί τοι λέγω, ὅσσα πέλονται —: τί σοι καταλέγω, ὅσα σημεῖα ἐπ' ἀνθρώποις γίνονται χειμῶνος καὶ εὐδίας; καὶ γὰρ ἐν τῆι πάντων εὐτελεστάτηι τέφραι περὶ ἐκεῖνον τὸν τόπον, ἔνθα ἐστί, πηγνυμένηι χειμῶνα σημαίνει· πολλῆς γὰρ περὶ τὸν ἀέρα νοτίας σημεῖον τὸ τοιοῦτον.

1038. αὐτοῦ πηγνυμένηι —: ἡ τέφρα μὴ διαλυομένη καὶ ὁμοία πεπηγυίαι χειμῶνα σημαίνει. καὶ κέγχροι πολλαὶ ἐπὶ τῆς τοῦ λύχνου φλογὸς ἐπανιστάμεναι νιφετὸν σημαίνουσιν. ὅταν δὲ τοῦ διαπύρου ἄνθρακος ἡ μὲν ἐπιφάνεια λαμπρὰ τυγχάνηι, ἡ δὲ μεσότης μελαίνηται, χάλαζαν ἐσομένην δεῖ σημειοῦσθαι.

1039. καὶ λύχνωι χιόνος —: καὶ ἐπὶ τῶι λύχνωι χιόνος γίνωσκε σημεῖα, ἐὰν κέγχροις ἐοικότα σήματα πανταχοῦ καὶ κύκλωι ἔχηι ἐγγὺς τῆς περιλαμπούσης μύξης.

ἄλλως. καὶ περὶ χιόνος ἐσομένης ἀφορῶν μάθοις τοῖς

---

1 περιφερόμεναι AAld ‖ 2 σημεῖον AAld ‖ 4 τὸ ante μηδὲ add Ald ‖ 5 ὅταν — ἐφάπτηται AAld ‖ 6 δηλῶν A ‖ 7 ἐφάπτεται AAld ‖ 8 ἐφάπτηται A Ald ‖ 9 lemma ἢ πῦρ αὔηται om AAld | Πλούταρχος δέ φησι τὰ (omisso οὕτω Πλ. l. 13) Ald | ἐξάπτεσθαι Ald ‖ 10 τοῖς πόροις M | τοῦ om Ald ‖ 11 προστρίβουσιν libri: correxi ‖ 12 ἢ post ἔνικμον libri ‖ 14 ὅσσα πέλονται om Ald, πέλονται A ‖ 15 γίνεται ἐπ' ἀνθρ. AAld ‖ 16 ἀσφαλεστάτη AAld ‖ 17 χειμὼν ἔσται Ald ‖ 17,8 πολλοῦ γὰρ π. τ. ἀ. νότου τ. τ. σ. A | πολλοῦ γὰρ τοῦ π. τ. ἀ. νοτίσματος τ. τ. σ. Ald ‖ 19 πηγνυμένη AM | οὖν post τ. add Ald ‖ 20 ὥσπερ (pro ὁμοία) Ald | σημαντικὴ χειμῶνος Ald ‖ 21 τοῦ τοῦ λύχνου φωτὸς AAld ‖ 26 σημεῖον Ald | σημεῖα Ald ‖ 27 πυριλαμποῦς Ald ‖ 28—p. 537, 5 M: om AAld

κέγχροις τοῦ λύχνου, ὅταν πάντη πλησίον τῆς μύξης ἔχηι σημεῖα· καὶ γὰρ περὶ τὴν μύξαν πολλάκις ὡς κέγχροι τινὲς συνίστανται, ἃ προελέγομεν (p. 526), *ἐκ τῆς ὑγρότητος τοῦ ἀέρος. ἡ σύνταξις· ὅτε κέγχροις ἐοικότα σημεῖα πάντη ἔχει κύκλωι τῆς λαμπούσης μύξης, περὶ χιόνος πύθοιο.*

1040. *πυριλαμπέος ἐγγύθι μύξης —: καὶ περὶ τὰς μύξας τῶν λύχνων ἐὰν κέγχροις ὅμοιά τινα ἀνιστῶνται· καὶ γὰρ ταῦτα γίνεται κατὰ τὴν ἔξωθεν ψῦξιν τοῦ ἐλλυχνίου ὥσπερ σβεννυμένου. καὶ ταῦτα μὲν χιόνος φησὶν εἶναι σημεῖα.*

1041—3. *ἄνθρακι δὲ ζώοντι —: τουτέστι κάρβωνι ἠνθρακωμένωι καὶ ζῶντι. ἐπὶ τούτωι, φησί, χαλάζης ἴσθι σημεῖον, ὁπόταν ὁ ἄνθραξ λαμπρὸς ὑπάρχηι, ἐν δὲ τῶι μέσωι ἔνδον ἐν τῆι καρδίαι αὐτοῦ ὥσπερ νεφέλη πυρὸς καιομένου φαίνηται.*

ἄλλως. ἐὰν ζῶντος ἄνθρακος, τουτέστι καιομένου, καὶ τῆς ἐπ᾽ αὐτοῦ φλογὸς ὡς μεταξὺ ὥσπερ νεφέλη τις γένηται, χαλάζης τὸ τοιοῦτον σημεῖον. λευκὸν δὲ ⟨δεῖ⟩ φαντάζεσθαι τὸν ἄνθρακα διὰ τὴν πεπηγυῖαν τέφραν, καὶ εἰκότως τὸ τοιοῦτον σημεῖον χειμῶνος· ἡ γὰρ τοῦ ἀέρος ψῦξις τοιαύτη ἐστίν, ὡς καὶ μέχρι τοῦ πυρὸς διήκειν.

ὁππότε λαμπρὸς —: ὅταν δὲ τοῦ διαπύρου ἄνθρακος ἡ μὲν ἐπιφάνεια λαμπρὰ τυγχάνηι, ἡ δὲ μεσότης μελαίνηται, χάλαζαν ἐσομένην δεῖ σημειοῦσθαι.

1044 sqq. *πρῖνοι δ᾽ οὐ καρποῖο —: ἄρχεται λοιπὸν καὶ ἀπὸ δένδρων τεκμήρια ἡμῖν διδόναι περὶ χειμώνων καὶ καιρῶν ἐπιτηδείων πρὸς γεωργίαν. δεῖ οὖν, φησί, λαβεῖν ἀπὸ πρίνου καὶ σχίνου σημεῖα· ὁ μὲν γὰρ τῆς πρίνου καρπὸς σύμμετρος ὢν τοιοῦτον καὶ τὸν χειμῶνα δηλοῖ, ὁ δὲ πλείων τοῦ συνήθους πλείονα αὐχμόν.*

---

4 *ἔχει* scripsi, cf Ar: *ἔχηι* M ‖ 6—9 Ald omisso lemmate post p. 536, 27 *ἐὰν οὖν καὶ περὶ τὰς μύξας κέγχροις ὅμοια σημεῖα γένηται, καὶ ταῦτα σημεῖον ἠγοῦ χειμῶνος* ‖ 6 *μύξης* om M ‖ 7 *τῶν λύχνων* om A | *τινὰ* om A | *ὅμοια γένηται, καὶ ταῦτα σημεῖον χειμῶνος* A, cf Ald | *ἀνίστανται* M ‖ 10 *δὲ* om Ald ‖ 10, 1 *ἤγουν ἠνθρακωμένωι καὶ καίοντι* Ald quae pergit *ἐὰν οὖν* ζ. (l. 15) ‖ 11—14 (*ἐπὶ — φαίνηται*) M: om AAld, cf ad l. 10, 1 ‖ 11 *τούτων* M ‖ 15—20 schol AAld: om M, cf p. 536, 28 sqq. ‖ 15 *ἄλλως* omisso *ἐὰν οὖν* post l. 11 Ald | *ἤγουν καιομένου* Ald ‖ 15, 6 *καὶ ἐπὶ τῆς* Ald ‖ 16 *ὡς* om Ald ‖ 17 *δεῖ* suppl Ald ‖ 21—3 schol M: om AAld ‖ 24 *αὖ* Ald | *καὶ* om AAld ‖ 25 *καὶ* om AAld ‖ 26 *ἐπιτήδεια* Ald | *φησί* om AAld ‖ 27 *μὲν* om AAld ‖ 28 *καὶ τὸν* om AAld

ἄλλως. μεταβέβηκεν ἐξῆς ἐπὶ τὰ τῆς γεωργίας σημεῖα, καὶ νῦν διδάσκειν πειρᾶται ἡμᾶς καί φησιν, ὅτι πρῖνοι καὶ σχῖνοι, μετρίαν τὴν καρποφορίαν ὅταν ἔχωσιν, ... αὐχμηρὸν τὸ τέλος σημαίνουσιν. αἱ μὲν οὖν πρῖνοι μὴ ὑπὲρ τὸ δέον εὐφοροῦσαι μακρὸν ἐσόμενον τὸν χειμῶνα σημαίνουσιν, ἐὰν δὲ πολυφορῶσι περὶ τὰ ἔσχατα μέρη τοῦ θέρους, βλάβην τοῦ σιτικοῦ καρποῦ γενησομένην ὑπὸ αὐχμοῦ. ἡ δὲ τοῦ σχίνου καρποφορία τρισσὴ τυγχάνει· τρὶς γὰρ τοῦ ἐνιαυτοῦ ἀνθεῖ καὶ τρὶς τελεσφορεῖ, ἑκάστη δὲ καρποφορία ἴδιον σημεῖον ποιεῖ· ἐὰν γὰρ ὁ πρῶτος καρπὸς κατὰ πρέπον γένηται, πρώϊμον δεῖ τὸ θέρος προσδοκᾶν. ἐὰν δὲ ὁ δεύτερος, τὸν μέσον καιρὸν τῆς θερείας κρείσσονα σημαίνει, ὁ δὲ τρίτος τὸν ἔσχατον.

ἡ σύνταξις οὕτως· καταχθέες καρποῖο (1044) τὸ πρῶτον, τουτέστι βαρούμεναι τῶι καρπῶι, οὐκ ἀπείρητοί εἰσι χειμῶνος.

Plut 1045. σχῖνοι ἀπείρητοι: ὅσα τὴν σχῖνον ἐκ τοῦ ἀέρος ὠφελεῖ, ταῦτα καὶ τὸν σῖτον. ὁμοίως καὶ τὰ βλάπτοντα. δείγματα οὖν τῶν σπόρων ὁ πρῶτος ἐν τῆι σχίνωι ἐστὶ τῶν πρώτων καὶ τῶν μέσων ὁ μέσος καὶ ὁ τρίτος τῶν τελευταίων. οὕτω ΠΛΟΥΤΑΡΧΟΣ (fr 4 W.).

1045. πολλὸς δὲ ἀλωεύς: ὁ σπουδαῖος γεωργὸς καὶ ἀροτρεὺς ⟨ἀφορᾶι⟩ ἐπὶ τὰ σημεῖα τῆς γεωργίας.

1046. μή οἱ θέρος ἐκ χερὸς ἔρρηι: ἀντὶ τοῦ ῥεύσηι φθαρῆι. ὁ δὲ σῖτος, ὅταν ἀρχὴν ἔχηι τοῦ ἀναφύεσθαι, οὔτε ὑπερβολὴν χειμῶνος δύναται βαστάζειν οὔτε αὐχμοῦ συμπεσόντος (ἐν ἔαρι γὰρ φυόμενος τούτου δοκεῖ ἀπαλλάττεσθαι), ἀλλ' ἐπειδὰν ἐμπέσηι, ἀπόλλυται. φησὶν οὖν, ὅτι καὶ πρῖνοι οὐ καρποῦ μεσταὶ οὖσαι καὶ μέλαιναι σχῖνοι οὐκ ἀπείρητοί εἰσι χειμῶνος. δυνατὸν οὖν ἐκ τῆς τῶν καρπῶν αὐτῶν ἀναφύσεως συμβάλλειν

---

1 ἄλλως omisso μεταβὰς οὖν ἐπὶ τὰ Ald ‖ 2 καὶ — ἡμᾶς A: om M, πειρᾶται διδ. ἡμᾶς Ald ‖ 4 τὸ om M ‖ 4, 5 εὐποροῦντες AAld ‖ 9 γὰρ (pro δὲ) Ald, καὶ ἐκ. καρπ. A ‖ 10 πρέπον Ald: τρόπον AM | τὸ om Ald ‖ 11 κατὰ (pro τὸν) AAld ‖ 13 ἡ δὲ σύνταξις οὕτως Ald scholiis coniunctis | οὕτως om M ‖ 13, 4 τὸ πρῶτον om AAld ‖ 14 βαρυνόμεναι Ald ‖ 16 ὅσα γὰρ omisso lemmate Ald ‖ 18 γοῦν A | πρώτων post τῶν add Ald ‖ 18, 9 τῶν πρώτων om Ald ‖ 19 τῶν τελευταίων Ald: -ου -ου AM ‖ 21, 2 σπ. ἀροτριεὺς AAld ‖ 22 ἀφορᾶι Ald: om AM | ἐπὶ — γεωργίας om M ‖ 23 τὸ δὲ μὴ usque ad ἔρρηι Ald scholiis coniunctis | θέρεος ἐκ χειρὸς M | ἀντὶ τοῦ om M ‖ 24 ἔχει A ‖ 26 ἔαρι AAld: ἀέρι M ‖ 27 καὶ om M ‖ 27, 8 μεσταὶ καρποῦ AAld

καὶ χειμῶνος καιρούς. ὁ μὲν οὖν τῆς πρίνου καρπὸς σύμμετρος ὢν χειμῶνα δηλοῖ, ὁ δὲ πλείων τοῦ συνήθους αὐχμόν.

1047. *πρῖνοι μὲν θαμινῆς ἀκύλου —*: *ὁ πρῖνος τὸ δένδρον τῶν πάνυ καταξήρων ἐστίν. καὶ μαρτυρεῖ καὶ Ἀριστοφάνης* (Ran 859) *λέγων 'σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾶις'· τῶν ξύλων γὰρ τὰ κατάξηρα ἐμπρησθέντα καὶ καυθέντα τῇ ξηρότητι ἀντηχεῖ τῶι πυρί. αὕτη τοίνυν ἡ πρῖνος ξηρά τις οὖσα τὴν φύσιν, ὡς ἔφημεν* (l. 4), *τοῖς ὑγραίνουσι τέθηλε καὶ τέρπεται, καὶ ὅτε χειμῶνος ὄντος σφόδρα ὑγρὸν γίνεται τὸ περιέχον, τῇ ὑγρότητι ἡσθεῖσα καρποφορεῖ καὶ δηλοῖ τῶι καρπῶι τὸν ἐσόμενον μέγαν χειμῶνα, ὑφ' οὗ τῆς ὑγρασίας μεταλαβοῦσα ἐκαρποφόρησεν. θαμινῆς δὲ τῆς συνεχῶς φυομένης ἀκύλου· τρίτον γὰρ τοῦ χειμῶνος φύει. ἀκύλου δὲ τοῦ καρποῦ τῆς πρίνου. καὶ Ὅμηρος* (Od X 242) *'παρὰ δ' ἄκυλον βάλανόν τε'.*

κατὰ μέτρον ἔχουσαι —: *ἀντὶ τοῦ συμμέτρως ἔχουσαι* Plut
τῶν καρπῶν. φησὶν οὖν καὶ ὁ Θεόφραστος (De Signis 55), *ὅτι ὁ πρῖνος καὶ ἡ σχῖνος αὐχμηρὰ τῇ κράσει καὶ ξηρότερα τῶν ἄλλων πεφυκότα πολὺν καρπὸν οὐ φέρει, ἐὰν μὴ εἰς βάθος ὑγρανθῇ. εἰκότως οὖν τῇ τούτων ἀφορίαι καταμαντεύονται περὶ τῶν σπερμάτων οἱ γεωργοὶ μιᾶς αἰτίας οὔσης, δι' ἣν ἀμφοτέρων ἡ πολυκαρπία. εἰ δὲ ὑπερβάλλει τοῦ καρποῦ τὸ πλῆθος, οὐκ ἀγαθὸν σημεῖον· ἄμετρον γὰρ ἐπομβρίαν καὶ πλεονασμὸν ὑγρότητος ἡ περὶ τὸν ἀέρα ἄνεσις καὶ θηλύτης δηλοῖ. οὕτω* ΠΛΟΥΤΑΡΧΟΣ (fr 5 W.).

1049 sqq. *μὴ μὲν ἄδην ἔκπαγλα —*: *μὴ λίαν κορεστικῶς καὶ ἐξόχως βαρυνθείη τῶι καρπῶι παντελῶς. τουτέστιν· μὴ λίαν ἔχοιεν καρπόν, ἀλλὰ σύμμετρον· τότε γὰρ ἐκτὸς αὐχμοῦ αἱ*

---

1 *χειμῶνος καιρούς* AAld: *χειμῶνα καὶ καιρούς* M | *λέγει οὖν· ὁ μὲν* AAld ‖ 3 *ἀκύλου* om Ald ‖ 5 *ὥσπερ πρῖνος εὐθὺς* AAld | *ἐμπρησθεὶς* A ‖ 7 *ἀντηχεῖ* Dübner: *ἀντέχει* libri ‖ 8 *ὡς ἔφ.* et 9 *τέθηλε καὶ* et *ὅτε* om AAld ‖ 9 post *σφ.* Ald *ὑγροῦ τοῦ περιέχοντος γενομένου* | *ὄντος χ.* A ‖ 9, 10 *γένηται* A ‖ 11 *τῶι καρπῶι* om AAld | *μέγαν* om M | ? ‖ 13 *ἀκύλου* om M | *φύεται. ἡ* (ὁ Ald) *δὲ ἄκυλος ὁ καρπός ἐστι τῆς πρίνου* AAld ‖ 14, 5 *καὶ — τε* om M ‖ 14 *πάρ ῥ' ἄ.* Odysseae codd ‖ 16 *δὲ* post *μ.* Ald | *ἀντὶ τοῦ* om M ‖ 17 *τὸν καρπὸν* M | *καὶ* om M | *ὁ* om AAld ‖ 18 *ὁ πρ.* M: *ἡ* AAld | *αὐχμηρὰ καὶ ξηρότερα* M: *-αὶ καὶ -αι* AAld ‖ 19 *πεφυκότα* M: *πέφυκαν* A, *-ασι* Ald | *οὖν* post *πολ.* add Ald | *ἐὰν* Bekker: *εἰ* AMAld ‖ 21 *ἧς* AAld ‖ 21, 2 *ἀμφοτέροις* M ‖ 22 *ἐπέρχεται* post *πολ.* add Ald ‖ 26 *μηδὲ* AAld ‖ 27 *βαρυνθεῖεν* Ald | *ἤγουν* (pro *τουτ.*) Ald ‖ 28 *ἐκ τοῦ* Ald

ἄρουραι θάλλουσιν. τὸ δὲ τηλοτέρω (1050) *ἀντὶ τοῦ ‘πορρωτέρω’. ⟨πορρωτέρω⟩ δὲ τοῦ αὐχμοῦ αἱ ἄρουραι οὖσαι πλήθουσι καὶ θάλλουσι τοῖς ἀστάχυσιν.*

1051. *τριπλόα δὲ σχῖνος κυέει —: τριττὸν γάρ φησι φέρειν τὴν σχῖνον τὸν καρπόν, ἕκαστον δὲ τούτων σημεῖον εἶναι σπόρου· καὶ γάρ φησι σπόρους τρεῖς εἶναι, πρῶτον μέσον ὕστερον. ἐν ἂν οὖν καρπὸν εὐφορήσηι μάλιστα ἡ σχῖνος, κατὰ λόγον καὶ τὸν σπόρον ἐκεῖνον γίνεσθαι κάλλιστον.*

Apollinarius 1057. *λοχαίη σχῖνος —: βαθεῖα καὶ ὑψηλή, ἀπὸ τοῦ λοχῆσαι δύνασθαι καὶ ἐνεδρεῦσαι ἐν αὐτῆι κρυπτόμενον. οὕτως* ΑΠΟΛ⟨Λ⟩ΙΝΑΡΙΟΣ. *τὸ δὲ ἄρηται ἀντὶ τοῦ ἐνέγκηι. ⟨ἐν⟩ ἐκείνωι τῶι καρπῶι ἡ ἄροσις πολὺ κρείττων ἔσται.*

Plut 1058. *κείνωι γ’ ἐξ ἄλλων —: οὐ μόνον ἐν τοῖς ζώιοις συμπάθειά ἐστιν, ἀλλὰ καὶ ἐν τοῖς φυτοῖς. ὅσ’ ἂν οὖν κεκραμένη⟨ν⟩ ὑγρότητι ἢ ψυχρότητι παραπλησίως ἔχηι τὴν ἕξιν, ἢ τρέφεται ἀπὸ τῶν ὁμοίων ἢ τοῖς αὐτοῖς εὐθηνεῖ καὶ μαραίνεται. διὸ πολλὰ μετ’ ἀλλήλων συνακμάζει καὶ καρποφορεῖ, τὰ μὲν θέρει, τὰ δὲ χειμῶνι, τινὰ δὲ καὶ ἔαρι. τῶν μὲν οὖν αἱ κράσεις διάφοροι, τῶν δὲ ὅμοιαι καὶ συγγενεῖς σφόδρα. τῶν οὖν τὴν ὁμοίαν κρᾶσιν ἐχόντων πρῖνος σχῖνος σκίλλα πυρός.* οὕτω ΠΛΟΥΤΑΡΧΟΣ (fr 6 W.).

1060. *οὕτω δ’ ἀνθέρικος —: ἀνθέρικον νῦν εἴρηκε τὸ ἄνθος τῆς σκίλλης· κυρίως γὰρ τὸ ἄνθος τῶν ἀσταχύων. ἀκολούθως δέ φησι καὶ τῶι τῆς σκίλλης ἄνθει τεκμαίρεσθαι περὶ τῶν ἐσομένων καρπῶν· τὸ μὲν γὰρ πρῶτον ἄνθος περὶ τοῦ πρώτου σπόρου διδάσκει ἡμᾶς, τὸ δὲ δεύτερον περὶ τοῦ δευτέρου, καὶ τὸ τρίτον ὁμοίως περὶ τοῦ τρίτου.*

---

1 *θάλλουσαί εἰσι. τὸ οὖν* Ald | *δὲ* om Ald ‖ 2 *οὖσαι αἱ ἄρ. τοῦ αὐχμοῦ πλ. τοῖς ἀ.* AAld | *πληθύουσι* Ald ‖ 4 *τροπλόα* M | *τρίτον* libri | *γάρ* om M ‖ 5 *τὸν* om Ald ‖ 6 *φησὶ* om M | *τοὺς σπ.* Ald | *δεύτερον* AAld ‖ 7 *ὕστατον* Ald ‖ 8 *ἄριστον* AAld ‖ 9 *τὸ δὲ λοχαίη σχ.* Ald ‖ 11 *ἐνέγκη* Ald: *-οι* AM ‖ 11, 2 *δὲ* post *ἐκ.* et *καὶ* post *καρπῶι* add Ald ‖ 13 *οὐ γὰρ* omisso lemmate Ald | *ζωδίοις* A ‖ 14 *γίνεται* AAld | *ὅσ’ ἄν* Dübner: *ὅταν* libri | *ἢ* ante *κ.* M: om AAld ‖ 14, 5 *κεκραμμένη* A, *κεκραμένην τῆι* Ald ‖ 15 *καὶ* (pro *ἢ* priore) Ald | *ἡ ψυχρότης* A | *ἔχη* Ald: *ἔχει* AM | *ἢ* posterius om et ⟨*καὶ*⟩ suppl Ald ‖ 16 *καὶ* pro *ἢ* Ald | *εὐθαλεῖ* AAld ‖ 18 *τινὰ* M: *τὰ* AAld ‖ 19 *ἀδιάφοροι* A ‖ 20 *οὖν μίαν* AAld | *συνεχόντων* AM ‖ 20, 1 *ἐ. εἰσὶ — π. κατὰ Πλούταρχον* Ald ‖ 20 *πρῖνος* AAld: *σπίνος* M | *πυροί* M ‖ 23 *ἄκρον τῶν* AAld ‖ 24 *τὸ — ἄνθος* AAld ‖ 25 *γὰρ* om A ‖ 25, 6 *πρώτου* om M ‖ 26 *χρόνου* A | *ἡμᾶς* om M ‖ 27 *τὸ δὲ τρ.* A | *ὁμοίως* om MAld

1064. *αὐτὰρ ὅτε σφῆκες —*: *ὅταν ἐν φθινοπωρινῇ τοῦ ἔτους ὥραι οἱ σφῆκες κατὰ πλῆθος συνηθροισμένοι ἐν πολλοῖς τόποις βλέπωνται καὶ πρὸ τῆς ἑσπερίου τῶν Πλειάδων ἀνατολῆς, χειμῶνα δεῖ προσδοκᾶν. προείρηται δέ* (p. 392, 5), *ὅτι ἡ ἑσπέριος ἀνατολὴ τῶν Πλειάδων χειμῶνα ἐπιφέρει.*

1065. *ἑσπερίων δὲ τῶν ἀπὸ ἑσπέρας ἀνατελλουσῶν· ἑῶιαι γὰρ ἀνατέλλουσι θέρει. τότε οὖν, εἰ πρὸ τῶν ἑσπερίων Πλειάδων οἱ σφῆκες βλέπονται συνηθροισμένοι, εἴποι τις ἂν ἔσεσθαι χειμῶνα. γίνονται δὲ οἱ σφῆκες ἐκ γῆς. εὐφυὴς δὲ πρὸς τὸ γεννᾶν τὰ τοιαῦτα ἡ γῆ, ὅταν ἰκμαρώδης ᾖι.*

1068. *θήλειαι δὲ σύες —*: *ἡ ὑγρότης γόνιμος καὶ κινητικὴ σπερματικῆς δυνάμεως· διαχυθὲν γὰρ τὸ σῶμα καὶ τὸ πνεῦμα εὔρουν τῆι ἀνέσει γίνεται καὶ ὑπόθερμον εἰς ὁρμὰς ἀγωγοὺς ἐπὶ τὸ τῆς γενέσεως ἔργον. διὸ καὶ οἱ παλαιοὶ τὸν Διόνυσον τῆι Δήμητρι συγκαθιέρωσαν αἰνιττόμενοι τὸ γόνιμον τῆς ὑγρότητος. ὡς οὖν τὰ δένδρα εὐσθενήσαντα διανθεῖ καὶ δικαρπεῖ τῆι εὐκρασίαι πιόντα τὴν ἐπιρρέουσαν τροφήν, οὕτω καὶ τὰ ζῶια ἐν ὑγρῶι τῶι ἀέρι καὶ μαλακῶι τῶι σπέρματι ⟨κινεῖται⟩. οὕτως* ΑΠΟΛΛΙΝΑΡΙΟΣ. Apollinarius ↷ Avion 1796, 7

ἄλλως. καὶ σύες δὲ θήλειαι καὶ πρόβατα καὶ αἶγες, ὅταν ὑπομείναντα τὴν ὄχευσιν τῶν ἀρρένων ἐπαναστρέψαντα ἐπιβαίνηι τοῖς ἄρσεσι, μέγαν χειμῶνα καὶ οὐκ ἐλάσσονα τοῦ ἀπὸ τῶν σφηκῶν σημαίνει. ὅταν δὲ μὴ προλαμβάνηι τὰ προειρημένα τὴν μῖξιν ἀλλὰ βράδιον τοῦ εἰθισμένου ὀχεύηι, εὐθυμίαν τοῖς πέ-

---

2 οἱ om Ald, evanidum in A | *συνηθροισμέναι* A ‖ 4 *δεῖ πρ. χ.* Ald | *Πλ.* (sine *τῶν*) ante *ἀνατ.* AAld ‖ 6 *καὶ ἑσπερίων προπάροιθε* (omisso *δὲ*) A, *τὸ οὖν ἑσπ. πρ. ἦγουν* Ald ‖ 7 *εἰ* scripsi: *καὶ* AM, *εἰ καὶ* Ald ‖ 8 *ἄν* Ald: *οὖν* A, om M ‖ 9, 10 *γὰρ ἐκ γῆς εὐφ. πρὸς* Ald ‖ 10 *ἰκμαδώδης* Ald, cf Ach 1 p. 69, 7 (*ἰκματώδης*) ‖ 11, 2 *ἡ ὑ. τῆς γονιμὸν καὶ κινητικὸν σπερματικῆς δ.* Ald (unde coni Bekker *ἡ ὑ. γόνιμον καὶ κινητικὸν τῆς σπ. δ.*) ‖ 13 *τῆ ἀνέσει εὔρουν* (*ἄρουν* Ald) AAld | *ἀραιὸν* coni Bekker ‖ 15 *δημήτρα* AAld ‖ 16 *ὥσπερ οὖν τὰ φυτα* Ald, evanida A | *ἀσθ.* AM, *ἐξασθ.* Ald | *καὶ* om Ald ‖ 17 *δικαρπεῖ* scripsi: *διακαρπεῖ* M, om AAld | *τῆ ἀκρασία* A | scripsi: *ἐπιόντα τὴν ἐπιρρέουσαν τροφήν* AM, *ἐπελθούσης τῆς ὑγρᾶς καὶ ἐπιρρεούσης τροφῆς* Ald ‖ 18 in margine dextro interiore M *ἢ ἡ τοῦ ἀέρος κίνησις εἰς χειμῶνα,* quod quo pertineat incertum | *τῶι σπ.* om Ald ‖ 18, 9 supplevi; *μάλιστα πρὸς συνουσίαν κινεῖται* supplet Ald | *τῶι σπ. — Ἀπ.* evanida in A ‖ 20 *ἄλλως* om MAld | *καὶ* primum et *δὲ* om A | *αἱ οὖν θ. σύες καὶ* Ald ‖ 21 *τὴν τῶν ἀρρένων ὄχευσιν* AAld | scripsi: *ἐπιστρέψαντα* AAld, *ἀντιστρέψαντα* M | *ἐπιβαίνει* M ‖ 22 *ἄρρεσι* Ald | *τὸν ἀπὸ* AM ‖ 23 *σημαίνουσιν* AAld ‖ 24 *καιροῦ* post *εἰθ.* AM: om Ald | *ὀχεύηι ἢ ὀψεύηι* A, *ὀψεύηι* Ald

νησι παρέχεται, ὅτι μὴ ἔχοντες εὐπορεῖν ἐσθημάτων προσδοκῶσιν εὐδινώτερον ἔσεσθαι τὸν χειμῶνα.

ἄλλως. θήλειαι δὲ σύες: καὶ ταῦτα γὰρ τὰ ζῶια ἐπιθυμητικῶς ἔχουσι συνουσίας ἐν χειμῶνι· τότε γὰρ ἔξωθεν ὄντος τοῦ ὑγροῦ τὸ θερμὸν ἔνδοθέν ἐστι καὶ φλέγον αὐτὰ ἐγείρει πρὸς συνουσίαν. διὸ καὶ ἐξῆς φησιν, ὅτι, ἐὰν βραδέως καὶ μὴ συνεχῶς συνουσιάζωσι, δηλοῦσιν οὐ ψυχρὸν τὸν χειμῶνα, ἀλλ' εὔκρατον. ὁθεν καὶ τὸν πένητα χαίρειν ποιοῦσιν· μὴ ἔχων γὰρ σκέπην ἐν χειμῶνι ὁ πένης χαίρει, ὅταν χειμὼν μὴ πάνυ ὑπάρχῃ ψυχρός.

1072. *ὀψὲ δὲ μισγομένων —: ἐν τοῖς αὐχμηροῖς τε καὶ ἀνόμβροις ἔτεσι τὰ ζῶια ἀπρόθυμα πρὸς συνουσίαν· διὰ ⟨γὰρ⟩ τὴν τῶν σωμάτων ὑγρότητα ὀλίγην οὖσαν βραδύτερον τοῦτο δρᾶι. ὅθεν καὶ ὀψὲ δρῶντα τὴν συνουσίαν εὐθυμίαν παρέχουσι τοῖς γεωργοῖς· ἡ γὰρ πλείων ἐπιθυμία ἐξ ὑγρότητος πλεοναζούσης γίνεται.*

1073. *χαίρει ἄνολβος ἀνήρ: ὁ πένης καὶ ἀνείμων ἀνὴρ χαίρει, ὅτι οὐ πάνυ αὐτῶι θερμαινομένωι, ἤγουν σκεπομένωι ὑπὸ ἀμφίων, εὔδιον τὸν ἐνιαυτὸν γενήσεσθαι ὑποφαίνουσιν.*

1074. *βιβαιόμεναι: ἀντὶ τοῦ βι⟨β⟩αζόμεναι πρὸς συνουσίαν.*

1075. *χαίρει καὶ γεράνων ἀγέλαις: καὶ ὅταν αἱ τῶν γεράνων ἀγέλαι ἐπὶ τοὺς εἰθισμένους τόπους μετάβασιν προλάβωσιν, ὁ ἐπιθυμῶν γεωργὸς ἐν τάχει τοὺς καρποὺς ἀκμάσαι γέγηθεν. ὅταν δὲ βραδύτερον διαίρωνται, ὁ βουλόμενος βράδιον ἀκμάσαι τὴν θερείαν γεωργὸς γέγηθεν· ἀκόλουθος γὰρ ὁ χειμὼν γίνεται τῶι τῶν γεράνων διάρματι· ὅταν μὲν γὰρ προ-*

---

1 *παρέχονται* AAld ‖ 2 *εὐδιεινότερον* AAld ‖ 3 *ἤ ταῦτα τὰ* scholiis coniunctis Ald ‖ 4, 5 *ἐπειδὴ* (pro *γὰρ*) et *ἔξ. τότε τοῦ ὑγροῦ ὄντος* Ald ‖ 5 *φλέγων αὐτὰς* A ‖ 6, 7 *συνεχῶς* (omisso *μὴ*) A, *οὐ συνεχῶς* Ald ‖ 8—10 *μὴ — ψυχρός* om AAld ‖ 11 *ἤ* omisso lemmate Ald | *τε* om Ald ‖ 12 *πρὸς σ. οὐ πρόθυμα* Ald | suppl Ald ‖ 13, 4 *τ. δρᾶν* AM ‖ 14 *διό φησιν ὀψὲ* Ald ‖ 17 *χαίρει οὖν ὁ ἄν. ἀ. ἤγουν ὁ πένης* Ald | *ἀνήρ* om M ‖ 18 *ἀνὴρ* om MAld | *χαίρει* om Ald | *ἤγουν σκ.* om AAld ‖ 21 *τὸ δὲ* ante *βιβ.* add et scholia coniunxit AAld ‖ 23 *ἀγέλαις* om A, *καὶ — ἀγ.* om Ald ‖ 24 *τοῖς -οις τόποις* AAld ‖ 24, 5 *προλάβωσιν* scripsi: *προσλαμβάνωσιν* A, *-ουσιν* Ald, *προσλάβωσι* M ‖ 25 *ἀμῆσαι* Ald ‖ 26, 7 *βραδύτερον* Ald ‖ 27 *ἀμᾶσαι* A, *ἀμῆσαι* Ald | *ὁ* om AAld ‖ 28—543, 1 scripsi, cf ad l. 24, 5: *προλαμβάνωσι* AAld, *προσλάβωσι* M

λάβωσι τὴν μετάβασιν καὶ κατὰ μείζονα συστήματα ποιῶσι τὴν πτῆσιν, πρώϊμον δηλοῦσι τὸ ἔτος. ὅταν δὲ τοῖς αὐτοῖς τόποις ἐμβραδύνωσι καὶ ἀναχωροῦσαι πραιεῖαν τὴν πτῆσιν ποιῶνται καὶ μὴ συνηθροισμέναι φέρωνται, ὀψὲ γενησόμενον τὸν χειμῶνα σημαίνουσι καὶ τὴν παροικὴν τῶν γεωργιῶν χρησιμωτέραν οὖσαν τοῖς γεωργοῖς.

1076. ὥριον ἐρχομέναις: ταῖς καθ' ὥραν ἐρχομέναις γεράνοις ὁ βουλόμενος καθ' ὥραν τῶν ἔργων ἅπτεσθαι γεωργὸς χαίρει, ὁ δὲ βουλόμενος ὀψιέστερον σπείρειν ταῖς ὀψιμωτέραις· ἕπεσθαι γὰρ αὐτῶν τῇι πτήσει πέφυκεν ὄμβρος· καὶ γὰρ αὗται αἰσθανόμεναι τῆς περὶ τὸν ἀέρα ψύξεως ἐκ τῶν συνήθων ἐπὶ τοὺς ἀήθεις μετέρχονται τόπων.

1078—81. πρώϊα μὲν καὶ μᾶλλον —: ταῖς μὲν θᾶττον καὶ κατὰ πλῆθος φαινομέναις θάττων καὶ πλείων ὁ χειμὼν ἐπιφαίνεται. ὅταν δὲ ὀψὲ καὶ μὴ ἀγεληδὸν φανεῖσαι πλειότεραι (1080), ἀλλὰ [καὶ] κατ' ὀλίγον καὶ ἐκ διαστημάτων, οὐδ' ἅμα πολλαὶ ἀμβολίηι χειμῶνος ὀφέλλεται ὕστερα ἔργα (1081).

1082. εἰ δὲ βόες καὶ μῆλα —: εἰ δὲ οἱ βόες καὶ τὰ μῆλα, ἤγουν τὰ πρόβατα, ἐν τῇι παρακμῇι τοῦ φθινοπώρου τὴν γῆν τοῖς ποσὶν ὀρύσσουσι, τὰς δὲ κεφαλὰς πρὸς βορέαν ἀνατείνουσι, χειμὼν γενήσεται μέγας κατὰ τὴν τῶν Πλειάδων δύσιν. ἐὰν δὲ μᾶλλον ὀρύττωσι, μείζονα δεῖ τὸν χειμῶνα προσδέχεσθαι καὶ ἀσύμφορον φυτοῖς τε καὶ τῶι σιτικῶι καρπῶι· πολλὴν γὰρ ἐσομένην χιόνα σημαίνει, ὑφ' ἧς συμβήσεται τὸν ἐν ταῖς χώραις ἔτι τρυφερὸν ὄντα καὶ μηδέπω ἐπὶ τοσοῦτον ηὐξηκότα, ὥστε μὴ μαραίνεσθαι, ξηρανθῆναι ὑπὸ τῆς ψυχρότητος· εἰ γὰρ ἐτύγχανεν ἰσχυρός, ὁ γεωργὸς οὐκ ἂν ἐδεδοίκει τὴν ἐκ τῆς χιόνος βλάβην. ∽ Avien 1810—2

1083. γαῖαν ὀρύσσωσιν —: καὶ ἡ ὑπὸ τῶν ζώιων ὀρυσ-

---

1 ἀπίωσι M ‖ 3 ἐμβραδύνωσι Ald: -ουσαι A, -ουσι M | βραδεῖαν A Ald | ποιοῦντα M ‖ 6 γεωργοῖς AAld: -ικοῖς M ‖ 9 ὀψίστερον MAld | ὀψινωτέραις M ‖ 10 ὁ ὄμβρος Ald ‖ 12 τόπους AAld ‖ 15 φανῶνται Ald, φαίνωνται coni Bekker ‖ 15, 6 πλειότεραι om AAld ‖ 16 καὶ prius om AAld ‖ 17 δὲ post πολλαὶ A | ἀναβολὴ Ald | post χ. Ald ὠφελοῦσα τὰς ἱστέρας σποράς ‖ 19 καὶ μῆλα om M ‖ 19, 20 τὰ μῆλα ἤγουν om M ‖ 21 ὀρύσσωσι M ‖ 24 τῶι om AAld ‖ 25 σ. ὥστε σ. Ald ‖ 26 πυρὸν post χ. add Ald | ἔτι om AAld ‖ 27 καὶ ante ξ. A: om MAld ‖ 30 lemma om Ald | καὶ ἡ A, om M; ἡ δὲ Ald

σομένη γῇ χειμῶνα δηλοῖ· μαντεύεται γὰρ δεῖσθαι ψύξεως διὰ πλῆθος θερμότητος, ἥτις διὰ τὴν ἔξωθεν πυκνότητα ἐγκλείεται τοῖς ζώιοις. εἰ δὲ πλεῖον ὀρύττει τὴν γῆν τὰ ζῶια, ὁ χειμὼν βλαβερώτερος καὶ φυτοῖς καὶ ἀρότροις. εὖχον δὲ πλείονα χιόνα ἔσεσθαι· σημεῖον γὰρ καρποῦ, ἐπειδὴ ῥιζοῦνται τὰ σπέρματα μᾶλλον ἐπεχόμενα τῆς ἐπὶ τὸ ἄνω αὐξήσεως. § κομῆται δὲ ἀστέρες αὐχμοῦ σημεῖον ὑπερβάλλοντος τοῦ θερμοῦ [καὶ] τοῦ ψυχροῦ (1092).

1084—93. *μάλα κεν τότε —*: ἔστωσαν δὲ κατ' ἐκεῖνον τὸν καιρὸν ἀστέρες τὸ κατὰ φύσιν σώιζοντες κατάστημα καθαροὶ καὶ ἀνεπιθόλωτοι, μηδὲ οἱ καλούμενοι κομῆται θεωρηθείησαν, ἢ εἷς ἢ δύο ἢ καὶ τρεῖς· φανέντες γὰρ οὗτοι αὐχμηρὸν τὸ ἔτος σημαίνουσιν.

1085. *Πληιάδες χειμῶνα —*: εἴπομεν γὰρ ἄνω (p. 541), ὅτι καὶ φθινοπωριναὶ ἀνατέλλουσιν αἱ Πλειάδες· φησὶ δέ, ὅτι κατερχόμεναι χειμῶνα φέρουσιν.

ἄλλως. οἱονεὶ εἰς τὸν καιρόν, ὅτε δύνουσιν αἱ Πλειάδες, ἐὰν αἶγες καὶ μῆλα κερατίζωσι τὴν γῆν, χειμὼν γενήσεται μέγας.

1088. *ἀλλὰ χιὼν εἴη πολλὴ —*: ἀλλὰ χιὼν ἔστω, φησί, πολλὴ ἐπὶ ταῖς μεγάλαις ἀρούραις ἐπὶ τῆι μήπω ἀκμὴν κριθείσηι καὶ οἱονεὶ διάκρισιν καὶ ἰσχὺν λαβούσηι πόαι, τῆι τέως μὴ βαθεῖαι ἀλλ' ἐπιπολαίωι οὔσηι.

ἄλλως. χιὼν δὲ ἂν πίπτηι, γινέσθω μὴ ἤδη εἰς πολὺ τῆς πόας ηὐξημένης, ἵνα μὴ κατακλᾶται αὕτη, ἀλλ' ἔτι ἁπαλῆς· καὶ γὰρ αὕτη κατ' ὀλίγον τηκομένη καὶ ποτίζουσα τὴν γῆν τρόφιμός ἐστι τοῖς ἐσπαρμένοις.

---

1 δ. ἐπειδὴ μαντεύονται δ. Ald ‖ 3 πλέον AAld ‖ 5 γενέσθαι Ald, om A ‖ 6 τὰ libri | κομῆται A ‖ 7 seclusi; om Ald ‖ 7, 8 τὸ ψυχρόν Ald ‖ 9 lemma om MAld ‖ 9, 10 τότε οὖν κατ' — καιρὸν ἔστωσαν οἱ ἀ. Ald ‖ 10, 1 καθαρὸν καὶ -ον Ald ‖ 11 κομῆται A | θερηθείησαν M ‖ 12 καὶ om M ‖ 12, 3 ἔαρ σ. Ald ‖ 14, 5 εἶπ. ἀνωτέρω ὅτι Ald ‖ 15 πληιάδες M | post Πλ. AAld αὗται οὖν κατ. χ. ‖ 17—19 om M ‖ 17 ἄλλως A: om Ald | ἐὰν οὖν εἰς τ. κ. ὅτε Ald | 18 ἐὰν A: αἱ Ald | τὰ μ. Ald ‖ 20, 1 πολλὴ φησιν Ald ‖ 21 ἐν ταῖς AAld | ἐπὶ alt scripsi ex Arato: περὶ libri | τῆ AM, τὴν Ald | ἀκμὴν om Ald ‖ 21, 2 κριθείση AM, κριθεῖσαν Ald ‖ 22 λαβούση πόα AM, λαβοῦσαν πόαν Ald | 22, 3 τῆ τέως μὴ δὲ βαθεῖα M, τῆ τέως μὲν βαθεία A, οὐδὲ τὴν βαθεῖαν Ald ‖ 23 ἐπιπόλαιον οὖσαν Ald ‖ 24 ἄλλως om AAld | ἤγουν ἐὰν ἡ χιὼν π. Ald | γενέσθω Ald ‖ 25 κλᾶται AAld | ἁπαλῆς AAld: -ή M ‖ 26 ἡ γὰρ χιὼν τηκομένη κατ' ὀλ. Ald

1090. *ὅφρα τις εὐεστοῖ* —: *τῇι εὐετηρίαι. τοῦτο ἀκολουθεῖ τῶι μὴ — λίην ὀρύχοιεν* (1086). *ὁ δὲ νοῦς· ὅπως τις εὐεστὼ προσδεχόμενος χαίρηι· εἰ γὰρ λίαν ὀρύχοιεν, οὐ κατὰ κόσμον ἀλλὰ χαλεπὸν καὶ τεταραγμένον τὸν ἀέρα μηνύουσιν. καὶ χιὼν ἂν εἴη πολὺς ἐν ταῖς ἀρούραις ἐπὶ [τῇι] μήπω κεκριμένηι καὶ ἰσχυρᾶι τῇι πόαι τῶν ἀσταχύων πρὸς τὸ χιόνα δύνασθαι φέρειν καὶ τοσοῦτον ψῦχος ἀναδέξασθαι.*

1091. *οἱ δ' εἶεν καθύπερθεν* —: *τοὺς κομήτας οἱ Πυθαγορικοὶ τοῖς πλανωμένοις συγκατηρίθμουν, κατὰ μακρὰς ἀνακυκλήσεις χρόνων ἄλλοτε ἄλλῃ προφαινομένους, ἕνα τοῦτον ὑποτιθέμενοι, καὶ κατὰ τὰ βόρεια ἐκτὸς τοῦ ζωιδιακοῦ φαινομένους. οἷς αὐτὸ τοῦτο ἀντιπίπτει· τοῖς γὰρ πλανήταις ὡρισμένος τόπος ἐστὶν ὁ ζωιδιακὸς κύκλος, οὗτος δὲ οὐκ ἂν εἴη τῶν πλανήτων ἐκτὸς τούτου τοῦ τόπου φαινομένων. καὶ εἴπερ εἷς τῶν πλανήτων ⟨ἦν⟩, πάντως ἂν καὶ τὰς τούτου περιόδους οἱ περὶ τὰ μαθήματα δεινοὶ παρετήρησαν ὡς καὶ τῶν πλανήτων. ⟨ἀλλ'⟩ οὐδὲ εἷς ἐστίν, ἀλλὰ πλείονες, καὶ οὐχ ἑνὶ τόπωι ὁρώμενοι, ἀλλὰ τοὺς μὲν αὐτῶν κομήτας λέγουσι ἄνω τῶν ἀστέρων ἔχοντας τὴν κόμην, πωγωνίας δὲ τοὺς κάτω, ξιφηφόρους δὲ τοὺς ἑκατέρωθεν, καὶ ἄλλους ἄλλως ἔχοντας. Δημόκριτος* (p. 392 Mull) *δὲ καὶ Ἀναξαγόρας* (p. 167 Sch) *κατὰ σύλλαμψιν δύο πλανωμένων, ἡνίκα πλησίον ἀλλήλων γένωνται, καθάπερ ἐσόπτρων ἀντιλαμπόντων ἀλλήλοις τοὺς κομήτας συνίστασθαι λέγουσιν. καὶ οὗτοι δὲ πλανώμενοι τοῦτο λέγουσιν· οὔτε γὰρ ἐν τῶι ζωιδιακῶι μόνωι φαίνονται, ἀλλὰ καὶ ἐν τοῖς βορείοις καὶ ἐν τοῖς νοτίοις,* Posidonius p. 230 Diels (cf Aetius p. 366 D.)

---

1 *εὐ. χαίρηι* Ald ‖ 2 *τῶι — ὀρ.* om Ald quae add *τὸ χαίρειν τὸν γεωργόν* | *ὁ δὲ νοῦς* om M ‖ 3 *εὐεστω* scripsi: *εὐθέτως* libri; *εὐθέως* coni Bekker | *λίαν* om A ‖ 3, 4 *μὴ οὖν ὀρωρύχοιεν λίαν οἱ βόες· οὐ γὰρ κατὰ* Ald ‖ 5 *χιὼν* Bekker: *χειμὼν* AMAld ‖ 6 *τὸν χ.* A ‖ 7 *τοιοῦτο* Ald, *-ον* AM ‖ 8 *οὐδ' ὕπερθεν* pro lemmate A ‖ 9 *μακρὰς* AAld: *μικρὰς* M ‖ 10 *τοῦτον* Ald: *τούτων* AM ‖ 11 *καὶ* ante *κατὰ* om AAld ‖ 11, 2 *ζ. φαινομένων* A, *ζ. καὶ τῶν φαινομένων* Ald ‖ 14 *φαινόμενος* libri | *ἅμα* post *καὶ* add Ald ‖ 15 suppl Ald ‖ 17 *οὐδὲ* scripsi: *οὔτε δὲ* AM, *ἀλλ' οὐδὲ* Ald | *τύπωι* M ‖ 17, 8 *ὀρ. τοὺς μὲν οὖν ἄνω τῶν ἀστέρων ἔχοντας τὴν κόμην κομήτας ἐκάλεσαν, τοὺς δὲ κατὰ πωγωνίας, ξιφ. δὲ τοὺς κάτωθεν. Δημ.* Ald ‖ 18 *αὐτῶν* M: om A | *κομίτας* A ‖ 18, 9 *ἄνω — κόμην* A: hic om M, cf ad l. 20 ‖ 19 *τοὺς δὲ πωγωνίας* (omisso *κάτω*) M | *τοὺς δὲ ξιφ.* (omisso *κάτωθεν*, cf ad l. 20) A ‖ 20 *ἑκατέρωθεν* scripsi e M altero loco, cf infra: *κάτωθεν* Ald, om hic M | *καὶ ἄλλους ἄλλως ἔχ.* M: om AAld | post *ἔχ.* M iterum *κομήτας μὲν τοὺς ἄνω τῶν ἀστέρων ἔχοντας τὴν κόμην, πωγωνίας δὲ τοὺς κάτω, ξιφηφόρους δὲ τοὺς ἑκατέρωθεν* ‖ 21 *σύλλαμψιν* corr Diels: *σύλληψιν* libri ‖ 21, 2 *πλανωμένους* A ‖ 23 *κομίτας* A ‖ 25 *ἐν* alt om A

τρεῖς τε πολλάκις ὑπὸ τὸ αὐτὸ ὁρῶνται κομῆται. πέντε δὲ ὄντων πλανήτων τρεῖς ὁρᾶσθαι κομήτας ⟨ἀδύνατον⟩. καὶ τῶν ἀπλανῶν δέ τινες ὁριῶνται κόμας ἔχοντες. ἐπὶ γοῦν τῶι ἰσχίωι τοῦ Κυνὸς Ἀριστοτέλης (Meteor I 6. 7) φησὶ παρατετηρηκέναι κομήτην καὶ τοῦτο προσιστορῶν, ὅτι χωρὶς δύσεως οἱ κομῆται κατὰ μικρὸν ἀπομαρανθέντες ἀφανίζονται. πολλάκις τε ἐγγὺς ἀλλήλων ἐγένοντο πλανῆται καὶ κομῆται οὕτως, ⟨ὥστε⟩ παραφαίνεσθαι. ὁ δὲ Ποσειδώνιος (p. 79 B. Diels p. 231) ἀρχὴν γενέσεώς φησιν ἴσχειν τοὺς κομήτας, ὅταν τι τοῦ ἀέρος παχυμερέστερον εἰς τὸν ἀέρα ἐκθλιβὲν τῆι τοῦ ἀέρος δίνηι ἐνδεθῆι, εἶτα πρὸς πλείονα δῖνον ἐπιρρεούσης τῆς ⟨συ⟩στροφῆς φέρωνται. ἔνθεν αὐτοὺς καὶ μείζονας αὐτῶν ὁρᾶσθαι καὶ ἥττονας, ὡς ἄν ποτε μὲν ἥλιον ἐπιδιδούσης τῆς ⟨συ⟩στροφῆς αὔξεσθαι, ποτὲ δὲ λειπούσης συστέλλεσθαι. ταύτηι γοῦν καὶ εἰς τὸν ἀρκτικὸν οὐ συνίστασθαι μάλιστα τόπον, ἀλλ' ἔνθα παχυμερὴς καὶ πεπιλημένος ἐστὶν ὁ ἀήρ. κατὰ δὲ τὰς φαύσεις αὐτῶν καὶ πάλιν διαλύσεις τροπὰς γίνεσθαι συμβαίνει τοῦ ἀέρος· αὐχμούς τε γὰρ κἀκ τῶν ἐναντίων ῥαγδαίους ὄμβρους κατὰ τὴν διάλυσιν αὐτῶν γίνεσθαι, ἅτε δὴ ἐν ἀέρι τῆς συστάσεως αὐτῶν γινομένης. ὅπερ καὶ ὁ Ἄρατος λέγει, αὐχμῶν αὐτοὺς σύμβολα παραδιδοὺς ὑπάρχοντας, λέγων οἳ δ' εἶεν καθύπερθεν καὶ τὰ ἑξῆς. Ἱπποκράτης μέντοι ὁ Πυθαγορικὸς (Diels DG p. 231) ἕνα λέγει τὸν κομήτην. καὶ οἱ μὲν λοιποὶ ἰδίας αὐτῶν τὰς κόμας ἀποφαίνονται, ὃ δὲ κατὰ ἀνάκλασιν τὴν ὡς ἐπὶ τὸν ἥλιον ἀπὸ τῶν ὄψεων διὰ τὴν τῶν ὑγρῶν ἀναθυμίασιν εἰς αὐτὸν ὀλκὴν φαίνεσθαι.

Sporus. ✓ Avien 1815—9

1093. πολλοὶ γὰρ κομόωσιν —: ἡ ξηρὰ ἀναθυμίασις ξηρᾶς τῆς γῆς καὶ αὐχμηρᾶς τυγχανούσης ἀναδιδομένη ποιεῖ τοὺς κομήτας ἀστέρας καλουμένους· ὑπὸ ⟨γὰρ⟩ τῆς ἰδίας θερμότητος

---

1 ἐν τῶι αὐτῶι ante πολλ. AAld | κομῶνται A ‖ 2 κομήτας A | suppl Ald ‖ 3 ὁρῶντες A ‖ 4 τετηρηκέναι AAld ‖ 5 κομήτην A | κομῶνται A ‖ 7 κομήτης M | κομῶ(ῆ Ald)ται καὶ πλανῆται AAld | οὕτω παραφαίνεται AM, ὥς ἐστι σκοπεῖν Ald ‖ 8, 9 ἴσχειν φησὶ Ald ‖ 9 κομήτας A ‖ 9, 10 ἐκθλιβὲν εἰς τὸν ἀέρα Ald ‖ 10 αἰθέρα et αἰθέρος coni Bake ‖ 11 suppl Ald | φέρονται M | ἔνθα A, διὸ συμβαίνει αὐτοὺς Ald ‖ 12 αὐτῶν libri | ἥλιον om Ald ‖ 13 ἐπιδιδούσης Bekker: ἐπιδηλούσης libri | suppl Ald ‖ 14 ταύτηι Ald: -ην AM | συνέστανται Ald ‖ 15 πεπ. καὶ παχ. AAld ‖ 17 συμβαίνει γίν. Ald | τε καὶ ἐκ τ. A Ald ‖ 18 τὴν om AAld | γίν. αὐτῶν AAld ‖ 21 λέγων — ἑξῆς om AAld | φησὶ post καθ. M; an 'is quem exscribo'? ‖ 22 κομήτην A ‖ 25 ὀλκῆς AAld ‖ 26 Σπόρος δέ φησιν, ὅτι ἡ ξ. ἀναθ. scholiis coniunctis omisso lemmate Ald | κομῶσιν A ‖ 27, 8 ποιεῖται κ. Ald ‖ 28 κομήτας A | ὑπὲρ Ald | suppl Ald

ἐξαπτομένη ῥαιδίως ἐκ τῶν ὑποκειμένων ἀκτῖνας καὶ οἷον ἀστέρας ἀναπέμπει πρὸς τὸ ἄνω· τὸ γὰρ πῦρ ἄνω πέφυκε φέρεσθαι, τὰς δὲ ἀκτῖνας τοῦ παντὸς ἀστέρος κόμας εἶναι νομίζουσιν. οὕτω Σπόρος (fr 3 Anal Erat p. 48).

1094. οὐδὲ μὲν ὀρνίθων —: ὅταν πολλαὶ ὀρνίθων ἀγέλαι ἀπὸ τῶν νήσων ἐπὶ τὴν χέρσον ἐπείγωνται, οἱ μὲν γεωργοὶ περὶ τοῦ θέρους ἀγωνιῶσιν αὐχμηρὸν τεκμηράμενοι γενήσεσθαι, οἱ δὲ βουκόλοι γεγήθασι μάλιστα, ὅταν μὴ κατὰ πλῆθος συνηθροισμέναι γένωνται ἐπὶ τὴν γῆν, ἀλλὰ τεταγμένως ἱπτάμεναι· πολυγάλακτον γὰρ προσδοκῶσι τὸν ἐνιαυτόν. εἶτα ἐπιφέρει οἰκτόν τινα τῆς τῶν ἀνθρώπων ἀσθενείας καὶ φησίν, ὅτι τούτωι τῶι τρόπωι ζῶμεν οἱ ἄνθρωποι κακοπαθῶς καὶ μηδὲν βέβαιον ἔχοντες ἐν τῶι βίωι, ἀλλὰ μόνα τὰ περὶ τὸν κόσμον σημεῖα τὰ μὲν κατειληφότες ἐκ διηνεκοῦς ἐμπειρίας, τὰ δὲ καὶ προσδοκῶντες διὰ τῆς μελλούσης παρατηρήσεως γενήσεσθαι.

ἄλλως. οὐδαμῶς δὲ ταῖς ὀρνίθων ἀγέλαις ἐκ νήσων ἐρχομέναις, ὅτε πολλαὶ ἐμπλήσ⟨σ⟩ωσιν ἀρούραις, ὁ ἠπειρόθεν ἀνὴρ ἕνεκεν τοῦ θέρους χαίρει.

1095—1100. ἐκ νήσων ὅτε πολλαὶ —: Ἀριστοτέλης (fr 240 R.) φησίν· ὅταν μὲν ὑγρὸς ᾖι καὶ ψυχρὸς ὁ ἀήρ, τὸ τηνικαῦτα καὶ αἱ νῆσοι βρεχόμεναι ἀναφύουσι καὶ τὰ ἐν αὐταῖς ὄρνεα τρέφουσιν. ὅταν δὲ αὐχμώδης ᾖι καὶ ξηρός, τότε παντελῶς τῶν νήσων μὴ ἀναφυουσῶν ἐπὶ τὴν γῆν τὰ ἐν ταῖς νήσοις ὄρνεα φεύγουσιν, εἰς ἣν ⟨διαφυγόντα⟩ δύνανται κἂν ἐξ ὀλίγου τρέφεσθαι. καὶ οἱ κολοιοὶ δὲ ἐκ τῶν νήσων πετόμενοι τοῖς γεωργοῖς σημεῖον αὐχμοῦ καὶ ἀφορίας. ἐὰν δὲ ἔμμετροι χωρῶσιν, εὐκαρπίαν δηλοῦσιν.

1098. αὐχμῶι ἀνιηθείς: βλαβεὶς ὑπὸ τοῦ αὐχμοῦ· ξηρότεραι γὰρ αἱ νῆσοι τῶν ἠπείρων ὑπάρχουσαι, ὥς φησι Plut. ~ Avien 1823—6

---

1 ἐξαπτομένη Ald: -ης AM | καὶ ante οἷον AM: om Ald | ἀκτῖνας ἢ post οἷον A, ἢ ἀ. post ἀστ. Ald, om M ‖ 2 τὰ ἄ. A ‖ 4 οὕτω Σπ. om hic Ald, cf p. 546, 26 ‖ 6 ἔρχωνται (post νήσων) Ald | μὲν om Ald ‖ 7 τεκμαιρόμενοι Ald ‖ 7, 8 post γενήσεσθαι: — χαίρει δέ που αἰπόλος ἀνήρ A ‖ 10 ἱπτάμεναι ὦσι Ald ‖ 12 καὶ ante κακ. add A | κακοπαθοῦντες AAld ‖ 14 ἅ — ἅ libri | γὰρ post μὲν M: om AAld ‖ 15, 6 γνώσεσθαι Ald, om A ‖ 17—19 om AAld ‖ 20 lemma om Ald | περὶ δὲ τῶν ὀρνίθων ante Ἀρ. add Ald ‖ 21 ὅτε M | ψυχρὸς καὶ ὑ. AAld ‖ 22, 3 ἀνατρέφουσιν AAld ‖ 25 ⟨φυγόντα⟩ Winterfeld ‖ 27 εἰσὶν post ἀφ. add Ald | ἔμμετροι Ald: ἄμετροι AM ‖ 29 τὸ δὲ ante lemma et ἤγουν post add Ald ‖ 30 τυγχάνουσαι AAld

ΠΛΟΥΤΑΡΧΟΣ (fr 8 W.), *θᾶττον καὶ ῥᾶιον τοῦ αὐχμηροῦ καταστήματος ἀντιλαμβάνονται. διὸ καὶ τὰ ὄρνεα φεύγει καὶ ταῖς ἠπείροις ἐπιπελάζει. καὶ ἄχθεται μὲν ὁ γεωργὸς τῇι τῶν ὀρνίθων ἐπιδημίαι τὸν αὐχμὸν ὑποπτεύων, χαίρει δὲ ταῖς αὐταῖς ὄρνισιν ὁ αἰπόλος, ὅταν ἐν κόσμωι καὶ τεταγμέναι φέρωνται, ὡς πλείονος γάλακτος γενησομένου διὰ τὸ ἔνθερμον εἶναι τὸν ἐνιαυτόν.*

1101. *οὕτω γὰρ μογεροὶ —*: *καματηροὶ καὶ πλανώμενοι ἐν πολλοῖς πράγμασιν, ἄλλος ἐξ ἄλλων ἔργων καὶ ἐλπίδων ζῶν, ὁ μὲν γεωργὸς ἀπὸ σπερμάτων, ὁ δὲ αἰπόλος ἀπὸ αἰπολίων, οἱ δὲ ναῦται ἀπὸ θαλάσσης, καὶ 'τὰ παρὰ ποσὶ' σημεῖα* (1102), *τουτέστι τὰ πλησίον, γινώσκειν πάντες ἕτοιμοι ἐξ ὧν μεταχειρίζονται καὶ τὰ ἀπὸ τῆς σημειώσεως [ἢ ἅπαντα] ἀποβάντα δυνατοὶ εἰς πρόγνωσιν ἀγαγεῖν ὕστερον. εἶτα ἐπέξεισι τὰ ἑκάστου.*

1104, 5. *ἀρνάσι μὲν χειμῶνας*: *οἱ ποιμένες, φησίν, ὅταν θεάσωνται τοὺς ἄρνας μετά τινος ἐπείξεως ἐπὶ τὴν νομὴν ἐρχομένους, χειμῶνα τεκμαίρονται.*

1106. *ἄλλοι δ' ἐξ ἀγέλης κριοὶ —*: *ὡσαύτως δὲ καὶ ὅταν κριοὺς ἢ ἀμνοὺς ἐν ταῖς τριόδοις ἴδωσι τοῖς κέρασι διερειδομένους, τινὰς δὲ τοῖς ποσὶν ἁλλομένους, τοὺς μὲν ἄρνας τοῖς τέτρασι, τοὺς δὲ τελείους τοῖς ἐμπροσθίοις, καὶ ὁμοίους γινομένους ὀρχουμένοις, χειμῶνός ἐστι σημεῖον.*

1107. *ἐρειδόμενοι κεράεσσιν —*: *τοῦτο πάσχουσι τῆς περὶ τὸν ἀέρα αἰσθανόμενοι ψύξεως· νοτιζόμενα γὰρ αὐτῶν τὰ κέρατα κνησμώδη γίνεται.*

1108. *ἀναπλήσσωσι πόδεσσιν —*: *καὶ ὁπόταν δὲ κατὰ τὴν ἀγέλην σκιρτῶσιν, οἱ μὲν ἄρνες τοῖς τέτρασιν ἁλλόμενοι ποσὶ διὰ τὸ κουφοτέρους ὑπάρχειν, οἱ δὲ τέλειοι τοῖς δυσὶν ἅτε*

---

3 *προπελάζει* AAld ‖ 5 *τεταγμένως* AAld ‖ 6 *τὸν ἀέρα* AAld ‖ 7 *γὰρ* om A | *ἤγουν* post lemma add Ald ‖ 8 *ζῶντες* AAld ‖ 9 *τῶν αἰπ.* AAld 10 *πὰρ* Ald, *περὶ* A ‖ 11 *τὰ παραπλήσια* A ‖ 12 *ἐκ τῆς* AAld | *ἤγουν* Ald | *ἢ ἅπαντα* om M ‖ 13 *δυνατοὶ* Bekker: *-ον* libri ‖ 15 *χειμῶνας* om Ald ‖ 16 *μετὰ κατεπείξεως* Ald ‖ 17, 8 scholia coniunxit lemmate omisso M ‖ 18 *καὶ* om Ald ‖ 22 *ὀρχουμένοις* Ald: *ὀρθουμένοις* AM | *χ. ἐ. σημ.* A: om M | *ἡγοῦνται* (pro *ἐστι*) Ald ‖ 23 lemmate omisso scholia sic coniunxit Ald *τὸ μὲν οὖν τοῖς κέρασιν ἐρείδεσθαι πάσχουσι* ‖ 24 *ψυχραινόμενα* AAld ‖ 26 lemma A: om MAld ‖ 26—p. 549, 1 pergit Ald *τὸ δὲ ἀναπλήττειν τοῖς ποσίν, ὁπόταν κατὰ τὴν ἀγέλην ὦσι, τοὺς μὲν τοῖς τέτρασιν ἁλλομένους ποσὶ τοὺς κουφοτέρους, τοὺς δὲ τελείους τοῖς δυσίν, ἅτε βαρυτέρους, χειμῶνός ἐστι σημεῖον* ‖ 26 *ὁπότε* M ‖ 27 *τέσσαρσιν* A

βαρύτεροι, χειμῶνος σημεῖον· ταράττονται γὰρ τοῦ καταρρήξοντος προαισθανόμενοι ὄμβρου. ἡ μὲν οὖν μάχη αὕτη ὑγρότητα τοῦ ἐγκεφάλου δηλοῖ, ἡ δὲ ἐπὶ τὴν νομὴν ἄφιξις, ὅτι πλεῖον τὸ θερμὸν διὰ τὴν ἀντιπερίστασιν ἀθροίζεται εἰς βάθη χωροῦν.

1010. *ἢ καὶ ὅτ' ἐξ ἀγέλης —: καὶ ὅταν ἐκ τῆς ἀγέλης ἄκοντες ἐπὶ τὸν σταθμὸν ἐπείγωνται εἰωθότες δείλης ὑπὸ τοῦ ποιμένος ἀπελαύνεσθαι, καὶ ὅταν πλησίον ὄντων τῶν ποιμένων ἀπληστότερον ⟨πρὸς⟩ τὴν νομὴν προσφέρωνται καίπερ ὑπὸ τῶν ποιμένων τυπτόμενοι τοῖς λίθοις, πάντα τὰ τοιαῦτα σημεῖα χειμῶνος.*

1111. *δειελον, εἰσελάοντες —: ὅταν ἐλαύνωνται ταῦτα μὴ θέλοντα, χειμῶνα σημαίνει· πάλιν γὰρ αἰσθανόμενα τὴν τοῦ ἀέρος ταραχὴν ἐμφορεῖσθαι βούλονται τροφῆς· οἵ τε γὰρ νομεῖς, ὅταν ἴδωσι τοὺς ἄρνας ἐπὶ τὰς νομὰς προθυμότερον ὁρμῶντας, χειμῶνα σημειοῦνται τῶι βούλεσθαι δεδοικότα τὰ θρέμματα, μὴ συγκλεισθέντα κωλυθῆι, ἀπολαύειν τῆς τροφῆς.*

1113—17. *ἐκ δὲ βοῶν —: οἱ μέντοι περὶ τοὺς βόας ἀσχολούμενοι ἀπὸ τούτων τεκμαίρονται τὸν μέλλοντα ὄμβρον καὶ ἐσόμενον χειμῶνα· ἐάν τε γὰρ τὰς ἐμπροσθίους χηλὰς περιλείχωσιν, ἐάν τε κατὰ τὰ δεξιὰ μέρη κατακλιθῶσιν, ἀνάπαυσιν τὴν ἀπὸ τῶν ἔργων σημαίνει. θεραπεύουσι μέντοι ἀπὸ τοῦ κόπου τοὺς πόδας, τὴν δὲ κατάκλισιν μᾶλλον κατὰ φύσιν καὶ πρὸς τὴν πέψιν μᾶλλον αὐτοῖς συμβάλλονται ἁρμόζουσαν. τεκμαίρονται δὲ χειμῶνα καὶ ὅταν εἰς αὐλὶν εἰσελαυνόμενοι σκιρτῶσι μετὰ τῶν ἐκγόνων αὐτῶν· τοῦτο γὰρ ποιοῦσιν ἐμπλησθῆναι βουλόμενοι τῆς τροφῆς.*

1113. *ἐκ δὲ βοῶν ἐπύθοντ' ἀρόται —: καὶ ἀπὸ τῶν βοῶν σημειοῦνται οἱ γεωργοὶ γενησόμενον χειμῶνα, ὅταν τὰς χηλὰς τῶν ἐμπροσθίων ποδῶν τῆι γλώσσηι περιλείχωσιν ἢ κατὰ τὸν δεξιὸν μηρὸν ἀνακλίνωνται.*

1, 2 *γ. τοῦ μέλλοντος καταρρήξαντος* (-ξειν Ald) *ὄμβρου αἰσθανόμενοι* AAld ‖ 2 *αὕτη* om Ald ‖ 4 *περίστασιν* A ‖ 5 lemma om et scholia sic coniunxit Ald *καὶ ὅταν οὖν ἐκ — ἐλαύνεσθαι* ‖ 7 *αὐτοὶ δὲ πλησίον ὄντες τῶν* Ald | *ὄντων* scripsi: *ὄντα* AM, cf Ald ‖ 8 *πανταχόθεν* post *ἀπλ.* add Ald | *προφέρωνται* AM ‖ 11—14 post lemma Ald *ἤγουν κατὰ τὴν δείλην ἐλαύνοντες αὐτούς. ἀκούσια δὲ εἰσέρχονται, ἐπειδὴ αἰσθανόμενα τῆς ταραχῆς τοῦ ἀέρος ἐμφορεῖσθαι β. τρ. ὅταν οὖν οἱ νομεῖς ἴδωσι* ‖ 12 *χειμῶνος σημεῖον* A ‖ 14 *οἱ* iterum ante *ν.* A: om M, cf Ald ‖ 15 *σημειοῦσθαι* A ‖ 16 *μὴ* scripsi: *μήποτε* AAld, *μήτε* M | *τῆς* om Ald ‖ 17—26 schol om AAld ‖ 23 *συμβάλλεσθαι* libri ‖ 27—30 om M ‖ 27 *ἀρόται* om Ald ‖ 30 sq. post *ἀνακλ.* Ald *ἐπειδὴ γὰρ ἐν τῆι ἀρχῆι* lemmate omisso

1114. *ὁππότε χηλὰς —: ἐπειδὴ ἐν τῇι ἀρχῇι τοῦ χειμῶνος ψυχρὰ ἡ γῆ γίνεται, ὁ βοῦς ψυχιζομένην τὴν χηλὴν τὴν ἐμπροσθίαν τῇι περιλιχμήσει πειρᾶται θερμαίνειν· τοῦ γὰρ ὀπισθίου ποδὸς οὐ δύναται τῇι γλώσσηι ἐφικέσθαι. φησὶν οὖν τοῦτο ἀρχὴν χειμῶνος. τοῦτο γὰρ εἶπεν ‘ἀρότου ἀναβολήν’ (1117)· οὐ γὰρ εὐθὺς ἀροτριῶμεν, ἐὰν μὴ καὶ βροχὴν ὀλίγην ἴδωμεν. πάλιν δὲ ὁ βοῦς ἐν ἀρχῇι χειμῶνος διὰ τὴν μέλλουσαν ψῦξιν κατὰ τῆς δεξιᾶς πλευρᾶς καθεύδει θερμαίνειν θέλων τὸ ἧπαρ ἐκεῖσε ὑπάρχον.*

1116. *ἐπὶ δεξιτερᾶς τανύσωνται: τὸ γὰρ φυσικὸν σχῆμά ἐστιν αὐτῶν τὰ εὐώνυμα· προθερμαίνουσι γὰρ αὐτῶν οἱ βόες τὸ ἧπαρ ἐν τοῖς δεξιοῖς τόποις καὶ μέρεσι κείμενον οὕτω κατακείμενοι.*

1117. *ἀμβολίην ἀρότοιο γέρων —: τουτέστιν· ἀναβολὴν ὁ ἔμπειρος ἀροτρεὺς ἐτεκμήρατο.*

1118. *οὐδ’, ὅτε μυκηθμοῖο —: ὁμοίως δὲ καί, ὅταν μετὰ πλείονος μυκηθμοῦ οἱ βόες ἐπείγωνται ἐπὶ τὸν σταθμόν, αἱ δὲ δαμάλεις ἀνά⟨λ⟩λωνται τοῖς ποσί, καθάπερ ἐπὶ τῶν κριῶν* (p. 548, 18), *χειμῶνα σημαίνει.*

1118. *τὸ δὲ περίπλειοι: ἀντὶ τοῦ πεπληρωμέναι. § σκυθραὶ — σκυθρωπαὶ ἀπὸ τοῦ χειμῶνος καὶ τοῦ βουβσίου, τοῦ τὴν βόσιν καὶ τὴν τροφὴν παρέχοντος τόπου, ἐπὶ τὸν σταθμὸν παραγενόμεναι ἀχείμεροι ἐμπλήσασθαι βουλόμεναι ὀκνηρῶς ἐπὶ τὸν σταθμὸν ἔρχονται, χειμῶνα προσδεχόμεναι καὶ συγκλεισμόν. διὸ βούλονται ἐμπλησθῆναι.*

1122. *οὐδ’ αἶγες πρίνοιο —: καὶ αἱ αἶγες δέ, ὅταν*

---

2 *ψυχομένην* Ald ‖ 3 *περιλικμήσει* M ‖ 5 sqq. *τὸ δὲ ἀμβολίην ἀρότοιο εἶπεν, ἐπειδὴ οὐκ εὐθὺς ἀροτριῶμεν, εἰ μὴ καὶ βροχὴν ὀλίγην ἴδωμεν. ὁ δὲ βοῦς ἐν ἀρχῇι τοῦ χειμῶνος τοῦτο ποιεῖ τὴν μέλλουσαν ψῦξιν προφυλαττόμενος. ἀναβολὴν οὖν ἀρότρου ἀπὸ τούτου ὁ ἔμπειρος ἀροτρεὺς ἐτεκμήρατο* Ald | *ἀμβολίην ἀρότοιο τοῦτο γὰρ εἶπεν* A | *ἀρότρου* M ‖ 6 *εἰ* libri | 8 *θερμᾶναι* A: *θερμαὶ* M ‖ 9 *τυγχάνον* A ‖ 10 *τανύσωνται* om AAld ‖ 11 *δὲ* pro *γὰρ* Ald ‖ 14 *ἄλλως* A ‖ 16 *ἠδ’ ὅτε μ.* AAld ‖ 18 *ἐνάλωνται* A, *ἐνάλλονται* Ald ‖ 19 *χειμ. σημ.* om M | post *σημ.* sequitur *τὸ δὲ π.* (l. 20) A ‖ 20 *οὖν* pro *δὲ* Ald ‖ 21 post *σκυθραὶ* A *χειμῶνος τὴν δειλινήν*: om M | *δὲ* post *σκυθραὶ* add Ald, quae deinde *σκυθρωπαί. τὴν οὖν δείλην σκυθρωπαὶ ἀπὸ* | *λειμῶνος* M | post *βουβ.* add Ald *ἤγουν,* A *τουτέστι σκυθρωπαὶ τουτέστι* | 22 *τὴν* alt om Ald ‖ 23 *παραγενόμενοι* M | *ὡς πολυχείμεροι βουλ. ἐμπλ. καὶ διὰ τοῦτο ὀκνηρῶς* Ald | *βουλόμενοι* M ‖ 24 *ἐρχόμεναι χ. προσδέχονται* Ald ‖ 26 lemma om MAld | *καὶ αἱ* om M

μετά τινος ἐπείξεως δρέπωνται τὰς πρίνους καὶ τοὺς κλάδους ἀποσπῶσι, χειμῶνα σημαίνουσι προσλαμβάνουσαι τὸν ἀπὸ τῆς νομῆς κόρον.

1122, 3. *οὐδ' αἶγες πρίνοιο —*: *καὶ αἱ αἶγες ὅταν μετά τινος ἐπείξεως πρὸς τὰς τοῦ πρίνου ἀκάνθας οἵ τε σύες πρὸς τὸν φορυτόν, ὅ ἐστι βόρβορον, ἁπλήστως ἔχωσι, τὰ ὅμοια σημαίνουσιν· τὸν γὰρ ἐσόμενον δεδοικότες χειμῶνα καὶ συγκλεισμὸν τοῖς βοσκήμασιν ἐγχρονίζειν βούλονται.*

1124—28. *καὶ λύκος ὁππότε μακρὰ —*: *καὶ λύκοι ὅταν κατὰ μόνας γινόμενοι ἐπιμηκέστερον ὠρύωνται, καὶ ὅταν σύνεγγυς παραγίνεσθαι τοῖς τῶν γεωργῶν ἔργοις τολμῶσι μὴ καταπλησσόμενοι τοὺς ἀνθρώπους διὰ τὸ χρείαν αὐτοῖς εἶναι σκέπης, χειμῶνα σημαίνουσι μέχρι τρίτης ἡμέρας. καὶ ἐπὶ τῶν προειρημένων δὲ πάντων τὸ αὐτὸ δεῖ παρατηρεῖν ἀπὸ τῆς ἐνεστώσης ἡμέρας μέχρι τῆς δευτέρας ἢ καὶ τρίτης.*

1127. *ἵνα οἱ λέχος αὐτόθεν εἴη: ... οἱ δὲ λόχος ἀντὶ τοῦ ἐνέδρα, ἵνα τι ἁρπάσηι), χειμῶνα προσδόκα· τοῦτο γὰρ ποιεῖ ὑπὲρ τοῦ προλαβεῖν τὴν τοῦ ἀέρος ταραχὴν καί, πρὶν ἢ συγκλεισθῆναι τὰ θρέμματα, ἁρπάσαι τι καὶ παρασχεῖν ἑαυτῶι τροφήν.*

1128. *τρὶς περιτελλομένης ἠοῦς: ἀντὶ τοῦ τρίτον τῆς ἡμέρας παρελθούσης, τουτέστι μετὰ τρεῖς ἡμέρας.*

1129. *οὕτω καὶ προτέροις —*: *ὁμοίως, φησί, καὶ περὶ τῶν προειρημένων σημείων οὕτως ἔχε, ὡς ἢ παραχρῆμα τοῖ ἀέρος σημαινομένου ἢ παρὰ δύο ἡμέρας ἢ παρὰ τρεῖς.*

1132. *ἀλλὰ γὰρ οὐδὲ μύες —*: *καὶ οἱ μύες φθεγγόμενοι καὶ σκιρτῶντες ὅμοιοί τε γινόμενοι ὀρχουμένοις χειμῶνα σημαίνουσιν· καὶ γὰρ καὶ οὗτοι τῆς τοῦ ἀέρος πιλήσεως αἰσθανόμενοι τοῦτο ποιοῦσιν. ἢ [ὅτι] ἀσθενὲς καὶ λεπτὸν τὸ δέρμα*

---

4 schol sic AAld *οὐδὲ σύες φορυτῶι: οὐδὲ μὲν οἱ σύες (καὶ οἱ σύες δὲ* Ald) *πρὸς τὸν φ., ὅ ἐστι β., ὅταν ἁπλήστως* AAld ‖ 7 *δεδυκότες* M ‖ 9 *μακρὰ* om Ald ‖ 9, 10 *ὁπόταν — γενόμενοι* AAld ‖ 10 *ὠρύονται* MAld ‖ 12 *εἶναι αὐτοῖς* Ald ‖ 15—7 post *τρ.* scholiis coniunctis Ald *λέχος δὲ οἱ μὲν τὴν κοίτην, οἱ δὲ τὴν ἐνέδραν ἐξέλαβον, ἵνα τι ἁρπάσηι. τότε οὖν χ. δεῖ προσδοκᾶν τρίτη ἡμέρα· τοῦτο* ‖ 17 post *ἁρπ.* A *τῆι τρίτηι ἡμέραι χ. δεῖ προσδοκᾶν* ‖ 20 *τὸ οὖν* post *τρ.* scholiis coniunctis Ald ‖ 22 *παρελθούσας* M | *ἤγουν μ.* Ald | *μετὰ τρίτην ἡμέραν* AAld ‖ 24 *οὕτως* om Ald | *ἔσχεν* A ‖ 25 *περὶ δ.* Ald | *παρὰ* alt om AAld ‖ 28 *καὶ* alt om M

ἔχοντες, ἐπειδὰν ψυχρὰν γενομένην πατήσωσι τὴν γῆν, μὴ φέροντες τὸ κρύος ἅλλονται.

1135. *οἰδὲ κύνες —: κατὰ κοινοῦ τὸ ἄσκεπτοι* (1134). *καὶ οἱ κύνες οὖν τοῖς ἐμπροσθίοις ποσὶ τὴν γῆν ὀρύττοντες καὶ οἱονεὶ βαθεῖαν ἑαυτοῖς κοίτην εὐτρεπίζοντες ταῦτα σημαίνουσιν· ἀπὸ γὰρ τῆς τοῦ ἀέρος ὑγρασίας ὥσπερ κατάδυσίν τινα ζητοῦντες τὰ αὐτὰ σημαίνουσιν.*

καὶ γάρ τε κύων ὠρέξατο ποσ⟨σ⟩ὶν —: τινὲς γράφουσιν ὠρύξατο· φιλόψυχρος γὰρ ὢν ὁ κύων καὶ χαίρων ἐπὶ τῷ ἐσομένῳ χειμῶνι σκάπτει τὴν γῆν παίζων. τινὲς δὲ ὠρέξατο ἀντὶ τοῦ ἐξέτεινεν· ἀρχομένου γὰρ τοῦ σώματος αὐτοῦ ὑπὸ τοῦ ψύχους πικνοῦσθαι ὄντος κατὰ φύσιν ψυχροῦ βουλόμενος τὸ σῶμα διαλύειν ἐκτείνει αὐτό, ὡς ἡμεῖς μετὰ τὸν ὕπνον.

1142. *τῶν μηδὲν κατόνησο —: τῶν καταριθμηθέντων σημείων μηδὲν καταμεμψάμενος παροδεύσῃς. ἀλλὰ κἂν δύο σοι, φησίν, ⟨ἐν⟩ τῷ αὐτῷ γένωνται σημεῖα, βεβαιοτέρα σοι γενήσεται ἡ πρόγνωσις· εἰ δὲ τρία, μᾶλλον.*

1143—8. *μᾶλλον δὲ δυεῖν ἐς ταὐτὸν ἰόντων —: τὴν δὲ σημείωσιν, φησίν, εἰ βουλοίμεθα βέβαιον καὶ ἀκριβῆ ἔσεσθαι, οὐκ ὀφείλομεν ἑνὶ σημείῳ πιστεύειν, ἀλλὰ καὶ δευτέρῳ. ἐὰν μέντοι γε καὶ τρίτον προστεθῇ, βεβαιοτέρα γενήσεται ἡ κατάληψις. χρήσιμον δὲ καὶ τοῦτο, τὸ τὰ σημεῖα τοῦ παρελθόντος χρόνου συμβάλλειν τοῖς τοῦ ἐνεστῶτος καὶ ἀπὸ τῆς τῶν ἀστέρων ἀνατολῆς τε καὶ δύσεως στοχάσασθαι περὶ τοῦ μέλλοντος, εἰ τοῖς προλαβοῦσιν ὅμοια γίνεται σημεῖα.*

1145—8. *αἰεὶ.δ' ἂν παριόντος —: παρατηρητέον δὲ καὶ τὰ τοῦ παρελθόντος ἐνιαυτοῦ σημεῖα πρὸς τὰ τοῦ ἐνεστῶτος συμβάλλοντι, εἰ τοῦ αὐτοῦ ἀστέρος ἀνατέλλοντος ἢ δύνοντος τὰ*

---

1 *τὴν γῆν πατ.* AAld ‖ 3 *ἀπὸ κ.* AAld ‖ 4 *οὖν* om M ‖ 5 *ταῦτα* M: *χειμῶνα* AAld ‖ 6 *γὰρ* om M ‖ 7—9 lemma om et scholia sic coniunxit Ald *ἢ ὅτι φιλόψυχρος ὢν* omissis intermediis ‖ 8 *ὠρύξατο* A | *ποσσὶν* om A ‖ 9 *γρ. ὠρέξατο* A | *φιλόψυχος* A | *γὰρ* om Ald | *καὶ* om M ‖ 10 *σκάπτων* A ‖ 10, 1 *δὲ τὸ ὠρύξατο ὠρέξατο γράφουσιν, ἵν' ᾖ ἀντὶ* Ald ‖ 15 de *κατόνησο* cf adn in ed | *κατόνησο* om Ald ‖ 16 *ἀλλὰ* om M ‖ 17 *φησί* om Ald | *ἐν τῷ* Ald | *ἔστω* pro *γεν.* Ald ‖ 18 *τρεῖς* A ‖ 18—20 *μᾶλλον δὲ τῶν δύο. ἢ εἰς ταὐτὸν συνέλθωσι τρία· τὴν γὰρ σημ. εἰ β. βεβαίαν* Ald ‖ 19 *δυοῖν* A ‖ 20 *βεβαίαν* AAld ‖ 21 *ἐν ἑνὶ* libri ‖ 22 *γ'* A ‖ 24 *μεταβάλλειν* Ald ‖ 25 *στοχάζεσθαι* Ald ‖ 26 *τὰ σημ.* Ald ‖ 27—29 *αἰεὶ — συμβ.* om Ald quae *εἴ' που καὶ ἐπ' ἀστέρι ἢ εἰ τοῦ* ‖ 29 *συμβάλλοντα* A | *εἰ* scripsi: *ἢ* AM, *ἢ εἰ* Ald | *τοῦ* om A | *ἢ* M: *καὶ* AAld

αὐτὰ σημεῖά ἐστιν, ἢ εἰ πρὸς τὸ σημεῖον τοῦ ἀστέρος τοιαύτη καὶ ἡ ἡμέρα φαίνεται. οἷον, ἂν ὁ ἀστὴρ χειμῶνα δηλώσηι, καὶ ἡ ἡμέρα ⟨ἂν⟩ εὑρεθείη σκοτεινὴ καὶ χειμερινή.

1146 sqq. εἴ που καὶ ἐπ᾽ ἀστέρι τοίη —: ἐάν που καὶ ἐπὶ ἀστέρι ἀνατέλλοντι ἢ δύνοντι τοιαύτη γενήσεται ἡ ἡμέρα, οἵαν λέγει καὶ τὸ σημεῖον. τουτέστιν· ἐὰν πρὸς τὸ σημεῖον (ἤγουν, ἐὰν πρὸς ἃ λέγει τὸ σημεῖον) τοιαῦτα σύμβολα καὶ ἐπὶ ἀστέρι ἀνατέλλοντι ἢ δύνοντι ἔσται, ὥστε τοιαύτην φανῆναι τὴν ἡμέραν, ὡς λέγει τὸ σημεῖον.

ἄλλως. ἢ ἐὰν ἐπὶ τοιούτωι ἀστέρι προσφόρως ἀνατέλλοντι ἢ δύνοντι, ὁποῖον λέγει τὸ σημεῖον, ἡ ἡμέρα ἔλθηι. ἤγουν, ἐὰν πρὸς τὸ σημεῖον καὶ ἀστὴρ ἀνατέλλων ἢ δύνων σύμβολον ἡμῖν δείξηι τοιαύτης γενησομένης ἡμέρας.

1148. μάλα δ᾽ ἄρκιον εἴη —: χρὴ δέ, φησί, πρὸ πάντων τὰς τετράδας τοῦ μηνὸς παρατηρεῖν ἀρχομένης τῆς σελήνης καὶ ληγούσης· αὗται γὰρ αἱ ὀκτὼ ἡμέραι τετάρτηι ἀρχομένου τοῦ μηνὸς καὶ ἑβδόμηι καὶ εἰκάδι λήγοντος ἀκριβεστάτην ἔχουσι τὴν παρατήρησιν διὰ τὸ τὴν σελήνην ἐνδεῖν ἑαυτῆς ὡς πρὸς τὴν πληροσέληνον. τούτων οὖν τῶν προειρημένων σημείων ἐὰν ἔχηις παρατήρησιν ἀκριβῆ καὶ ἔντεχνον, οὐδέποτε πλανηθήσηι περὶ τὴν πρόθεσιν τοῦ περὶ τὸν ἀέρα καταστήματος.

ἄλλως. προσήκει, φησί, τὰς τετράδας τῶν μηνῶν φθινόντων τε καὶ ἱσταμένων προ⟨σ⟩ορᾶν· ἐν γὰρ ταύταις καὶ σύνοδοι παρέρχονται σελήνης, ὅτε καὶ μάλιστα μεταβολὰς ὁ ἀὴρ ποιεῖ τῆι νυκτὶ διὰ τὸ μὴ καταλάμπειν τὴν σελήνην μηδὲ θερμαίνειν τὸν ἀέρα παχὺν ὄντα.

ὁ δὲ νοῦς· φυλάσσου τὰς τετράδας τὰς β΄, ἐπεὶ πέρατα

---

2 δηλώση AM, δηλώσει Ald ‖ 3 supplevi ‖ 4 καὶ om M, τοίη om A | ἢ pro lemmate Ald ‖ 5 ἐπ᾽ Ald | γένηται Ald ‖ 6 οἷον M | λέγοι Ald | τουτέστιν AM: ἤ Ald | τὰ σημεῖα A, τῶ σημείω M ‖ 7 ἤγουν πρὸς ἃ Ald | ἐὰν om AAld ‖ 8 ἔσται AM: εἶεν (ceteris omissis) Ald | post ἔσται A ἢ ὡς ἀνατέλλοντι: (sic) ‖ 10 ἄλλως om AAld | ἢ ἐὰν AAld: καὶ M | προσφόρω Ald ‖ 11 ὁποῖα M | ἔλθοι A | ἤ (pro ἤγουν) Ald ‖ 12 τὰ σημεῖα AAld ‖ 14 ἄρκειον A | εἴη om Ald ‖ 15 τῆς om M ‖ 15,6 ἀρχ. τε καὶ ληγούσης τῆς σ. αὗται Ald ‖ 16 τοῦ om Ald | τετάρτη γὰρ ἀρχομένη τοῦ A ‖ 17 εἰκάδι Ald: εἰκὰς AM ‖ 18 αὐτῆς A, ἐν αὐταῖς Ald ‖ 19—21 τούτων — καταστήματος post p. 554, 13 A ἄλλως lemmate praefixo et Ald ‖ 20 καὶ ἔντεχνον om AAld ‖ 20, 1 περὶ τὸν ἀέρα τοῦ περὶ τὴν πρόθεσιν καταστήματος A; de Ald cf ad v. 1053 ‖ 22 ἤ pro ἄλλως Ald | φησί om MAld ‖ 24 ἐπέρχονται AAld | ὁ ἀὴρ μετ. ποιεῖ AAld ‖ 26, 7 coniunxit Ald ‖ 27 δύο AAld

τῶν δύο μηνῶν εἰσιν ὁμοῦ συνερχομένων, ὡς οἷον μεθόριον ὑπαρχούσας, ὅτε καὶ ὁ αἰθὴρ σφαλερός ἐστι καὶ ὀμβροφόρος.

1151. *ὅτε σφαλερώτερος αἰθήρ: σφαλερὰ γὰρ τὰ περὶ τὸν ἀέρα ἐν ταῖς ὀκτὼ ταύταις ἡμέραις διὰ τὸ ἀπεῖναι τὴν σελήνην καὶ κατεψῦχθαι ἅπαντα τὸν ἀέρα.*

1152. *ὀκτὼ νυξὶ πέλει χήτει —: ἐνδεῖαι τοῦ σεληνιακοῦ φωτὸς αἱ ὀκτὼ νύκτες εἰσὶν ἐπισφαλεῖς διὰ τὸ ἄνευ φωτὸς εἶναι καὶ κατεψῦχθαι.*

1153. *τῶν ἄμυδις πάντων —: τούτων ἀθρόως, ὡς εἴπομεν* (p. 552), *συνελθόντων, τῶν τε ἀπὸ τῶν μετεώρων καὶ τῶν περιγείων ζώιων καὶ φυτῶν, οὐκ ἂν σχεδίως τεκμήραιο ἐπὶ ταῖς γενομέναις τοῦ περιέχοντος ἡμᾶς ἀέρος μεταβολαῖς.*

ἄλλως. τούτων οὖν πάντων εἴ τις ποιήσαιτο κατάληψιν, οὐδέποτε σχεδιάσει τὰ περὶ τοῦ ἀέρος, ἀλλ' ἀκριβώσει τὸ περὶ αὐτόν.

1154. *οὐδέποτε σχεδίως κεν —: οὐκ ἂν σχεδιάσας, φησί, εἰκῇ τι σημειώσαιο, ὅταν ταῦτα μὲν πάντα σκοπῇς, μέτρον δὲ τῆς τηρήσεως τοῦ ἐνιαυτοῦ συνέχῃς. τὸ δὲ σχεδίως ἀντὶ τοῦ προσφάτως ἀκύπως παρέργως προπετῶς καὶ ὡς ἔτυχεν.*

Theo Alex (Anal Erat p. 34 sqq.)

Ταῦτά σοι, ὦ Ἰουλιανέ, συναγαγόντες ταχεῖαν πεποιήμεθα τὴν ἐπαγγελίαν. ἄλλοις δὲ μελέτω γραφὰς ἀλλοίας ποιεῖν, εἰ μέν τοι ὁ Ἄρατος ἐμνήσθη Περσέως, πάντα τὰ περὶ Περ-

---

1 *μεθώριον* AAld ‖ 3 lemma om Ald ‖ 4 *ἡ* A ‖ 6—8 schol ita Ald sine lemmate (post l. 5) *ἐνδεεῖς γὰρ τοῦ — καὶ ἐπισφαλεῖς* ‖ 6 *ἐνδεία* M ‖ 7 *ἡ* A ‖ 9 *ἀπάντων* A, om M ‖ 10, 1 *καὶ τῶν ἀπὸ τῶν π. ζ.* M ‖ 12 *γινομέναις* A Ald | post *μετ.* AAld *ἀλλὰ ἀκριβώσειε(ς* Ald) *τὰ περὶ αὐτόν* ‖ 13 *ἄλλως* AM: *ἢ* Ald | *οὖν* om AAld | *εἰ ποιήσαιο* Ald | post *κατάληψιν* A *τῶν τε ἀπὸ τῶν μετεώρων καὶ τῶν,* dein lacuna 22 fere litt (quas fere expleas ope Aldinae), tum *ἄλλως. τούτων κτλ.* (vide ad p. 553, 19—21), Ald *καὶ παρατήρησιν ἀκριβῆ τῶν τε ἀπο τῶν μετεώρων καὶ τῶν ἄλλων τῶν προειρημένων οὐδέποτε πλανηθήσηι περὶ τὸν ἀέρα, ἤτοι περὶ τὴν πρόθεσιν τοῦ καταστήματος* ‖ 15, 6 scholia coniunxit Ald *τὸ οὖν οὐδέποτε σχεδίως ἀντὶ τοῦ οὐκ ἂν σχ. εἰκῇ τι* ‖ 17 *πάντα* om AAld ‖ 18 *τοῦ* om A | *ἐνιαυτοῦ* AAld: *ἐν αὐτῳ* M | an *ἔχῃς*? | *οὖν* pro *δὲ* (post *σχεδίως*) Ald ‖ 19 *ἀσκόπως* libri, cf p. 563, 24 ‖ 20 *ἐπίλογος* inscribit Ald ‖ 21 *ἀπαγγελίαν* coni Bekker | *δὲ* M: *μὲν* Ald, om A ‖ 22 *καὶ εἰ μὲν Περσέως ὁ Ἀρ. μν.* Ald | *μέν τοι* cf p. 555, 4 | *ἐμνήσθη* scripsi: *μνησθείη* AAld^{5}, *μνήσθει* M

σέως διερευνᾶν, εἰ δὲ περὶ Βοώτου, τὰ περὶ ἐκείνου, εἰ δὲ περὶ Ἀργοῦς, τὰ περὶ Ἀργοναυτῶν· τοῖς γὰρ βουλομένοις τὰ περιμηκέστερα βιβλία ἢ πλείονα καὶ τοῦ ἀναγκαίου ἐκτὸς καταλιπεῖν, τοιάδ' ὁδός. ὑμῖν δέ τοι καὶ ταῖς κατὰ καιρὸν ἐξηγήσεσι καταλείπω τὸ περιττὸν τῆς συνταγματικῆς ἐκδόσεως. εἴρηται δὲ πάντα τὰ ἀναγκαῖα καὶ συντελοῦντα πρὸς τὸ σαφὲς ἀπεριέργως καὶ ὡς [ἂν] ἀνδρὶ διὰ τῶν μαθημάτων φιλοσοφοῦντι ἐξηγήσασθαι πρέπον ἦν τὰ ποιήματα. ⟨τὰ⟩ δὲ λίαν φανερά, ὡς λέγουσιν, ἐξ ἀγωνίας παραλέλειπται· τί γὰρ ἤπειγεν ἄκαιρον ἐνδείκνυσθαι πολυμάθειαν καὶ καταλέγειν, ὅσων καὶ ἡλίκων ἀστέρων ἕκαστον ἄστρον, καὶ θέσεις διηγεῖσθαι κύκλων πολλῶν μηδὲν εἰς τὸ ποίημα συντελούντων καὶ τὰ ἄλλα, ὅσα γράφουσιν ἀμέτρως, οὐ πολυμάθειαν τὴν ἑαυτῶν εἰς μέσον τιθέντες, πάντες δὲ φιλόσοφοι θέλοντες εἶναι.

1, 2 ἐκεῖνον et τοὺς (om M) ἀργοναύτας libri ‖ 3 περὶ μήκιστα Ald ‖ 3, 4 β. καταλιπεῖν καὶ πλ. καὶ τοῦ ἀν. ἐ. τοσαίδε ὁδοί Ald ‖ 4 scripsi, τοσαίδ' ὁδοί Bekker: τὰ σὰ ὁδός AM | τι M ‖ 4, 5 ἡμεῖς δὲ ἐγκαίρους τὰς ἐξηγήσεις ποιησάμενοι κατελίπομεν τὸ περιττὸν Ald ‖ 5 τῆς συντακτικῆς A Ald ‖ 8 suppl Bekker ‖ 12 ὅλα ὅ. AAld ‖ 13 αὐτῶν AAld, αὐτὴν M.

Arato scholiis instructo subscripsit A εἰς τὸ τέλος ἀράτου: — ἄρατος ὁ ἐν πᾶσι κατάρατος πολλὰ καμὼν καὶ οὐκ ὀλίγα μογήσας δόξας τε καταλαβ... ἐν νῷ καὶ χειρὶ τοῦ μόνου ἀλήπτου καὶ ἀοράτου θεοῦ τῶν ὄντων τε δημιουργοῦ ἔμεινεν ὅπερ ... κατάρατος: — Ald τέλος τῶν τοῦ ἀράτου φαινομένων καὶ διοσημείων καὶ τῶν τοῦ θέονος σχολίων.

III PAPYRVS BEROLINENSIS 5865

I

A

1 ϑε ο
2 βαϑεως εν
3 ϑνησκειν
4 καμενα
5
6 κ
7
8

B

Ursa maior (v. 146) 1 απλοοι απλως και
2 ως ετυχεν δικα ονο
3 ματος κρατι δε
Gemini (v. 147) 4
5 κατ ιϑυ της κεφ(αλης)
6 της ελι(κ)ης
7

Cf p. 314; lemmata Aratea diductis litteris, supplementa mea uncis significavi. — Ceterum lectu haec difficillima sunt; aderat imaginem photographicam iteratis curis tractanti prompto auxilio W. Iudeich collega.

A 3 cuius mors dicatur, mihi non liquet.

B 1—6 cf schol p. 363, quo dicitur cum de aliis tum de Magnae Ursae capitis positione ‖ 2—6 haec legit ante multos annos Blass l c, hodie sunt inlegibilia.

II

Taurus (v. 167 sqq.)	1	*τον την ευρωπην*
	2	*κατεστηριξεν*
Hyades (v. 173)	3	*(οτε) γαρ δυνουσι*
	4	*ν πετρου ν*

1 scil *διαγαγόντα ταῦρον εἰς Κρήτην, ὃν Ζεὺς κατεστήριξεν*, cf schol supra p. 368 ‖ 3 *ὅτε* non legi, legerunt Krebs et Thiele; sermo de Hyadum veriloquio est ‖ 4 cf schol p. 369, 21 ... *δυόμεναι αἴτιαι ὑετοῦ γίνονται.*

III

A

Cepheus (v. 184)	1	*ἴσῃ σταθμῃ α(πο)*
	2	*μερους της αρκτ(ου)*
		οσην
	3	*εως απ αλληλων α*
	4	*βλεψιν ακτῖν εις το βα*
	5	*.κασσειεπεια ειπεν π*
(v. 184)	6	*(ν)εατης αρκτου τ*
	7	*εν γαρ τη πληρο(σε)λη(νω)*
	8	

B

Casiepia (v. 191)	1	*επιρρηδην φανερως*
(v. 194)	2	*υπ(ο)κειμενοι αθριν*
(v. 194)	3	*ινδαλλονται αντιφαι(νονται)*

A 1—4 cf schol p. 373; non extrico 3—5 ‖ 6, 7 cf schol l c *ἐν νυκτὶ δὲ ἐχούσηι πλήρη την σελήνην οὐ πολλὴ καὶ λαμπρὰ φαίνεται ἡ Κασσιέπεια.*

B scripta *επιρρη* (δ) *υποκειμ* (ο incerto, ε legit Iudeich) *ινδαλλον* (τ) *ανφαι* (τ) ‖ 2 *αθριν* non extrico.

IV

1 *ος δ εστι*
2 *ν και μεδουσης*

cf schol de Perseo (v. 251—3) p. 385 *θεωρεῖται — τὴν Γοργόνος κατέχων κεφαλήν* et qui magis quadrat Hyginum (II 18 p. 58 B.) de Equo: 'hunc ... Pegasum, Neptuni et Medusae Gorgonis filium, dixerunt'.

V

Capricornus (v. 294)
1 τωι ναυτη
2 μαλκην οιον
3 ν
4

in margine sinistro super lineas hastas iacentes appinxit.

1, 2 τότε δὲ κρύος ἐκ Διός ἐστι ναύτηι μαλκιόωντι κακώτερον Aratus. ναρκῶντι τῶι ναύτηι. μάλκη δέ ἐστιν ἡ ἐκ ψύχους ἐπὶ ἄκρας χεῖρας καὶ πόδας ἐπανάστασις τοῦ χείματος, τὰ λεγόμενα χείμετλα schol | 3 ν(αρκην) fortasse.

VI

non legibilia.

VII

A

Sirius (v. 337)
1 σημ' εμεν(αι) με(λεεσσιν)
2 αλλα αστερες εισιν
3 οτε δελ αστερας
4 ημισυ ἵππου ἐν τω
5 αδι τυπο
6 αυτον
7 ρ διατ
8 αστρον

B

Sirius (v. 329) κυ(α)ν(εος) αφανης

C

οϑ
κατ

A 1 εμε$^{\nu}$ scriptum, cf III B ‖ 2, 3 cf schol I c ‖ 4 cf Aratus v. 215 (de dimidiato Equo).

B γαστέρα κυάνεος περιτέλλεται Aratus.

C non liquet.

VIII

non legibilia.

VII LEONTIVS

I DE SPHAERAE ARATEAE CONSTRUCTIONE

P(arisinus 2381) s. XV (fol 64^{b}); contuli
Ald(ina), cf p. 314
Matritensem 67 s. XV fol 207 non novi (cf Iriarte p. 232 sqq.)

II DE ZODIACO

A(mbrosianus C 263 inf) s. XIV; contuli
M(arcianus Arati 476) s. XI; descripsi
P(arisinus 2381) s. XV (fol 70^{b}); contuli

I

ΛΕΟΝΤΙΟΥ ΜΗΧΑΝΙΚΟΥ

ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ ΑΡΑΤΕΙΑΣ ΣΦΑΙΡΑΣ

1. *Πρώην, ὦ καλὲ Θεόδωρε, ἐτυγχάνομεν ἐν τῶι μηχανικῶι ἐργαστηρίωι ἐργαζόμενοι. καὶ ἐπυνθάνου, εἴ τις εἴη μέθοδος, δι' ἧς δυνατὸν Ἀρατείαν σφαῖραν κατασκευάσαι οὕτως, ὥστε τὰ ἐν αὐτῆι ζώιδια πρὸς ἄλληλά τε καὶ πρὸς τοὺς ἐν τῆι σφαίραι γραφομένους κύκλους καὶ ἔτι πρὸς ⟨τὰ⟩ ἀνατέλλοντα μέρη τοῦ ζωιδιακοῦ θέσιν ἔχειν σύμφωνον τοῖς ὑπὸ τοῦ Ἀράτου λεγομένοις (ἐτύγχανον γὰρ καὶ τοιαύτην τινὰ σφαῖραν ἐργαζόμενος Ἐλπιδίωι τῶι σχολαστικῶι, ἀνδρὶ ἀξιολόγωι ὁμοῦ καὶ φιλομαθεῖ), ἐγὼ δὲ τότε ἀσχολίας τινὸς ἐγγενομένης οὐδὲν ἔφην. νῦν δ', ἐπεὶ σύ τε καὶ ἄλλοι τινὲς τῶν ἑταίρων παρακαλοῦσι καὶ λόγον τινὰ περὶ τούτου γράψαι, ἔρχομαι τὴν σὴν προθυμίαν ἐκτελέσων.*

2. *ἔστω δὲ δῆλον, ὅτι τοῖς πρώτως μάλιστα ἀναγινώσκουσι τὰ Ἀράτεια χρήσιμος ὁ λόγος, εἴγε καὶ μέλλοιεν τὰ λεγόμενα καταλαμβάνειν· πᾶσαι γάρ, ὡς οἶσθα, αἱ νῦν φερόμεναι σφαῖραι Πτολεμαίωι μέν, ὡς εἰκός, ἔν τισιν, Ἀράτωι δὲ κατὰ τὸ πλεῖστον οὐ συμφωνοῦσιν, ὥστε τῶν πρώτως μάλιστα ἀναγινωσκόντων τὰ Ἀράτεια τοὺς μὲν δυσχερῶς ἐφικνεῖσθαι τῶν λεγομένων τινὰς δὲ μηδ' ὅλως παρακολουθεῖν δύνασθαι. καίτοι ἐπενοήθησαν μὲν αἱ τοιαῦται σφαῖραι πρὸς τὸ νοεῖν σαφῶς τὸν Ἄρατον (διὸ δὴ καὶ παρωνύμως ἀπ' αὐτοῦ λέγονται), καθὼς δὲ ἔφαμεν, ἐν τοῖς πλείστοις αὐτῶι οὐ συμφωνοῦσιν. διὸ δὴ καὶ ἡμεῖς πειρασόμεθα, ὡς μάλιστα δυνατόν, καὶ ἐπὶ πλέον τῶν ἄλλων σύμφωνον τὴν ὑποκειμένην σφαῖραν κατασκευάσαι.*

---

capita distinxi.

9 *σχολῆς* Ald ‖ 10 *καὶ σὺ καὶ* Ald ‖ 12 *ἐκτελῶν* Ald ‖ 13 *πρώτως* corr Thiele, cf l. 17: *-οις* PAld ‖ 14 *μέλλοιεν καὶ* Ald ‖ 21 *καὶ* (pro *δὲ*) Ald ‖ 23 *πλεῖστον* Ald ‖ 24 *σύμφωνον* Ald: *-ως* P

3. *ἰστέον δέ, ὅτι τὰ περὶ τῶν ἄστρων τῶι Ἀράτωι εἰρημένα οὐ πάνυ καλῶς εἴρηται, ὡς ἔστιν ἔκ τε τῶν Ἱππάρχωι καὶ Πτολεμαίωι συντεταγμένων περὶ τούτων μαθεῖν. αἴτια δὲ πρῶτον μὲν καὶ τὰ Εὐδόξου, οἷς μάλιστα ἠκολούθησεν ὁ Ἄρατος, οὐ λίαν ὀρθῶς εἰρημένα, ἔπειτα δέ, ὅτι καὶ οὐ πρὸς τὸ ἀκριβές, ὡς φησι Στόρος ὁ ὑπομνηματιστής* (fr 5, Anal Erat p. 49), *ἀλλὰ πρὸς τὸ χρήσιμον τοῖς ναυτιλλομένοις ταῦτα οὕτω διαγέγραπται, εἰκότως τε ὁλοσχερέστερον περὶ τούτων διαλαμβάνει· καὶ γὰρ καὶ οἱ πλωϊζόμενοι οὐ διὰ μηχανικῶν ὀργάνων καὶ ἀκριβῶς, ἀλλὰ διὰ ψιλῆς ἀναβλέψεως καὶ παχυμερῶς τὴν τῶν ἄστρων θέσιν ἔμελλον ἐπισκοπεῖν. ὥστε καὶ ἡ κατασκευαζομένη σφαῖρα πρὸς μὲν ἄκρα(το)ν ἀλήθειαν οὐδαμῶς, πρὸς δὲ κατάληψιν τῶν Ἀρατείων καὶ πάνυ χρήσιμος. ῥάιδιον δὲ γνόντας ἅπαξ τὰ Ἀράτεια τά τε μὴ καλῶς ἐν αὐτοῖς ἔχοντα καὶ ὡς ἔχει ἀληθείας λέγοντός τινος καταμαθεῖν. ὥστε καὶ πρὸς τὴν ἀλήθειαν διὰ μέσου τινὸς συμβάλλεται ὁ λόγος.*

4. *ἀλλὰ μὴν οὔτε ἐκεῖνο λαθεῖν χρὴ οὔτε τὸν περὶ τῶν ἄστρων λόγον· εἰς τρία γὰρ μέρη διαιρεῖ τοῦτον ὁ Ἄρατος, καὶ ἐν μὲν τῶι πρώτωι διδάσκει περὶ τῆς πρὸς ἄλληλα αὐτῶν θέσεως (ὥσπερ ὅταν λέγηι, ὅτι αἱ Ἄρκτοι κεῖνται τὰς κεφαλὰς ἔχουσαι ἐπὶ τὰς ἀλλήλων ἰξύας νευούσας* (28)), *ἐν δὲ τῶι δευτέρωι περὶ τῆς νοουμένης αὐτῶν ὑπὸ τῶν κύκλων τομῆς ἢ ὁποιασοῦν αὐτῶν πρὸς τοὺς κύκλους σχέσεως (οἷον ἐπὶ ὑποδείγματος τομῆς μέν, ὅτι οἱ Δίδυμοι τέμνονται ὑπὸ τοῦ θερινοῦ τροπικοῦ κατὰ τὰς κεφαλάς* (481), *σχέσεως δέ, ὅτι αὐτὸς ἐγγύς ἐστι τοῦ ἰσημερινοῦ), ἐν δὲ τῶι λοιπῶι περὶ τῆς γενομένης αὐτῶν πρὸς τὰ ἀνατέλλοντα μέρη τοῦ ζωιδιακοῦ στάσεως (οἷον ὅτι Καρκίνου μὲν ἀνατέλλοντος δύνει τὸ ἥμισυ τοῦ Στεφάνου* (574), *Χηλῶν δὲ ἀνατελλουσῶν ἀνατέλλει τὸ ἥμισυ αὐτοῦ* (625), *καὶ ὅτι Κριοῦ ἀνατέλλοντος τὸ Θυμιατήριον ὁρᾶται ἐπὶ δύσιν* (710), *καὶ τὰ παραπλήσια). ὥστε, ἂν θελήσωμεν ἕκαστον τῶν ζωιδίων κατὰ πάντα συμφώνως ἐντάξαι, δεήσει τοῖς τρισὶ τόποις ἐντυγχάνοντας ἐπισκέψασθαι, εἴ τι⟨να⟩ λέγονται περὶ τοῦ ζητουμένου ζωιδίου κατὰ μέρος ἐν τῶι ἑνὶ ἤτοι τοῖς δυσὶν ἢ καὶ ἐν τοῖς τρισὶ τμήμασιν,*

---

3 *αἴτια* scripsi: *-ον* PAld ‖ 3—5 *πρῶτον μὲν ἐπεὶ κ. — ὀρθῶς εἴληπται ἔπειτα* Ald ‖ 10 *ἀστέρων* Ald ‖ 12 supplevi ‖ 13 *γνόντας* scripsi: *γνόντες* P Ald ‖ 18 *ἀστέρων* Ald, cf ad l. 10 | *τρία μέρη διαιρεῖ ὁ Ἀρ.* Ald ‖ 20 *ὥστε* Ald ‖ 22 *αὐτῶν* Ald, tres litt resectae P | *τῆς* post *ὑπὸ* add Ald: om P ‖ 23 *ὑπὸ ὑπ.* Ald ‖ 28, 9 *ἀνατελλουσῶν* Ald et ita Aratus: *δυνουσῶν* P ‖ 33 supplevi | *καὶ κατὰ* Ald ‖ 34 *δ. ἤτοι καὶ ἐν τοῖς* Ald

ἐὰν ⟨δ'⟩ οὕτω τύχηι, καὶ τὰ περὶ αὐτοῦ λεγόμενα εἰς ἓν συναγαγόντας ἔν τινι πτυχίωι ἤτοι σχεδαρίωι πρὸς τὸ ἕτοιμον σχεδιάσαι. οἷον σαφηνείας ἕνεκεν τῶν λεγομένων ἡμῖν ἐπὶ τοῦ Ὀφιούχου ὁ λόγος ἔστω· τούτου γὰρ ἐν τοῖς τρισὶ τόποις μέμνηται. ἐπειδὴ τοίνυν ἐν μὲν τῶι πρώτωι μέρει λέγει περὶ αὐτοῦ, ὅτι ὁ Ὀφιοῦχος κεῖται ὀρθὸς τὴν κεφαλὴν ἔχων πρὸς τὴν κεφαλὴν τοῦ Ἐν γόνασι (74, 5), τοὺς δὲ πόδας ἐπὶ τοῖ θώρακος τοῦ Σκορπίου καὶ τοῦ ὀφθαλμοῦ (85), καὶ ὅτι περὶ τὸ μέσον αὐτοῦ εἱλεῖται ὁ Ὄφις (82, 3) καὶ ἐν ταῖς χερσὶν αὐτοῦ στρέφεται ὀλίγος μὲν τῆι δεξιᾶι πολὺς δ' εἰς τὸ ὕψος τῆι ἀριστερᾶι (86, 7), καὶ ὅτι τὰ γένεια τοῦ κατ' αὐτὸν Ὄφεως παράκειται τῶι Στεφάνωι (88), ἔτι δέ, ὅτι ἔχει ἀστέρας ἐπὶ μὲν τῶν ὤμων λαμπρούς, ἐπὶ δὲ τῶν χειρῶν ἥττον λαμπρούς (77—80), καὶ ὅτι ὑποκάτω τῆς σπείρας τοῦ Ὄφεώς εἰσιν αἱ Χηλαί (89), ... καὶ τέμνεται μὲν ὑπὸ τοῦ χειμερινοῦ τροπικοῦ κατὰ τοὺς ὤμους (488), ὑπὸ δὲ τοῦ ἰσημερινοῦ κατὰ τὰ γόνατα (521), ἐν δὲ τῶι τρίτωι πάλιν σποράδην, ὅτι Καρκίνου μὲν ἀνατέλλοντος δύνει ἀπὸ γόνατος ἕως τῶν ὤμων κατάγων τὸν Ὄφιν [ἕως τοῦ] αὐχένος ἐγγύς (577, 8), Σκορπίου δὲ ἀνατέλλοντος ἀνατέλλουσιν αἱ κεφαλαὶ αὐτῶν καὶ αἱ χεῖρες τοῦ Ὀφιούχου καὶ ἡ προτέρα καμπὴ τοῦ Ὄφεως (666—8), Τοξότου δὲ ἀνατέλλοντος ἀνατέλλει ἡ σπεῖρα τοῦ Ὄφεως καὶ τὸ σῶμα τοῦ Ὀφιούχου (665, 6), πάντα ταῦτα συναγαγόντες ἔν τινι τόμωι ἀπογραψόμεθα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ποιητέον· πρόκειται γὰρ ἐπὶ ταῖς ἐφόδοις καὶ ἀκόπους τοὺς ἐντυγχάνοντας παρασκευάζειν. καὶ τὰ περὶ τῶν ἄλλων ζωιδίων ἑκάστου κατὰ μέρος λεγόμενα εἰς ἓν συνάψαντες ὁμοίως τοῖς ἐπὶ τοῦ Ὀφιούχου εἰρημένοις ἐν τῶι τέλει τοῦ λόγου παραθήσομεν (cf l. 22, 3). κἀκεῖνο μέντοι χρήσιμον ὂν πρὸς τὸ προκείμενον καλῶς ἔχει παραβάλλειν, ὅτι ἓξ ἐν ταῖς Ἀρατείαις σφαίραις κύκλους ἐντακτέον, πρῶτον τὸν μέγιστον τῶν ἀεὶ φανερῶν, τὸν καὶ ἀρκτικὸν ὀνομαζόμενον, δεύτερον τὸν θερινὸν τροπικόν, τρίτον τὸν ἰσημερινόν, τέταρτον τὸν χειμερινὸν τροπικόν, πέμπτον τὸν μέγιστον τῶν ἀεὶ ⟨ἀ⟩φανῶν, τὸν καὶ ἀνταρκτικὸν προσαγορευόμενον, ἕκτον τὸν ζωιδιακόν, τὸν καὶ ἐφαπτόμενον τῶν τροπικῶν· περὶ μὲν γὰρ τῶν τεσσάρων

---

1 τύχηι Ald: τύχ^{ει} τοῖς P | τὰ ante λεγ. Ald ‖ 2 σχεδιάσασθαι Ald ‖ 4 ἔστω om Ald | inscribit *Περὶ τοῦ Ὀφιούχου* Ald | τούτου καὶ γὰρ ἐν Ald ‖ 5 μὲν om Ald ‖ 6 τὴν μὲν Ald ‖ 7 τοῦ θώρ. Ald ‖ 8 αὐτοῦ om Ald ‖ 14 suppleas fere ⟨ἐν δὲ τῶι δευτέρωι σποράδην, ὅτι⟩ ... ‖ 18 seclusi | ἐγγὺς τοῦ αὐχένος Ald ‖ 23 ἀπογραψώμεθα PAld ‖ 24, 5 παρασκευάζει P ‖ 25 τὰ post ἑκ. add Ald

(λέγω δὴ τοῦ θερινοῦ καὶ ἰσημερινοῦ καὶ χειμερινοῦ καὶ τοῦ ζωιδιακοῦ) πολὺν ποιεῖται λόγον, περὶ δὲ τῶν λοιπῶν ἐναργῶς μὲν οὐ μέμνηται, ἐξ ὧν δέ φησι περὶ τοῦ Δράκοντος, ὅτι ἐκείνου ἡ κεφαλὴ κατ' ἐκεῖνο τὸ μέρος ἐστὶ τοῦ οὐρανοῦ, καθ' ὃ αἵ τε ἀνατολαὶ καὶ αἱ δύσεις μίγνυνται ἀλλήλοις (61, 2), δῆλον ποιεῖται, ὅτι τὴν κεφαλὴν τοῦ Δράκοντος ἐν τῶι μεγίστωι τῶν αἰεὶ φανερῶν βούλεται εἶναι· οὗτος γὰρ καὶ μόνος διὰ τῆς βορείας κοινῆς τομῆς τοῦ τε ἀνατολικοῦ ἡμικυκλίου τοῦ ὁρίζοντος καὶ τοῦ δυτικοῦ τὴν περιφέρειαν ποιεῖται. ἀπὸ δὲ τούτου καὶ τὸν ἀνταρκτικὸν ὅμοιόν τε καὶ ἴσον ὄντα τῶι ἀρκτικῶι ἐμποητέον. δυνατὸν δέ ἐστι καὶ ἑτέρως περὶ τῶν δύο τούτων κύκλων ἐξ αὐτῶν πάλιν τῶν Ἀρατείων παραμυθήσασθαι. τὴν δὲ τοῦ Γάλακτος ζώνην οὐκ ἐντακτέον, ἐπειδὴ πρὸς τῶι ποικίλην εἶναι οὐδὲ πολλὴν περὶ αὐτῆς καταβάλλει μνήμην. ὅτι δὲ ποικίλη ἐστὶ καὶ περιεργοτέρας ἐπιστάσεως δεομένη, δῆλον ἐξ ὧν καὶ Πτολεμαῖος ἐν τῶι ὀγδόωι βιβλίωι τῆς Συντάξεώς φησιν (p. 202 Bas)· οὐ γὰρ 'ὁμαλή τίς ἐστιν οὐδὲ τεταγμένη, ἀλλὰ καὶ τῶι πλάτει καὶ τῶι χρώματι καὶ τῆι πυκνότητι καὶ τῆι θέσει διάφορος'. δεῖ δὲ ἑκάτερον μὲν τῶν τροπικῶν ἀπέχειν τοῦ ἰσημερινοῦ μεγίστου ὄντος τὰς δεδειγμένας τῶι Πτολεμαίωι ἐν τῶι τετάρτωι βιβλίωι τῆς Συντάξεως (I p. 23 Bas?) μοίρας κδ', ἑκάτερον δὲ τῶν ἄλλων (λέγω δὴ τόν τε ἀρκτικὸν καὶ τὸν ἀνταρκτικόν) ἀπέχειν τοῦ καθ' ἑαυτὸν πόλου τῆς σφαίρας μοίρας μά, εἴγε μέλλει συμφώνως τῶι Ἀράτωι τὸ ὑπὲρ γῆν τμῆμα τοῦ θερινοῦ, τουτέστιν ἡ μεγίστη ἡμέρα, τοιούτων εἶναι πέντε, οἵων ὅλος ὁ θερινός, τουτέστιν ὅλον τὸ νυχθήμερον, ὀκτώ (497—9)· κατὰ γὰρ τὴν τοιαύτην θέσιν τῆς σφαίρας καὶ τὸ τοσόνδε μέγεθος τῆς μεγίστης ἡμέρας σώιζεται, ὡς ὀλίγωι ὕστερον μαθησόμεθα (p. 566).

5. τούτων δὲ οὕτως διειλημμένων ἡμῖν ἔλθωμεν ἐπὶ τὸ προκείμενον. στάσις μὲν οὖν ἡ ἐπὶ τοῖς κίοσιν ἴτυς, ἣ δὴ καὶ ὁρίζοντος τάξιν ποιεῖται, καὶ ἕτερος δὲ ἴσος μὲν τῆι βάσει καὶ φέρων τὴν σφαῖραν κρίκος, μεσημβρινοῦ δὲ λεγόμενος τάξιν ἐπέχειν, ὁμοίως μὲν τοῖς ἐν ταῖς ἄλλαις σφαίραις γίνονται, ἐπιμελῶς δὲ καὶ τεχνικῶς οὕτως, ὥστε τὴν σφαῖραν πάντοθεν μὲν ἴσον ἀπέχειν ἀπὸ τῆς κοίλης ἐπιφανείας τοῦ τε ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ, διχοτομεῖσθαι δὲ ὑπὸ τῆς ἄνωθεν τοῦ ὁρίζοντος

1 τοῦ χειμ. Ald ‖ 3 ἐξ οὗ Ald ‖ 9 περιφορὰν Ald ‖ 10 ἐννοητέον P Ald: correxi e l. 13 ‖ 11 κύκλων τούτων Ald ‖ 24 ἡ om Ald ‖ 25 οἷον Ald | 29 ἡμῖν διειλ. Ald ‖ 32 κρῖκος P, κρικῶν Ald | λεγόμενος scripsi: λέγει P Ald ‖ 32, 3 ἐπέχων Ald ‖ 33 ταῖς ἐν PAld

ἐπιφανείας. τοῦτο δὲ ἔσται, ἐὰν καὶ ὁ μεσημβρινὸς μέσην τε καὶ κατὰ διάμετρον τέμνων τὴν σφαῖραν δίχα τέμνηι καὶ τὸν ὁρίζοντα καὶ αὐτὸς διχοτομῆται ὑπὸ τῆς ἄνωθεν τοῦ ὁρίζοντος ἐπιφανείας. ἔχοντες δὲ πρότερον τοῦ ὑπὲρ γῆν ἐσομένου ἡμικυκλίου, ὡς ἔθος, μίαν πλευρὰν εὐθείαις γραμμαῖς κατὰ διάμετρον κειμέναις εἰς ἴσας μοίρας διηιρημένην, τουτέστιν εἰς ρπ΄ ἴσα τμήματα, πρὸς τὴν τῶν ἑξαρμάτων, ἤτοι κλιμάτων, ἐπίγνωσιν καὶ χρώσαντες τὴν σφαῖραν, ἐὰν ἦι ξυλίνη, καὶ περιπλάσαντες πρῶτον μὲν γύψωι ἢ κηρῶι, ὥστε καὶ τὰς ἐν αὐτῆι ῥαγ⟨ά⟩δας, ἐὰν ἄρα τύχωσι, θεραπεῦσαι, ἔπειτα δὲ ξηραινομένου τούτου δηλαδὴ καὶ ἄλλωι βαθεῖ τινι χρώματι ἐπαλείψαντες, οἷον τῶι καλουμένωι λαζουρίωι, ἀφιστάντες δηλονότι μετὰ τὸ ξηρανθῆναι ἐπὶ τοῦ διηιρημένου τοῦ μεσημβρινοῦ ἡμικρικίου ἀπὸ τοῦ βορείου πόλου μοίρας μα΄ κατατίθεμεν κατὰ τοῦ ἑτέρου πέρατος ἐπὶ τῆς τῶν μα΄ μοιρῶν διαστάσεως, τουτέστιν ἐπὶ τὴν ἀφορίζουσαν ἐν τῆι διηιρημένηι τοῦ ἡμικρικίου πλευρᾶι τὴν τῶν μα΄ μοιρῶν περιφέρειαν, βελόνην τινὰ ὀρθὴν μὲν πρὸς τὴν κυρτὴν καὶ [τὴν] κοίλην τοῦ ἡμικρικίου ἐπιφάνειαν, τουτέστι νεύουσαν ἐπὶ τὸ μέσον τῆς σφαίρας, τέμνουσαν δὲ ἐπὶ ποσὸν καὶ διεισδύνουσαν τὰ περὶ τὴν σφαῖραν χρώματα. ἐὰν ἄρα ταύτης μενούσης ἀκινήτου περιστρέψωμεν τὴν σφαῖραν ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτό, τουτέστιν ἐπὶ μίαν στροφὴν αὐτὴν κινήσωμεν, ἐκτορνευθήσεται ἡμῖν κίκλος τὴν αὐτὴν τάξιν ἔχων καὶ ὁμοταγῆ τῶι κατὰ τὸν Ἄρατον ἀρκτικῶι κύκλωι· καὶ γὰρ κατὰ τοῦτον, ὡς ἔφαμεν (p. 564, 17), ὁ ἀρκτικὸς κίκλος ἀπέχει ἀπὸ βορείου πόλου μοίρας μα΄. ὁμοίως δὲ ἀποστάντες ἀπὸ μὲν τοῦ βορείου ἢ νοτίου πόλου μοίρας ἐννενήκοντα γράψωμεν τὸν ἰσημερινόν, ἀπὸ δὲ τοῦ νοτίου μοίρας πάλιν μα΄ γράψωμεν τὸν ἀνταρκτικὸν ἴσον τε καὶ ὅμοιον ὄντα τῶι ἀρκτικῶι, ἔτι δὲ ἀφιστάντες μοίρας κδ΄ ἀπὸ τῆς κατὰ τὸν ἰσημερινὸν εὐθείας ἐπὶ μὲν τὸ βόρειον μέρος χαράξωμεν τὸν θερινὸν τροπικόν, ἐπὶ δὲ τὸ νότιον τὸν χειμερινὸν τροπικόν· καὶ γὰρ καὶ τούτων ἑκάτερος, ὡς ἔφαμεν (l 6), ἀπέχει ἀπὸ τοῦ ἰσημερινοῦ μοίρας κδ΄. πάλιν δὲ ἀποστάντες ἐπὶ τοῦ αὐτοῦ ἡμικρικίου [καὶ] ἀπὸ τοῦ βορείου πόλου μοίρας κδ΄, ὅσον καὶ οἱ τροπικοὶ ἀπὸ τοῦ ἰσημερινοῦ διεστήκασι, λάβωμέν τι σημεῖον

2 διάμετρον τὴν σφαῖραν δίχα τέμνων τὸν ὁρ. Ald ‖ 3 διχοτομεῖται Ald ‖ 6 εἰς τὰς μ. PAld | διηιρημένην Ald: -αις P | ἑκατὸν π΄ Ald ‖ 8 παραπλάσαντες PAld ‖ 9 κηρίωι Ald | supplevi ‖ 14 τέρατος Ald | παρὰ τῆς Ald ‖ 15 κατὰ τῆς ἀφοριζούσης Ald; scil γραμμήν ‖ 27, 8 γράψομεν Ald ‖ 30 χαράξομεν PAld ‖ 33 ἐπὶ scripsi, cf l. 12, 3: ἀπὸ PAld ‖ 34 seclusi

ἀπὸ τῆς ἐπιφανείας τῆς σφαίρας. ᾗ ὡς πόλωι χρησάμενοι, διαστήματι δὲ τῆι τοῦ πόλου πλευρᾶι τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου γράψωμεν διὰ τοῦ διαβήτου τοῦ λεγομένου καρκίνου τὸν ζωιδιακὸν κύκλον, ἐφαπτόμενον δηλονότι τῶν τροπικῶν, διχοτομούμενον δὲ ὑπὸ τοῦ ἰσημερινοῦ. ὃν εἰς ιβ΄ ἴσα μερίσαντες τὰς ἀρχὰς τῶν δωδεκατημορίων ἀπό [τε] τῶν κατὰ τὸν ἰσημερινὸν αὐτοῦ τομῶν καὶ τὴν πρὸς τοὺς τροπικοὺς ἐπαφὴν αὐτοῦ ποιησάμενοι σημειωσώμεθα τοὺς μὲν ἓξ κύκλους ἑτέρωι τινὶ παρὰ τὸ βαθὺ χρώματι γράψωμεν τε λευκῶι τινι, εἰ τύχοι, καὶ ἀερίωι χρώματι πρὸς τὸ μετὰ τὴν χρείαν εὐχερῶς ἀπαλειφθῆναι δύνασθαι πρὸς μὲν τῆι πρὸς τὸν θερινὸν ἐπαφῆι τὸ τοῦ Καρκίνου ὄνομα διὰ τὸ ἐνταῦθα τὴν ἀρχὴν εἶναι τοῦ κατὰ Καρκίνον δωδεκατημορίου, πρὸς δὲ τῆι ἑφεξῆς διαιρέσει καὶ ἐπ᾽ ἀνατολὴν τὸ τοῦ Λέοντος ὄνομα, ἐπεὶ καὶ αὐτὴ ἡ διαίρεσις πέρας μέν ἐστι τοῦ Καρκίνου, ἀρχὴ δὲ τοῦ κατὰ τὸν Καρκίνον δωδεκατημορίου, πρὸς δὲ τῆι τρίτηι πάλιν καὶ ἐπ᾽ ἀνατολὰς τὸ τῆς Παρθένου καὶ οὕτως ἑφεξῆς ἀκολούθως, ἕως οὗ πάντων ⟨ἂν⟩ τῶν δωδεκατημορίων τὰ ὀνόματα κατὰ τὸν οἰκεῖον τόπον σημειωσώμεθα.

6. τούτων οὕτως ἐχόντων, ἐὰν χαλάσωμεν τὸν κατὰ τὸν μεσημβρινὸν κρίκον διὰ τῶν ἐπὶ τοῦ ὁρίζοντος ἐντομῶν, δηλαδὴ εἰς τὴν βάσιν, οὕτως, ὥστε ἑκάτερον τῶν μικρῶν κύκλων, τουτέστι τόν τε ἀρκτικὸν καὶ τὸν ἀνταρκτικόν, στρεφομένης τῆς σφαίρας ἅπτεσθαι τῆς ἄνω τοῦ ὁρίζοντος ἐπιφανείας καὶ τῆς κάτω, ἀλλὰ τὸν μὲν ἀρκτικὸν τῆς ἄνω, τὸν δὲ ἀνταρκτικὸν τῆς κάτω, εὔδηλον, ὅτι ὁ θερινὸς καὶ ὁ χειμερινὸς ἑκάτερος διαιρεθήσεται ὑπὸ τῆς ἄνωθεν τοῦ ὁρίζοντος ἐπιφανείας καὶ τῆς κάτω κατὰ λόγον τῶν ιε΄ πρὸς τοῖς Θ΄. τουτέστιν· ἔσται ἐπὶ τοῦ θερινοῦ τροπικοῦ τὸ μὲν ὑπὲρ τὸν ὁρίζοντα καὶ ὡσανεὶ τῆς ἡμέρας τμῆμα τοιοῦτον ὡρῶν ιε΄, οἷον ὅλος ἐστὶν ὁ κύκλος, τουτέστι τὸ νυχθήμερον, κδ΄, τὸ δὲ ὑπὸ τὸν ὁρίζοντα καὶ τὸ τῆς νυκτὸς διάστημα ὡρῶν Θ΄, ἐπὶ δὲ τοῦ χειμερινοῦ ἀνάπαλιν τὸ μὲν ὑπὲρ γῆν Θ΄, τὸ δὲ ὑπὸ γῆν ιε΄· κατὰ γὰρ τὴν τοιαύτην θέσιν τῆς σφαίρας, τουτέστιν ἐφ᾽ ἧς ὁ μέγιστος τῶν ἀεὶ φαινομένων κύκλων μα΄ μοίρας ἀπὸ τοῦ πόλου διέστηκε, καὶ τοιαύτη τομὴ τῶν κύκλων

---

2 τοῦ Ald: τῆι P ‖ 3 γράψομεν δὲ Ald ‖ 5 διχοτομουμένων Ald ‖ 6 seclusi ‖ 7, 8 αὐτοῦ ἐπαφὴν π. σημειωσόμεθα Ald ‖ 9 τῶι βαθεῖ PAld | γράψομεν Ald ‖ 10 ἀερίω P: ξαρίωι Ald ‖ 14, 6 utitur Leonis et Virginis signis, non nominibus PAld ‖ 16 πάλλιν P ‖ 18 τύπον PAld | σημειωσόμεθα PAld ‖ 27 μὲν post ἐπὶ Ald ‖ 28 τμήματα PAld ‖ 28, 9 τοιούτων PAld ‖ 29 ιε΄ ὡρῶν Ald | οἷων P | ἔστω Ald | ὅλος ὁ Ald ‖ 32 γὰρ om P

γίνεται, ὡς δείκνυσιν ὁ Πτολεμαῖος ἐν τῶι δευτέρωι βιβλίωι τῆς Συντάξεως (p. 25 Bas?). ὁ αὐτὸς λόγος ἐστὶ τῶν ιε΄ πρὸς τὰ ϑ΄ καὶ ὁ τῶν ε΄ πρὸς τὰ γ΄· καὶ γὰρ ὁ πέντε ἔχει ὅλον τε τὸν γ΄ καὶ τὸ δίμοιρον αὐτοῦ τὸν δύο, ὥσπερ ὁ ιε΄ ἔχει ὅλον τὸν ϑ΄ καὶ τὸ δίμοιρον αὐτοῦ τὸν ἕξ, ὥστε κατὰ τὴν τοιαύτην ϑέσιν τῆς σφαίρας, οἷον μὲν ἐπὶ τοῦ ϑερινοῦ τροπικοῦ τὸ ὑπὲρ γῆν τμῆμα ε΄, τοιοῦτον τὸ ὑπὸ γῆν γ΄, οἷον δὲ ἐπὶ τοῦ χειμερινοῦ τὸ ὑπὲρ γῆν γ΄, τοιοῦτον τὸ ὑπὸ γῆν ε΄, συμφώνως τοῖς ὑπὸ τοῦ Ἀράτου λεγομένοις. διελϑόντες δὲ εἰς τὴν βάσιν κατὰ τὸν εἰρημένον τρόπον τοῦ ἰσημερινοῦ, εἰ περιστρέψαιμεν τὴν σφαῖραν, ἕως οὗ ⟨ἂν⟩ ἡ ἀρχὴ τοῦ κατὰ τὸν Καρκίνον δωδεκατημορίου ἀνατείλῃι ἐν τῶι αὐτῶι ἐπιπέδωι γενομένη τῆι ἄνω τοῦ ὁρίζοντος ἐπιφανείαι, ἀσφαλισάμενοί τε τὴν σφαῖραν, τουτέστι κηρῶι ἤ τινι τοιούτωι, ἀκίνητόν τε αὐτὴν ποιήσαντες γράψωμεν πάλιν ἐν τῆι σφαίραι κύκλον ἐρχόμενον διὰ τῆς ἀρχῆς τοῦ Καρκίνου, ὁμοταγῆ δὲ καὶ ἐν τῶι αὐτῶι ἐπιπέδωι γινόμενον πάντοτε τῶι ὁρίζοντι κατὰ τὴν τοῦ εἰρημένου δωδεκατημορίου ἀνατολήν. γράψωμεν δὲ αὐτὸν βελόνηι τινί, περιφέροντες μὲν αὐτὴν καϑ' ὅλης τῆς τοῦ ὁρίζοντος περιφερείας, οὕτω δ' αὐτὴν σχηματίζοντες, ὥστε τὸν δι' αὐτῆς ἐγγραφόμενον ἐν τῆι σφαίραι κύκλον ἐν τῶι αὐτῶι, ὡς ἔφαμεν (l. 10), ἐπιπέδωι γενέσϑαι τῆι ἄνω τοῦ ὁρίζοντος ἐπιφανείαι. ἐπιγράψωμεν δὲ τὸν κύκλον δι' ὀλίγων γραμμάτων κατὰ μὲν τὸ ἀνατολικὸν αὐτοῦ ἡμικύκλιον Καρκίνου ἀνατολικόν, κατὰ δὲ τὸ δυτικὸν Καρκίνου δυτικόν. τουτέστι, σημειωσώμεϑα ἐπὶ τῶν ἡμικυκλίων γράψαντες γράμματά τινα, οἷον ὅτι τοῦτο μέν ἐστι τὸ κατὰ τὴν ἀνατολὴν τοῦ Καρκίνου, τουτέστιν, ὅταν ἡ ἀρχὴ τοῦ κατὰ τὸν Καρκίνον δωδεκατημορίου ἀνατείλῃ, ποῖον μὲν τῆς σφαίρας ἡμισφαίριον ὑπὲρ γῆν ἐστι, ποῖον δὲ ὑπὸ γῆν. γράψωμεν δὲ ἐπὶ τῶν ἡμικυκλίων τὰ διαγράμματα.

---

3 *τρία* Ald ‖ 4 *τὴν δίμ.* Ald ‖ 5 *τὸν ἕξ* scripsi: *τὰ ἕξ* PAld ‖ 6 *οἷον* Ald: *οἷων* P ‖ 7 *οἷον* Ald: *οἷων* P ‖ 8 *γ. τρίτον* PAld ‖ 9 *ἐπελϑόντες* Ald | *δὲ* om Ald ‖ 14 *γράψομεν* Ald ‖ 17, 8 *γράφωμεν* P, *γράφομεν* Ald ‖ 18 *δὲ* om P ‖ 22 *ἐπιγράψαντες τὸν* Ald ‖ 24, 5 *σημειωσάμενοι* Ald ‖ 25 *καὶ* ante *γράψ.* add Ald ‖ 29 *γράψομεν* Ald | *γράμματα* Ald

II

ΕΚ ΤΩΝ ΛΕΟΝΤΙΟΥ ΜΗΧΑΝΙΚΟΥ

ΠΕΡΙ ΤΟΥ ΖΩΙΔΙΑΚΟΥ ΚΥΚΛΟΥ

1. *Ὅτι διὰ δύο αἰτίας καλεῖται ζωιδιακός, ἢ διὰ τὰ περιεχόμενα ἐν αὐτῶι ιβ΄ ζώιδια ἢ διὰ τὸ τὴν ζωὴν τῶν ἐνταῦθα σημαίνειν ἢ ποιεῖν. ὅτι δὲ κύκλος, διὰ πολλὰς αἰτίας, ἢ διὰ τὸ μιμεῖσθαι τὸν δημιουργόν (ὥσπερ γὰρ ὁ δημιουργὸς οὔτε ἀρχῆι ὑποπίπτει οὔτε τέλει, οὕτω καὶ ὁ κύκλος οὐκ ἔχει οὔτε ἀρχὴν οὔτε τέλος), ἢ διὰ τὸ στερεὸν εἶναι τὸ τοῦ κύκλου σχῆμα, ἢ διὰ τὸ εὐκίνητον τοῦ σχήματος, ἢ διὰ τὸ πολυχώριτον αὐτοῦ.*

2. *ἐφάπτεται δὲ ὁ ζωιδιακὸς ἑκατέρων τῶν τροπικῶν κύκλων, καὶ τοῦ χειμερινοῦ μὲν τροπικοῦ ἐφάπτεται κατὰ τὸν Αἰγοκέρωτα, τοῦ δὲ θερινοῦ τροπικοῦ κατὰ τὸν Καρκίνον, τοῦ δὲ ἰσημερινοῦ ἐφάπτεται κατὰ δύο σημεῖα ὁμοίως, κατά τε τὸν Κριὸν καὶ τὸν Ζυγόν, ἐν μὲν τῶι Κριῶι ποιῶν τὴν ἰσημερίαν τὴν ἐαρινήν, ἐν δὲ τῶι Ζυγῶι τὴν ἰσημερίαν τὴν φθινοπωρινήν.*

3. *συγκινεῖται δὲ τῶι οὐρανῶι ὁ ζωιδιακὸς κύκλος καὶ κατὰ τὴν ἰδίαν αὐτοῦ κίνησιν ἔχει ἐναντίαν τινὰ τῶι κόσμωι φοράν. εἰδέναι δὲ δεῖ, ὅτι καὶ τὰ ἐν τῆι ἀπλανεῖ σφαίραι ἄστρα ἔχει ἰδίαν τινὰ κίνησιν, ὡς Πτολεμαῖος ἀποδείκνυσι* (Magna Synt I p. 6 sq. Bas), *καὶ ἕκαστος τῶν ἀστέρων τούτων κινεῖται κατὰ τὴν ἰδίαν αὐτοῦ κίνησιν διὰ ἑκατὸν ἐτῶν μοῖραν μίαν πρὸς τὸ μέ-*

---

capita distinxi.

1 *ἐκ τῶν λεοντίου μηχανικοῦ* A: om MP ‖ 2 *ζωδιακοῦ* AMP ut semper ‖ 3 *ὅτι* om AP | *ζωδιακὸς καλεῖται* P ‖ 4 *ὑπ' αὐτοῦ* AP | *ζώδια* AMP ut semper ‖ 5 *ὅτι* om AP | *κύκλος δὲ* AP ‖ 8 *διὰ τὸ τοῦ κύκλου σχῆμα στερεὸν εἶναι* M ‖ 11 *καὶ* om MP | *μὲν* om AM ‖ 12 *τροπικοῦ* om AP ‖ 13 *σημεῖα ὁμοίως* om M | *τὸν* om M ‖ 14 *τῶι* om M ‖ 15 *τῶι* om M | post *ζυγῶι* add *ποιῶν* MP ‖ 17 *τινὰ* om AP | *σημείωσαι* in margine P ‖ 18 *δὲ* om A ‖ 19 *τινὰ ἰδίαν* MP ‖ 21 *κινεῖται* (post *κίνησιν*) M, *κίνησιν αὐτοῦ κινεῖται διὰ* A | $\overline{\rho}$ P

γεθος τοῦ ἑαυτοῦ κύκλου, τὰς δὲ τῶν τροπικῶν μοίρας μείζους εἶναι τῶν μοιρῶν τοῦ ἀρκτικοῦ, ἐπειδήπερ καὶ οἱ τροπικοὶ κύκλοι μείζους εἰσὶ τοῦ ἀρκτικοῦ καὶ τοῦ ἀνταρκτικοῦ. ὅμως δὲ εἰς ἴσας τῶι ἀριθμῶι μοίρας διηιρημένοι εἰσὶν οἱ κύκλοι, κἂν τε ἴσοι ὦσιν ἀλλήλοις κἂντε ἄνισοι.

4. κινεῖται δὲ λοξῶς ὁ ζωιδιακός, ἄλλος δὲ οὐδεὶς τῶν κύκλων ἄνευ τοῦ γαλαξίου, ἐπειδὴ ὁ ἥλιος οὐδένα τῶν ἄλλων κύκλων διικνεῖται, ἀλλὰ τὸν ζωιδιακὸν μόνον. καὶ ἐπειδὴ ὁ ἥλιός ἐστιν ὁ τὰ ἐνταῦθα ψύχων καὶ θερμαίνων καὶ ὑγραίνων καὶ ξηραίνων καὶ τὰς διαφόρους τροπὰς ποιῶν (λέγω δὴ ἐαρινὴν θερινὴν φθινοπωρινὴν καὶ χειμερινήν), κατ' εὐθεῖαν δὲ κινούμενος οὐκ ⟨ἂν⟩ ἠδύνατο τὰ ἐνταῦθά ποτε μὲν ψύχειν, ποτὲ δὲ θερμαίνειν, ἀλλ' ἦν ἀνάγκη τοὺς αὐτοὺς τόπους ἀεὶ θερμαίνεσθαι καὶ μηδέποτε ψύχεσθαι καὶ ἑτέρους τόπους ἀεὶ ψύχεσθαι καὶ μηδέποτε θερμαίνεσθαι, καί, εἰ τοῦτο ἦν, οὔτε καρποὶ ἐφύοντο ἄν οὔτε τὰ ἡμέτερα σώματα ἐσώιζοντο, ἅτε δὴ ἐξ ἐναντίας κείμενα (οὐ μόνον γὰρ ψύξεως χρήιζομεν καὶ θερμότητος, ἀλλὰ καὶ ὑγρότητος καὶ ξηρότητος, ἅτε δὴ ἐκ τούτων συγκείμενοι), εἰκότως ἄρα ὁ δημιουργὸς λοξὸν ἐποίησε τὸν ζωιδιακόν. ὅτε οὖν γίνεται ὁ ἥλιος εἰς τὰ βόρεια μέρη, θερμαίνεται τὰ ἐνταῦθα, ὅτε δὲ εἰς τὰ νότια, ψύχεται τὰ ἐνταῦθα. καὶ αὕτη μέν ἐστιν ἡ αἰτία, δι' ἣν λοξῶς κινεῖται ὁ ζωιδιακός.

5. διήιρηται δὲ εἰς τμήματα ιβ', ἃ καλεῖται ζώιδια, ὅτι πρῶτος ὁ δωδέκατος ἀριθμὸς δέχεται τοὺς θείους ε' λόγους τοὺς μουσικούς, τὸν διπλασίονα τὸν τριπλασίονα τὸν τετραπλασίονα τὸν ἡμιόλιον τὸν ἐπίτριτον. διηιρημένου δὲ τοῦ ζωιδιακοῦ εἰς ιβ' ζώιδια ἔτι διαιρεῖται ἕκαστον τῶν ζωιδίων εἰς μοίρας λ', εἰς δεκανοὺς γ'. δεκανὸς δέ ἐστι δύναμίς τις δέκα μοίρας

---

2 καὶ om AP ‖ 3 καὶ τοῦ ἀνταρκτικοῦ om M, τοῦ om A ‖ 5 εἰσὶν libri | ἀλλήλαις AP ‖ 6 ἄλλος δὲ AP: καὶ M | τ. ἄλλων κ. M ‖ 7 πλὴν A ‖ 8 κινεῖται libri: correxi | ζ. καὶ μόνον M ‖ 10 κινούμενος ποιῶν λ. M ‖ 11 διὰ τί λοξὸς ὁ ζωδιακός in margine P ‖ 12 τὰ om MP ‖ 13 ἦν ἀνάγκη AP: ἀεὶ ἀναπνεῖν M ‖ 16 ἂν om M | ἐσώζοντο AM, ἐσώζετο P (qui prius ἐσώζοντο) ‖ 16, 7 συγκείμενα M ‖ 17 χρήζομεν AMP | ἢ θ. AM ‖ 19 ἄρα om M ‖ 20 τὰ μέρη τὰ βόρεια AP ‖ 20, 1 θερμαίνει μὲν τὰ ἐνταῦθα, ψύχει δὲ τὰ νότια. ὅτε δὲ γίνεται πρὸς τὰ νότια, ἐκεῖνα μὲν θερμαίνει κατ' ἀναλογίαν, ψύχει δὲ τὰ βόρεια, καὶ αὕτη κτλ. AP ‖ 22 λοξῶς superscripto λοξός M | ἐστιν AP | ὁ ζωδιακός post ἐστιν P | post ζωδιακός add διηιρημένος εἰς τμήματα δώδεκα M ‖ 23 καλοῦνται AP | ἐπειδὴ AP ‖ 24 πρῶτος AP: -ως M | δώδεκα AP | δέχεται om AP | τοὺς πέντε λόγους AP ‖ 27, 8 μ. μὲν τριάκοντα A ‖ 28 δεκανοὺς δὲ P

περιέχουσα ἐν τῶι ζωιδίωι. ἡ δὲ μοῖρα ἔχει λεπτὰ ἑξήκοντα. κινεῖται οὖν ἐν ταύταις ταῖς μοίραις καὶ ταῖς ὥραις τῶν τε ἡμερῶν καὶ νυκτῶν ὁ ἥλιος τὸν ἑαυτοῦ διανύων δρόμον καὶ τὸν χρόνον ὅλον συμπερατοῖ. ἔστωσαν οὖν σοι οἵ τε μῆνες καὶ αἱ ἡμέραι καὶ ὧραι εὔγνωστοι εἰς τὸ ἐπισκέπτεσθαι τὰς ἀνατολάς τε καὶ δύσεις τῶν τε ζωιδίων τῶν δυοκαίδεκα καὶ τῶν λοιπῶν ἄστρων, καὶ οὐχ ἁμαρτήσηι τῆς διασκέψεως.

2—7 *κινεῖται — διασκέψεως* om MP.

SVPPLEMENTA

AD

IV ANONYMVM II

I EXCERPTA E CATASTERISMIS MARCIANA

R (Venetus Marcianus 444 miscellaneus p. 177) s. XV; edidit Olivieri in 'Pseudo-Eratosthenis Catasterismis' Lipsiae a. 1897 (Mythogr graeci III 1)

cet(eri Catasterismorum codices), cf p. 100 et p. 181 b 1 adn

l(atina translatio), cf p. 101

II BEDA DE SIGNIS COELI

B(ernensis 88) s. X; edidit Breysig post Germanicum p. 233—238 (praef p. XVII); desunt c. 13—17. 19. 20. 39—42

C(asinensis 3) s. XI; mihi contulit Br. Albers bibliothecae Casinensis praefectus

Ba(sileensis Bedae editio a. 1563 vol I p. 442—456)

l(atina translatio), cf p. 101 et 175 sqq.

rec-int (interpolata translationis latinae recensio), cf p. 101 et 180 sqq.

III ⟨ANONYMVS SANGALLENSIS DE ASTRONOMIA ARATI⟩

S(angallensis 250 p. 527 sqq., cf p. 101) s. X; descripsi

IV PALLII HEINRICI II IMAGINIBVS INTEXTA

cf Fr. Bock *Die Kleinodien des heiligen roemischen Reichs deutscher Nation nebst den Kroninsignien Boehmens Ungarns und der Lombardei, Wien 1864, Taf XLI Fig 64* p. 191 sqq.

V EKKEHARDI IV SANGALLENSIS CARMEN

S(angallensis 393 p. 34 sqq.) s. XI; partem edidit E. Dümmler *Zeitschrift für deutsches Altertum* XIV (1869) p. 23 sqq., cetera mihi descripsit Egli philologus Sangallensis

5 (14). ⟨Π⟩ερὶ τοῦ Στεφάνου (= supra p. 192 b).

Οὗτος λέγεται ὁ τῆς Ἀριάδνης. Διόνυσος δὲ αὐτὸν εἰς τὰ ἄστρα ἔθηκεν, ὅτε τοὺς γάμους οἱ θεοὶ ἐν τῇι καλουμένηι Ἴδηι ἐποίησαν, αὐτῆις βουλόμενος ἐπιφανὴς γενέσθαι. ὧι πρῶτον ἡ νύμφη ἐστεφανώσατο παρ' Ὡρῶν λαβοῦσα καὶ Ἀφροδίτης.

ὁ δὲ τὰ Κρητικὰ γεγραφὼς λέγει· ὅτε ἦλθε Διόνυσος πρὸς Μίνω φθεῖραι βουλόμενος αὐτήν, δῶρον αὐτῆι τοῦτο⟨ν⟩ δέδωκεν. ὧι ἠπατήθη ἡ Ἀριάδνη.

Ἡφαίστου δὲ ἔργον εἶναί φασιν ἐκ χρυσοῦ πυρώδους καὶ λίθων Ἰνδικῶν.

ἱστορεῖται δὲ διὰ τούτου καὶ τὸν Θησέα σωθῆναι ἐκ τοῦ λαβυρίνθου, ποιοῦντος τοῦ στεφάνου φέγγος. ἐν δὲ τοῖς ἄστροις ὕστερον αὐτὸν τεθεικέναι, ὅτε εἰς Νάξον ἦλθον ἀμφότεροι, σημεῖον τῆς αἱρέσεως. συνεδόκει δὲ καὶ τοῖς θεοῖς.

φασὶ καὶ τὸν πλόκαμον ταύτης εἶναι τὸν φαινόμενον ὑπὸ τὴν κέρκον τοῦ Λέοντος.

---

numeri posteriores uncis inclusi sunt capitum in R, priores in cet.

4 *αὐτοῖς βουλ. ἐπιφ. γεν.* 'volens inlustris fieri' l (p. 192 a 9, ubi punctum delas) ‖ 7—9 om cet, habet l ‖ 7 *τε* R: correxi | ⟨*ὅτι*⟩ ante *ὅτε* supplet Oliv; sunt potius ipsa auctoris pedestris verba adscripta, cf l ‖ ï 8 supplevi ‖ 10 φ^{η} R ‖ 12 *τούτου* e *τοῦτο* R | *καὶ* ante *διὰ* cet ‖ 13 *φέγγος ποιοῦντος* (omisso *τοῦ στ.*) cet | 13—15 om cet, habet l ‖ 14 *τεθηκέναι* R ‖ 14, 5 'signum religionis. cooperabatur et diis' l ‖ 16, 7 'sub' l, *ἐπὶ τῆς κέρκου* cet.

6 (15). ⟨Π⟩ερὶ τοῦ Ὀφιούχου (= supra p. 194 b).

Οὗτός ἐστιν ὁ ἐπὶ τοῖ Σκορπίου συνεστηκώς, ἔχων ἐν ταῖς χερσὶν ἀμφοτέραις Ὄφιν. λέγεται δὲ εἶναι Ἀσκληπιὸς ὑπό τινων

ἀστρολόγων, ὃν ὁ Ζεὺς χαριζόμενος Ἀπόλλωνι . . . διὰ ⟨δὲ⟩ τὴν κεραυνοβολίαν δοκεῖ αὐτῶι τιμὴν ἀπονεῖμαι ταύτην· ἐν γὰρ τοῖς ἀνθρώποις ὢν τῆι τέχνηι ἰατρικῆι χρώμενος τοὺς ἤδη τεθνηκότας ἤγειρεν. ὀργισθέντα δὲ κεραυνοβολῆσαι τὴν οἰκίαν αὐτοῦ. τοῦτον δὲ εἰς τὰ ἄστρα ἀνάγει διὰ τὸν Ἀπόλλωνα.

---

3 *τὸν Ὄ.* cet ‖ 3, 4 *ὑπό τινων ἀστρολόγων* om cet, habet l ‖ 4 *ὁ* om cet | lacunam signavi, item l; suppleas e cet ⟨*εἰς τὰ ἄστρα ἀνήγαγεν*⟩, cf l. 8 ‖ 4, 5 *διὰ — ταύτην* om cet (p. 194 b 6 sqq.), habet l | *διὰ τ. κερ.* secludit Oliv, cf l p. 194 a 6 'propter fluvii [corrigas e B 'fulminis'] emissionem' ‖ 8 *ἀνάγει* R, 'posuit' l.

8 (16). ⟨Π⟩ερὶ τοῦ Βοώτου τοῦ καὶ Ἀρκτοφύλακος (= supra p. 197 b).

